ἅμιλλα] *competition, contest* ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις, ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε O. 5. 6. νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν N. 9. 12. καὶ γὰρ ἐριζόμεναι νᾶες ἐν πόντῳ καὶ⟨ὑφ'⟩ἅρμασιν ἵπποι — ὠκυδινάτοις ἐν ἁμίλλαισι θαυμασταὶ πέλονται I. 5. 6. πόρε, Λοξία, τεαῖσιν ἁμίλλαισιν εὐανθέα καὶ Πυθόι στέφανον I. 7. 50.

ἁμιλλάομαι] *strive, contend* ὅστις ἁμιλλᾶται περὶ ἐσχάτων ἀέθλων κορυφαῖς N. 10. 31.

ἄμμορος] a. c. gen., *without a share in* τά κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν, ἁπάντων καλῶν ἄμμορος; O. 1. 84. b. abs., *unsuccessful, luckless* νῦν πέφανται οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας (ἄμορος con. Hermann met. gr.) N. 6. 14.

Ἄμμων] cult name of Zeus in Libya "Διὸς ἐν Ἄμμωνος θεμέθλοις" P. 4. 16. Ἄμμων Ὀλύμπου δέσποτα fr. 36. test., Paus. 9. 6. 1, ἀπέπεμψε δὲ ὁ Πίνδαρος καὶ Λιβύης ἐς Ἀμμωνίους τῷ Ἄμμωνι ὕμνους (ὕμνον coni. Schneider.) fr. 36, cf. fr. 58.

ἀμνάμων] *forgetful* ἀμνάμονες δὲ βροτοί, ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν pr. I. 7. 17.

ἀμνασ-] v. ἀναμιμνάσκω.

ἀμοιβά] *return, reward* τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι. i. e. *returns of favour* P. 2. 24. γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν ἐπαύρεο N. 5. 48.

ἀμοιβαῖος] *given in return* ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων O. 1. 39.

ἀμός] pl. pro sing. = ἀμέτερος. "οὐκέτι τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι" P. 3. 41. "μήδεσιν ἀνσπάσσαντες ἀμοῖς" P. 4. 27. ἀοιδὰν —· τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἀμᾶς ἄπο N. 3. 9. "λίσσομαι παῖδα θρασὺν ἐξ Ἐριβοίας ἀνδρὶ τῷδε ξεῖνον ἀμὸν μοιρίδιον τελέσαι" I. 6. 46.

ἄμοχθος, -ον] *avoiding labour* οὐδ' ἀμόχθῳ καρδίᾳ προσφέρων τόλμαν παραιτεῖται χάριν N. 10. 30.

ἄμπᾶλος] *recasting of votes* μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν O. 7. 61.

ἀμπέλῖνος] *of the vine* ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες i. e. by the effects of wine fr. 124. 11.

ἀμπελόεις] *vine clad* ὃ καὶ Μύσιον ἀμπελόεν αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον (ὅτι κλήμασιν ἀμπέλων πεδηθέντα Τήλεφον ἀνεῖλεν ὁ Ἀχιλλεύς. Σ.) I. 8. 49. ναίω Θραικίαν γαῖαν ἀμπελόεσσάν τε καὶ εὔκαρπον Πα. 2. 25.

ἄμπελος] *vine* φιάλαν — ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ O. 7. 2. νωμάτω φιάλαισι βιατὰν ἀμπέλου παῖδ' i. e. wine N. 9. 52.]γονουτουν ἀμπελ[Πα. 13c. 10.

ἀμπίπ'λημι] met., *fulfil* μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας — πότμον ἀμπιπ'λάντες ὁμοῖον N. 10. 57.

ἀμπλᾰκία] *sin, fault* ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι ἀναρίθμητοι κρέμανται O. 7. 24. αἱ δύο δ' ἀμπλακίαι φερέπονοι τελέθοντι P. 2. 30. ἁ δ' ἀποφλαυρίξαισά μιν ἀμπλακίαισι φρενῶν P. 3. 13. ἄγε σὺν Τιρυνθίοισιν πρόφρονα σύμμαχον ἐς Τροίαν — Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν I. 6. 29.

ἀμπλάκιον] *sin, fault* τὸ δὲ νέαις ἀλόχοις ἔχθιστον ἀμπλάκιον καλύψαι τ' ἀμάχανον P. 11. 26.

ἀμπλᾰκίσκω] *miss, fall short of* c. gen. ἀνορέας δ' οὐκ ἀμπλακὼν O. 8. 67.

ἄμπνευμα] *breathing-place* ἄμπνευμα σεμνὸν Ἀλφεοῦ, κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία v. Ἀλφεός N. 1. 1.

ἀμπνέω] a. *breathe out, upwards,* met. ἦν ὅτι νιν (= Τροίαν) πεπρωμένον — λαβρὸν ἀμπνεῦσαι καπνόν O. 8. 36. ὁ παγκρατὴς κεραυνὸς ἀμπνέων πῦρ Δ. 2. 15. b. abs., *take breath, a breathing space* ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν (ἐπιλαμβάνεται ἑαυτοῦ ὁ Πίνδαρος. Σ.) N. 8. 19. c. abs., *breathe, have life* ἀναπ'νέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα N. 7. 5.

ἀμπνοά] a. *breathing space, respite* μαιομένων μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν τῶν δὲ μόχθων ἀμπνοάν O. 8. 7. b. *breath of life, life* ἀμπνοὰν στέρνων κάθελεν sc. Ζεύς P. 3. 57. met., ἀμπνοὰν δ' ἥρωες ἔστασαν *took fresh life* P. 4. 199.

ἀμπολέω] *go over* met., of repetition ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει N. 7. 104, cf. ἀναπολίζω.

Ἀμῡθάν] son of Kretheus, brother of Aison and father of Melampos ἐκ δὲ Μεσσάνας Ἀμυθάν P. 4. 126.

Ἀμῡθᾱονίδας] *descendant of Amythaon,* pl. = ?Melampodidai ὑφαίνω δ' Ἀμυθαονίδαισιν ποικίλον ἄνδημα (Boeckh, Christ: Ἀμυθαωνίδαις codd.) fr. 179.

Ἀμύκ'λαι] a city near Sparta, captured by the Herakleidai with the help of the Theban Aigidai ἔσχον δ' Ἀμύκλας ὄλβιοι (sc. Ἡρακλεῖδαι.) P. 1. 65. θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις P. 11. 32. ἕλον δ' Ἀμύκλας Αἰγεῖδαι σέθεν ἔκγονοι (sc. ὦ Θήβα.) I. 7. 14.

Ἀμύκ'λαθεν] *from Amyklai* Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων (sc. Πείσανδρος) N. 11. 34.

Ἀμυκ'λαῖος] *of Amyklai* Πελασγὸν ἵππον ἢ κύνα Ἀμυκλάιαν — μίμεο (-αῖαν Bergk.) *fr. 107a. 2.*

ἀμύμων] *blameless, good* Ποσειδάνιον πέφνε Κτέατον ἀμύμονα O. 10. 27.

Ἀμύντας] king of Macedon, father of Alexander Philellen παῖ θρασύμηδες Ἀμύντα fr. 120.

Ἀμυντορίδας] *descendant of Amyntor,* whose grandson Tlepolemos led the Achaean colonization of Rhodes τὸ δ' Ἀμυντορίδαι ματρόθεν Ἀστυδαμείας (sc. εὔχονται. i. e. the descendants of Tlepolemos) O. 7. 23.

ἀμύνω] (ἀμύνων; -ειν: impf. ἄμυνεν: med. ἀμύνεται: pass. ἀμύνονται) *ward off, repulse* τι (ἀπό τινος, πρό τινος) καὶ γὰρ αὐτὰ — ὀρούσαισ' ἀπὸ στρωμνᾶς ὅμως ἄμυνεν ὕβριν κνωδάλων N. 1. 50. ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου N. 9. 37. γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ

τέταται I. 1. 49. ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν αἵματος πρὸ φίλας πάτρας ἀμύνεται†λοιγὸν ἀμύνων†ἐναντίῳ στρατῷ (λοιγὸν ἀμφιβαλὼν coni. A. W. Mair.) I. 7. 27. pass., φθονεροὶ δ' ἀμύνονται ἄτᾳ (byz.: ἀμύνοντ' ἄτᾳ, ἄτα codd.: ἄται Hermann: ἄτᾳ expungens ⟨ἀλλ'⟩ supp. Boeckh: ⟨τᾶν⟩ Thiersch: med. aut pass. interpr. Σ, edd.: τῇ ἑαυτῶν ἄτῃ καὶ βασκανίᾳ ἀμύνονται καὶ βλάπτονται. Σ.: "Die Neider werden durch Schaden ferngehalten." Thummer) P. 11. 54.

[**ἀμφαδόν** v. ἀμφανδόν.]

ἀμφαίνω, ἀναφαίνω] *proclaim, make known* ἔνθα νικάσαις ἀνέφᾱνε Κυράναν P. 9. 73. νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν N. 9. 12. κακόφρονά τ' ἄμφανεν πραπίδων καρπόν (Schr.: ἄχρι ἂν — ἀμφάνῃ codd. Plutarchi) fr. 211. of oracles, *reveal* σε — πεπρωμένον βασιλέ' ἄμφᾱνεν Κυράνᾳ P. 4. 62. — med., *have something proclaimed* — ὅδ' ἀνὴρ διπλόαν νίκαν ἀνεφάνατο παίδων ⟨τε⟩ τρίταν πρόσθεν I. 4. 71.

ἀμφανδόν] *in daylight, openly* "τοῦτο — αἰδέοντ', ἀμφανδὸν ἀδείας τυχεῖν τὸ πρῶτον εὐνᾶς" (Er. Schmid: ἀμφαδόν codd.) P. 9. 41.

ἀμφελίσσω] med., *coil around* τέκνοισιν ὠκείας γνάθους ἀμφελίξασθαι μεμαῶτες (sc. δράκοντες.) N. 1. 43.

ἀμφέπω] (-έπει; -έπων, -έποντ(α); -έπειν. **1.** *attend to, minister to* **a.** of men, *worship* 'Ιέρων — φοινικόπεζαν ἀμφέπει Δάματρα λευκίππου τε θυγατρὸς ἑορτὰν καὶ Ζηνὸς Αἰτναίου κράτος O. 6. 95. **b.** of divinities, *protect* τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν δαίμον' ἀσκήσω P. 3. 108. **c.** of physician, *attend to* ἄλλον ἀλλοίων ἀχέων ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων (sc. Asklepios.) P. 3. 51. **d.** met., *devote oneself to* ἀρίστευον — παῖδες ἀνορέᾳ χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον I. 8. 25.

2. *possess, enjoy* **a.** 'Ιέρωνος — θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον O. 1. 12. νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον ἀμφέπων ναίει (sc. Herakles.) I. 4. 59. **b.** of gods, *possess, be guardian of* μυχόν τ' ἀμφέπει μαντήιον sc. Apollo P. 5. 68. καλλίσταν πόλιν ἀμφέπει κλεινάν τ' ἀέθλοις (sc. the nymph Libya.) P. 9. 70. **c.** *cherish, enjoy* μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν N. 7. 10. πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων θυμὸν N. 7. 91. met., of an oak, μόχθον ἄλλοις ἀμφέπει δύστανον ἐν τείχεσιν (codd.: ἀμφέπῃ coni. Heyne.) P. 4. 268.

3. *possess,* met., *surround, crown* ἐγὼ δὲ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' ἀμφέπει N. 3. 78.

4. frag.]χος ἀμφέπο[ισ' ἀν]θεα — δρέπῃ (supp. Lobel.) Πα. 12. 4. γλώ]σσαργον ἀμφέπων ἐρεθίζομαι πρὸς αὐτά[ν fr. 140b. 13. χ]άριν [ἀμ]φέπων χρυ[σο]π[(supp. Lobel.) fr. 215b. 8.

ἀμφέρω] *bring up* med., *offer, yield* ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος N. 11. 38.

ἀμφί A. prep. **I.** c. acc. **1.** of place. **a.** *beside, around* παίζομεν φίλαν ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν O. 1. 17. γλυκὺν ἀμφὶ κᾶπον P. 5. 24. 'Εφυραίων ὅπ' ἀμφὶ Πηνειὸν γλυκεῖαν προχεόντων ἐμὰν P. 10. 56. οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν I. 2. 40. ἥρωες αἰδοίαν ἐμείγνυντ' ἀμφὶ τράπεζαν θαμά fr. 187. **b.** *at, in* θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου O. 9. 96. **c.** met., *over, in defence of* ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδάν O. 9. 31.

2. of time. *during, for* λοιπὸν ἀμφὶ βίοτον O. 1. 97. τὸν ὅλον ἀμφὶ χρόνον O. 2. 30. τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο (sign. dub.: *during the last courses:* others assume ἀμφί to be adverbial, or join it with τραπέζαις) O. 1. 50.

3. *in the manner of, after* ἀείδετο δὲ

πὰν τέμενος — τὸν ἐγκώμιον ἀμφὶ τρόπον O. 10. 77.

4. *about, concerning* κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις φᾶμαι Κυπρίων P. 2. 15. ὦναξ, ἑκόντι δ' εὔχομαι νόῳ κατά τιν' ἁρμονίαν βλέπειν ἀμφ' ἕκαστον ὅσα νέομαι P. 8. 69. εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον N. 1. 54. ἢ ἀμφ' Ἰόλαον; (sc. θυμὸν τεὸν εὔφρανας;) I. 7. 9.]ν ἀμφὶ πόλιν φλεγε[Πα. 18. 4.

II. c. gen. 1. *about, concerning* ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά O. 1. 35. σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν O. 12. 8. μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος N. 10. 4.

2. *for the sake of* τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν P. 4. 276. οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν Ἴρασα πρὸς πόλιν P. 9. 105. ἀλίκων τῶ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον I. 8. 66.

III. c. dat. 1. *beside* ἢ πολλ' ἀμφὶ κρουνοῖς — ἔπαθεν O. 13. 63. ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες P. 4. 180. τό σφ' ἔχει κυπαρίσσινον μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν P. 5. 40. κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων N. 4. 85. ἦ μὰν ἀνόμοιά γε δᾴοισιν ἐν θερμῷ χροὶ ἕλκεα ῥῆξαν — τὰ μὲν ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ N. 8. 30. βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου N. 9. 40. ἀμφί τε Παρνασσίαις πέτραις Πα. 2. 97.

2. *round, on* ἀμφὶ κόμαισι βάλῃ — κόσμον ἐλαίας O. 3. 13. ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι — κρέμανται O. 7. 24. τρία ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις O. 13. 39. φάρμακον πραῢ τείνων ἀμφὶ γένυι O. 13. 85. δεξιτέρῳ μόνον ἀμφὶ ποδί P. 4. 96.

3. *in respect of, in the field of*, esp. of what is at stake. αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον O. 5. 15. μήλων τε κνισσαέσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις O. 7. 80. εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν O. 8. 86. οἷον δ' ἐν Μαραθῶνι — μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν O. 9. 90. ἐν ἡρωίαις ἀρεταῖσιν οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ O. 13. 52. καὶ τὸ λοιπὸν ὁμοῖα — διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς ἔχειν P. 5. 119. ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν P. 6. 42. ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι P. 11. 54. ὅσσα δ' ἀμφ' ἀέθλοις Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται N. 2. 17. πέφανται οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας N. 6. 14. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις ὑπερώτατα N. 8. 42. ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρὸν I. 1. 50. μαρνάσθω τις ἔρδων ἀμφ' ἀέθλοισιν I. 5. 55.

4. *owing to* "Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται" O. 8. 42. κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας ἀμφί τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν P. 1. 12. ὕμνον — τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ P. 1. 80. τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν, ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ P. 8. 34. μάντιν τ' ὄλεσσε κόραν, ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρωθέντων Τρώων ἔλυσε δόμους ἁβρότατος P. 11. 33. σέο δ' ἀμφὶ τρόπῳ τῶν τε καὶ τῶν χρήσιες ("ton caractère te permet d'employer l'une comme l'autre." Puech.) N. 1. 29. τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολωθεὶς N. 10. 60. ἢ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς; (sc. θυμὸν τεὸν εὔφρανας;) I. 7. 8. Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδᾶν γάμῳ I. 8. 27. πιστὰ δ' Ἀγασικλέει μάρτυς ἤλυθον ἐς χορὸν ἐσλοῖς τε γονεῦσιν ἀμφὶ προξενίαισι Παρθ. 2. 41.

5. *in honour of* ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων O. 9. 13. ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ κελαδέων P. 2. 62. ἀμφὶ Νεμέᾳ πολύφατον θρόον ὕμνων δόνει ἡσυχᾷ N. 7. 80.

6. of time, *in the course of* ἁλίῳ ἀμφ' ἑνὶ O. 13. 37.

B. adv., *all round* ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους P. 4. 81. εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν ἀμφί οἱ ψαύσειε πέπλοις P. 9. 120.

οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν P. 8. 85.

ἀμφίᾰλος] *between the seas* ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν i. e. in the Isthmian games O. 13. 40.

'Αμφῐάρηος] (-ηος, -αον codd., -ηον; -αρεῖ, -αρῆ codd.: "fuisse -αρεύς arbitror", Schroeder) a seer, son of Oikles; king of Argos, one of the Seven, married to Eriphyle μάντιν Οἰκλεΐδαν ποτ' ἐς 'Αμφιάρηον (v. l. -άραον) O. 6. 13. τοιαῦτα μὲν ἐφθέγξατ' 'Αμφιάρηος P. 8. 56. φεῦγε γὰρ 'Αμφιαρῆ ποτε θρασυμήδεα (Schr.: 'Αμφιάρηόν (πο)τε codd.; sc. Adrastos, driven from Argos by A.) N. 9. 13. ὁ δ' 'Αμφιαρεῖ σχίσσεν κεραυνῷ παμβίᾳ Ζεὺς τὰν βαθύστερνον χθόνα (Schr.: -αρῆι codd.) N. 9. 24. μαχατὰν αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα 'Αμφιάρηόν τε (Boeckh: -αον codd.: non habent Σ.) I. 7. 33. test., Athenaeus, 12. 7. 513c, τοιοῦτός ἐστιν καὶ ὁ παραινῶν 'Αμφιλόχῳ τῷ παιδί· κ. τ. λ. fr. 43.

ἀμφιβαίνω] ἀμφι[βέ]βακεν[Πα. 7c (d). 2.

ἀμφιβάλλω] *put* τι *around* τινι, *crown with* γέρας ἀμφέβαλε τεαῖσιν κόμαις P. 5. 31. met., ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται σοφῶν μητίεσσι *crowns* i. e. *occupies the thoughts* O. 1. 8. frag.]ἀμφιβαλ[?fr. 337. 5.

ἀμφιθάλασσος] *sea-girt* ἐς ἀμφιθάλασσον νομόν O. 7. 33.

ἀμφιθαλής]]αμφιθαλεῖ[Πα. 22 (b). 5.

ἀμφίκειμαι] *lie around* κείνῳ μὲν (sc. Τυφῶνι) Αἴτνα δεσμὸς ὑπερφίαλος ἀμφίκειται fr. 92.

ἀμφικρέμαμαι] pass. c. acc., *hang round* ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες I. 2. 43.

ἀμφικτίονες] *those that live around, neighbours* κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν ἱπποδρομίας (Boeckh: ἀμφικτυόνων codd.) P. 4. 66. στρατῷ τ' ἀμφικτιόνων ὁ Παρνάσσιος αὐτὸν μυχὸς — ἀνέειπεν (Boeckh: ἀμφικτυόνων codd.) P. 10. 8. ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδι i. e. in Isthmian games N. 6. 39. τοὶ μὲν ὦν — λέγονται πρόξενοί — ἀμφικτιόνων I. 4. 8. τίμαθεν γὰρ τὰ πάλαι τὰ νῦν τ' ἀμφικτιόνεσσιν Παρθ. 2. 43.

ἀμφικυλίνδω] *roll around* c. acc. & dat., fig., *toss upon* κεῖνος (sc. φθόνος) καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις i. e. making him fall upon it N. 8. 23, cf. Soph., Ajax 907.

ἀμφιλαφής] *wide spreading* τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις ἕσποιτο O. 9. 82.

'Αμφίλοχος] son of Amphiareus. test., Athen., 513C, τοιοῦτός ἐστιν καὶ ὁ παραινῶν 'Αμφιλόχῳ τῷ παιδί· κ. τ. λ. fr. 43.

ἀμφινέμω] med., *dwell around, surround* ὑψηλὰν πόλιν ἀμφινέμονται fr. 119. 2. met., σὲ δ' — πολὺς ὄλβος ἀμφινέμεται P. 5. 14.

ἀμφίπεδος] *encircled by plain* "ἐπὶ λαὸν ἀγείραις νασιώταν ὄχθον ἐς ἀμφίπεδον" i. e. to the shores of Cyrene P. 9. 55.

ἀμφιπίτνω] *fall upon and embrace* ἐγὼ — κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον, μέλιτι εὐάνορα πόλιν καταβρέχων O. 10. 98.

ἀμφιπολέω] *watch over* 'Ιμέραν εὐρυσθενέ' ἀμφιπόλει, σώτειρα Τύχα O. 12. 2. χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν *attend to* P. 4. 271. (ἔρωτες)· οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπρίας δώρων N. 8. 6. met., "ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας ἀμφιπολεῖ" i. e. *waits for* P. 4. 158. frag. ἀ]μφιπολεῖ[P. Oxy. 1792. fr. 51.

ἀμφίπολος] **a.** adj. *much visited* τύμβον ἀμφίπολον O. 1. 93. **b.** subs. *attendant* (male or female) πέμποισ' ἀμφιπόλους ἐκέλευσεν — δόμεν Εἰλατίδᾳ βρέφος O. 6. 32. ἀμφιπόλοις δὲ — δηριαζόμενον (sc. Νεοπτόλεμον: i. e. attendants of the Delphic temple of Apollo) Πα. 6. 117. πολύξεναι νεάνιδες, ἀμφίπολοι Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ temple prostitutes of Aphrodite fr. 122. 1. frag. πᾶσαι [—]ἀμφίπολ[οι] Κεφαλλαν[(supp. Lobel.) Πα. 20. 19.

ἀμφίρῦτος] *sea-girt* ἐν Κέῳ ἀμφιρύτᾳ (ἀμφιρύτῳ ΣΥΡ.) I. 1. 8. Δᾶλον ἀμφιρύταν ?fr. 350.

ἀμφίς] prep. c. gen., *about, concerning* γυίων ἀέθλοις ἐπεδείξαντο κρίσιν ἐσθᾶτος ἀμφίς (ἵν' ἢ τὸ ἔπαθλον ἐσθής. Σ.) P. 4. 253.

ἀμφιτρέχω] *run round* σέλας δ' ἀμφέδ'ραμεν λάβρον 'Αφαίστου P. 3. 39.

'Αμφιτρίτα] wife of Poseidon χρυσαλακάτοιο πόσις 'Αμφιτρίτας O. 6. 105. [ΣΥΡ. O. 7. 14.]

'Αμφιτρύων] (-ων, -ωνος, -ωνι, -ων) of Argos, later of Thebes, husband of Alkmene τὸν ('Ιόλαον) — κρύψαν ἔνερθ' ὑπὸ γᾶν διφρηλάτα 'Αμφιτρύωνος σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος κεῖτο P. 9. 81. ἐν χερὶ δ' 'Αμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον ἵκετ' N. 1. 52. οὕνεκ' 'Αμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον at the Herakleia N. 4. 20. θρέψε δ' αἰχμὰν 'Αμφιτρύωνος (sc. Ζεύς.) N. 10. 13. καὶ σέθεν, 'Αμφιτρύων, παῖδας προσειπεῖν (sc. Herakles and Iolaos.) I. 1. 55. ὁπότ' 'Αμφιτρύωνος ἐν θυρέτροις σταθεὶς ἄλοχον μετῆλθεν 'Ηρακλείοις γοναῖς (sc. Ζεύς.) I. 7. 6. frag.]οἶκον 'Αμφιτρύωνος[Πα. 20. 16. 'Αμ]φιτρύωνί τε σᾶμα χέω[ν (supp. Lobel.) fr. 169. 48.

'Αμφιτρυωνιάδας] *son of Amphitryon*, epithet of Herakles ἐλαίας, τάν ποτε — ἔνεικεν 'Αμφιτρυωνιάδας (byz.: -ίδας codd.) O. 3. 14. τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα — καρτεραίχμαν 'Αμφιτρυωνιάδαν I. 6. 38. 'Αμφιτρυ]ωνιάδας (supp. Lobel.) P. Oxy. 2622, fr. 1. 10 ad ?fr. 346.

ἀμφιψαύω] v. ἀμφί B and ψαύω.

ἀμφορεύς] *amphora* ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίνυεν δόμοις *fr. 104b. 4.*

ἀμφότερος] (-οι, -οις: -α, -ας; -ᾶν, -αις: -ον; -ων, -οισ(ι), -α)

1. adj. a. *both* ἀμφοτέροις ὁμοῖοι τοκεῦσι P. 2. 47. καὶ κασίγνητοί σφισιν ἀμφότεροι ἤλυθον P. 4. 124. "καρτερὸς ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις" P. 4. 167. ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι (sc. ἄνδρες καὶ θεοί.) N. 6. 2. ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφοτέρας ἰὼν χειρός (καὶ ἀριστερᾶς καὶ δεξιᾶς. Σ.) N. 7. 94. ἀμφοτερᾶν τοι χαρίτων σὺν θεοῖς ζεύξω τέλος, καὶ τὸν ἀκερσεκόμαν Φοῖβον χορεύων — καὶ τὰν ἀλιερκέα 'Ισθμοῦ δειράδ' (Boeckh e Σ: ἀμφοτέρων, -οις codd.: i. e. songs for both Thebe and Delos.) I. 1. 6. b. *double* ἐσθὰς δ' ἀμφοτέρα μιν ἔχεν (v. l. ἀμφότερον) P. 4. 79.

2. pro subs. a. masc., fem. ὅτ' ἀμφότεροι κράτησαν O. 9. 84. ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες (i. e. to both sides, slanderers and slandered) P. 2. 76. παρ' ἀμφοτέροις (Peleus and Kadmos) P. 3. 93. πατρὸς δ' ἀμφοτέραις ἐξ ἑνὸς ἀριστομάχου γένος 'Ηρακλέος βασιλεύει (Lakedaimon and Thessaly) P. 10. 2. b. neut. καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν (i. e. to the sound of the flute and lyre O. 7. 13. ἐδόκησαν ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος *on both sides* O. 13. 57. ἀμφοτέροισι δ' ἀνὴρ ὃς ἂν ἐγκύρσῃ (success and fame) P. 1. 99. πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί (sign. dub.: τῷ τ' ἀληθεῖ καὶ τῷ ψευδεῖ. Σ.: *?your authority and your wealth* cf. vv. 87—8) P. 1. 88.

3. ἀμφότερα pro adv., *both* πέποιθα δὲ ξένον μή τιν' ἀμφότερα καλῶν τε ἴδριν †ἅμα† καὶ δύναμιν κυριώτερον — δαιδαλωσέμεν O. 1. 104.

4. ἀμφότερον τε καί, *both — and* "ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς, ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι" O. 6. 17. εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν, ἀμφότερον δαπαναῖς τε καὶ πόνοις I. 1. 42.

ἀμφοτέρωθεν] a. *from both places* ἀλαθής τέ μοι ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ (i. e. at the Isthmian and Nemean games) O. 13. 99. b. *on both sides* εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις P. 1. 6.

ἄμφω] *both* χερσὶ δ' ἄρα Κρονίων ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν στέρνων κάθελεν (i. e.

through Asklepios and his patient) P. 3. 57. ἄνδρας πτεροῖσιν νῶτα πεφρίκοντας ἀμφω πορφυρέοις P. 4. 183. τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν Πυθέᾳ τε, παγκρατίου (ἀμφοτέροις ὑμῖν, σοί τε καὶ τῷ Πυθέᾳ. Σ.) I. 5. 18.

ἀμώμητος] *faultless, blameless* φρενῶν ἔλαχε καρπὸν ἀμώμητον (sc. Rhadamanthus) P. 2. 74.

ἄν] 1. in principal clauses a. c. opt. ἀποίητον οὐδ' ἂν χρόνος — δύναιτο θέμεν O. 2. 16. λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν O. 2. 18. τίς ἂν φράσαι δύναιτο; O. 2. 100. κεῖνα δὲ κεῖνος ἂν εἴποι ἔργα O. 8. 62. [v. l. διαλλάξαιντ' ἂν (διαλλάξαιντο codd. cett.) O. 11. 20.] τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές O. 13. 103. ὡς μὰν σαφὲς οὐκ ἂν εἰδείην λέγειν O. 13. 46. φιλέων δ' ἂν εὐχοίμαν Κρονίδαις Παρθ. 1. 11. b. c. ind. aor. ἐπεὶ ἀντίον πῶς ἂν τριόδοντος Ἡρακλέης σκύταλον τίναξε χερσίν O. 9. 30. παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων N. 11. 26. c. dub. α. c. ind. fut. [μαθὼν δέ τις ἂν ἐρεῖ (codd., quorum lectionem recepit Snell, conferens Schwyz-Debr. 2. 351. 2.: ἀνερεῖ Gildersleeve, cf. infra 3.) N. 7. 68] β. μέλανος ἂν (δ' ἂν codd.: δ' del. Er. Schmid: ἂν om. codex unus: μέλανα δ' coni. Hermann: μέλανος ὄγ' Bowra.) ἐσχατιὰν καλλίονα θανάτου⟨στείχοι⟩ (coni. Wil.: ἐν codd.: θανάτοι' ἔσχε Shackle: θάνατόν γ' ἔσχε Boeckh: ἂν vel ἀν' edd.) P. 11. 56. Χρομίῳ κεν ὑπασπίζων — ἔκρινας ἂν κίνδυνον (sic Σ: alii post ἔκρινας distinxerunt, ἂν = ἀνὰ interpretati.) N. 9. 35.

2. in subord. clause. (cf. ὅταν, ὁπόταν.) a. c. subj., α. temporal οἱ ὤπασε θησαυρὸν δίδυμον μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν —, εὖτ' ἂν δὲ — Ἡρακλέης — πατρὶ ἑορτάν — κτίσῃ —, τότ' αὖ χρηστήριον θέσθαι κέλευσεν O. 6. 67. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται σάος, πολὺς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται P. 3. 106. — εὖτ' ἂν — μόλῃ P. 4. 76. τάκομαι, εὖτ' ἂν ἴδω fr. 123. 11. β. relative ἀμφοτέροισι δ' ἀνὴρ ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται P. 1. 100. δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ P. 5. 65. εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς, ὃς ἂν — τὰ μέγιστ' ἀέθλων ἕλῃ P. 10. 23. [τὰ δ' αὐτὸς ἄν τις τύχῃ (codd. contra metr.: ἀντιτύχῃ Mingarelli) N. 4. 91.] b. c. opt., in relative clause. εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν ἀμφὶ οἱ ψαύσειε πέπλοις P. 9. 119. in object clause. ἔντειλεν φυλάξασθαι χρέος παισὶν φίλοις, ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν O. 7. 42.

3. dub., due to false division of words. cf. N. 7. 68, I. 8. 47. [περ ἂν codd.: πέραν corr. Hermann N. 7. 75. ἂν ἔχοι codd.: ἀνέχοι corr. Thiersch N. 7. 89. ἂν ἀξίαις codd.: ἀναξίαις corr. Alberti N. 8. 10.]

4. frag.]οὐκ ἂν παρ[Θρ. 2. 3.

ἀνά] (ἂν in apocope before δ, χ, κ, ν, τ; ἀγ before κ Πα. 7. 12 v. l.; ἀμ before π.) A. prep c. acc. 1. of place a. *in, throughout* ἀν' Ἑλλάδα P. 2. 60. δώδεκ' ἂν δρόμων τέμενος (Thiersch: δωδεκαδρομον, -ων codd.) P. 5. 33. τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ ὄλβῳ τεθαλότα P. 11. 52. Ποσειδάνιον ἂν τέμενος N. 6. 41. δάπεδον ἂν τόδε N. 7. 83. οἱ τ' ἀνὰ Σπάρταν Πελοπηιάδαι N. 8. 12. ἀδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ — γαῖαν ἀνὰ σφετέραν I. 2. 27. εὐανθέ' ἀπέπνευσας ἁλικίαν προμάχων ἀν' ὅμιλον I. 7. 35. Ἴσθμιον ἂν νάπος Δωρίων ἔλαχεν σελίνων (Hermann: ἀνάπος codex) I. 8. 63. [Δᾶλ]ον ἀν' εὔοδμον Πα. 2. 97. [ἂν Ζεάθου πόλιν (coni. Wil.: καὶ Ζ. Π.) Πα. 9. 44.] ἂν δὲ Ῥόδον κατῴκισθεν fr. 119. 1. b. *upon, along* εἰ δὲ τέτραπται θεοδότων ἔργων κέλευθον ἂν καθαράν I. 5. 23. ἐλαύνεις ἀν' ἀμβροτ[Πα. 3. 16.]ἰόντι τηλαυγέ' ἀγ κορυφὰν[(Π[5]: ἂν Π[4].) Πα. 7. 12. ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον πέταται (sc. κύων.) •fr. 107a. 4• πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πεδίον — ἦλθεν fr. 172. 4. c. dub.

ἢ πόντου κενέωσιν ⟨ ᴗ ⟩ ἂμ πέδον (Hermann: ἀλλὰ codd. Dion. Hal.) Πα. 9. 16.
2. of time, *in the course of, during* ὅτ' ἀμφότεροι κράτησαν μίαν ἔργον ἀν' ἁμέραν O. 9. 85. ἐξέτης τὸ πρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον N. 3. 49. Χρομίῳ κεν ὑπασπίζων — ἔκρινας, ἂν κίνδυνον ὀξείας ἀυτᾶς (ἂν = κε Σ cum ἔκρινας coniunxit) N. 9. 35.
B. prep. c. dat., *upon* χρυσέαισί τ' ἀν' ἵπποις O. 1. 41. ἀν' ἵπποις χρυσέαις O. 8. 51. ἀν' ἵπποισι δὲ τέτρασιν O. 10. 69. ἀνὰ βωμῷ θεᾶς O. 13. 75. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός P. 1. 6. ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας ἵκετο P. 4. 94. θοαῖς ἂν ναυσὶ N. 7. 29. ἐπικράνοισι γὰρ ἂν κιόνων fr. 6b. d. ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι κίονες fr. 33d. 7. ἀλ]λοτρίαις ἀν' ἵπποις Πα. 7B. 12.
C. in tmesis ἀνὰ δ' ἔπαλτ' v. ἀναπάλλω O. 13. 71. ἂν δ' εὐθὺς ἁρπάξαις v. ἀναρπάζω P. 4. 34. ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε v. ἀνασχίζω (ἀναβωλακίας iunctim codd.) P. 4. 228. ἀνὰ δ' ἱστία τεῖνον v. ἀνατείνω N. 5. 51. ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν ἱππίων ἀέθλων κορυφάν v. ἀνόρνυμι N. 9. 8. ἀνὰ δ' ἔλυσεν v. ἀναλύω N. 10. 90. ἀνὰ δ' ἄγαγον (Er. Schmid: ἀν δ' codd.) v. ἀνάγω I. 6. 62. ὁ δ' ἀντίον ἀνὰ κάρα τ' ἀειρ[ε v. ἀναείρω Πα. 20. 10.

ἄνα] a. voc. ἄναξ, q. v. [b. coni. Kayser: ἀλλὰ codd. O. 13. 114.]

ἀναβαίνω] (ἀναβαίνει; -βαίνων; -βαίνειν: fut. -βάσομαι: aor. 1. ἄμβασε; aor. 2. ἀνέβαν; ἀναβαίς coni.)
1. intrans. a. *climb, go up* καὶ τοὶ γὰρ — ἀνέβαν sc. to the acropolis O. 7. 48. b. *mount (up)* ἀναβαὶς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν (Turyn: ἀναβὰς codd.) O. 13. 86. τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει N. 9. 4. c. met. εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ κελαδέων (ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πλεόντων ἡδέως. Σ.) P. 2. 62. τέτειχισται δὲ πάλαι πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν (sc. τοῖς Αἰακίδαις) I. 5. 45. πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθόνιον γένος ἀνδρῶν, δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν fr. 213. 2.
2. trans., causal, *make to embark* καί ῥά οἱ μάντις — Μόψος ἄμβασε στρατὸν πρόφρων P. 4. 191.

ἀναβάλλω] med., a. *strike up*, the lyre εἶρειν στεφάνους ἐλαφρόν, ἀναβάλεο N. 7. 77. b. *postpone* "ἄνδρας ὀλέσαις μναστῆρας ἀναβάλλεται γάμον θυγατρός" O. 1. 80. πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι ὡς πόρσιστα N. 9. 29.

[**ἀναβωλάκιος** v. βωλάκιος, ἀνασχίζω P. 4. 228.]

[**ἀνᾱγέομαι**] a. *drive onwards* met. εἴην εὑρησιεπὴς ἀναγεῖσθαι πρόσφορος ἐν Μοισᾶν δίφρῳ with a play on sense b. O. 9. 80. b. *relate* βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος μοῖραν ἐσλῶν N. 10. 19. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς (Mingarelli: ἀγήσασθ' codd.) I. 6. 56.

ἀναγῑνώσκω] a. *read out* τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι Ἀρχεστράτου παῖδα, πόθι φρενὸς ἐμᾶς γέγραπται O. 10. 1. b. *acknowledge* (Νικόμαχος) ὅν τε καὶ κάρυκες ὡρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα Ζηνὸς Ἀλεῖοι (Ahrens: ἀνέγνων codd.) I. 2. 23.

ἀνάγκα] (-α, -ας, -ᾳ; -αις) *necessity, compulsion, constraint* ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ *with the hostility of necessity* O. 2. 60. μιν — ἔντυ' ἀνάγκα πατρόθεν O. 3. 28. σὺν δ' ἀνάγκᾳ μιν φίλον καί τις ἐὼν μελαλάνωρ ἔσανεν P. 1. 51. βοέους δήσαις ἀνάγκᾳ ἔντεσιν αὐχένας (v. 1. ἀνάγκας) P. 4. 234. καλὰ γινώσκοντ' ἀνάγκᾳ ἐκτὸς ἔχειν πόδα P. 4. 288. Ὥρα πότνια, — τὸν μὲν ἡμέροις ἀνάγκας χερσὶ βαστάζεις N. 8. 3. κεράιζε — Τυφῶνα πεντηκοντοκέφαλον ἀνάγκᾳ Ζεὺς πατὴρ *was compelled to* fr. 93. βιαίᾳ δαμεὶς ἀνάγκᾳ *by inescapable violence* Παρθ. 1. 18. σὺν δ' ἀνάγκᾳ πᾶν καλὸν fr.

122. 9. Ταρτάρου πυθμένα†πτίξεις ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις *beaten chains of compulsion* fr. 207. c. inf., θανεῖν δ' οἷσιν ἀνάγκα O. 1. 82. frag. Κρ]ονίων νεῦσεν ἀνάγκᾳ[Δ. 4. 17.

ἀναγκαῖος] *enforced* λυγρόν τ'ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν τό τ' ἀναγκαῖον λέχος (i. e. of Danae) P. 12. 15.]αν λέχεά τ' ἀναγκαῖα δολ[(sc. of Danae & Polydektes) Δ. 4. 15.

ἀνᾱ́γω] a. *bring up, raise, awaken* ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν εὐκλέων ἔργων sc. Poseidon I. 4. 22. ἀνὰ δ' ἄγαγον ἐς φάος οἵαν μοῖραν ὕμνων sc. the sons of Lampon I. 6. 62. cf. ὅταν τις — βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν (= πλοῦτον) ἀνάγῃ πολύφιλον ἑπέταν P. 5. 3. b. *put to sea with* Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ, Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων i. e. to Tenedos N. 11. 35.

ἀναδέκομαι] *receive* τὰν πολύκοινον ἀνδέξατ' ἀγγελίαν P. 2. 41. πολύθυτον ἔρανον ἔνθεν ἀναδεξάμενοι P. 5. 78.

ἀναδέρω] v. ἀνδέρω.

ἀναδέω] a. *bind on top, crown* (med., one's own head) ἀνέδησεν Ὀρτυγίαν στεφάνοις P. 2. 6. δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως P. 10. 40. ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν N. 11. 28. τῶν (sc. στεφάνων) ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας I. 1. 28. Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων (Er. Schmid: ἀνδεῖσθαι codd.) I. 2. 16. ἀν]δησάμεναι πλοκάμους μύρτων ὑπ[(supp. Lobel.) Πα. 13a. 16. b. of the crowns themselves, *bind* ὄντιν' ἀθρόοι στέφανοι χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν ἢ ταχυτᾶτι ποδῶν I. 5. 9.

ἀναδίδωμι, ἀνδίδωμι] a. *give up, deliver up* ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰς πάλιν sc. Persephone fr. 133. 3. b. *raise and hand to* ἄνδωκε δ' αὐτῷ φέρτατος οἰνοδόκον φιάλαν — Τελαμὼν I. 6. 39.

ἀνᾰείρω] *lift up*]ὁ δ' ἀντίον ἀνὰ κάρα τ' ἀειρ[ε (supp. Lobel) Πα. 20. 10.

ἀναιδής] *cruel* ἀναιδέα — θάνατον O. 10. 105. δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα N. 11. 45. παῦσέν [τ']ἔργ' ἀναιδῆ sc. of Laomedon fr. 140a. 59 (33).

ἀναίνομαι] *refuse, decline* c. inf. Εὐξαντίου — [Κρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν (ἀνάνατο coni. Wil.) Πα. 4. 36.

ἀναιρέω] a. *take up, away* "παῖδα — ὃν κλυτὸς Ἑρμᾶς εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει" P. 9. 61. Ὀρέστα· τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος P. 11. 18. met., ἐρευνασάτω — στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελὼν fr. 109. 3. b. med., *carry off for oneself, gain* τυχεῖν δ' ἕν' ἀδύνατον εὐδαιμονίαν ἅπασαν ἀνελόμενον N. 7. 56. [ἀναιρεῖται contra met. codd: ἀνατεί τε H. J. Mette fr. 169. 8.]

ἀνάκειμαι, ἄγκειμαι] *be stored up* ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις οὗτος ἄγκειται (Σ. byz.: ἔγκειται codd.) O. 11. 8. πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται *lies to his credit* O. 13. 36. [ἄγκειται Maas e Σ: κεῖται codd. I. 5. 18.]

(ἀνακομίζω,) ἀγκομίζω] *revive, redeem,* fig., *make good* τὸ Μηδείας ἔπος ἀγκομίσαι (Σ$^{\lambda}$: ἀγκομίσαιθ' codd.) P. 4. 9.

ἀνακ'ράζω] *cry out* νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς ἀνέκ'ραγον, οὐ τραχύς εἰμι καταθέμεν N. 7. 76.

ἀνακρίμναμι] met. *suspend,* ξένοι ἔφθινον ἄτερθεν τεκέων ἀλόχων τε μελίφρονι αὐδ[ᾳ (sc. τῶν Κηληδόνων) θυ]μὸν ἀνακριμνάντες Πα. 8. 79.

ἀνακρίνω] med., *ask enquire* (Βάττον) δυσθρόου φωνᾶς ἀνᾰκρινόμενον ποινὰ τίς ἔσται P. 4. 63.

ἀνᾱλίσκω] *spend* of time ("hingeben, opfern" Fränkel) τὸν δὲ σύγκοιτον γλυκὺν παῦρον ἐπὶ γλεφάροις ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ *spending in a short time*

the sweet sleep that comes on the eyes about dawn P. 9. 25.

ἄναλκις] *cowardly* ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει O. 1. 81. οὐκ ἄναλκις, ὡς τόσον ἀγῶνα δῦναι ("potius ad O. 1. 81 referendum" Snell.) ?fr. 342.

ἀνᾰλύω] *loosen* ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ φωνὰν χαλκομίτρα Κάστορος sc. Ζεύς i. e. *freed, revived* N. 10. 90. μόρσιμ' ἀνα[λ]ύεν Ζεὺς ὁ θεῶν σκοπὸς οὐ τόλμα (i. e. *undo*, met. from spinning) Πα. 6. 94.

ἀναμένω] *await, stand firm against* c. acc. ὃς ὑπέρφθιτο πατρός, ἐναρίμβροτον ἀναμείναις στρόταρχον Αἰθιόπων Μέμνονα (Tric: ἀμμείναις codd.) P. 6. 31.

ἀναμιμνᾴσκω] *advise, remind* ᾗ κεν ἀμνάσειεν οἵαις ἐν πολέμοισι μάχαις — παρέμειν' P. 1. 47. "τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι Φοῖβος ἀμνάσει θέμισσιν — νάεσσι πολεῖς ἀγαγὲν" P. 4. 54.

ἀνάνῠτος] *ineffectual*]οις ἀνανύτοις εὗρεν[Πα. 13b. 7.

ἄναξ] (Ϝαν-, P. 4. 89, P. 9. 44, P. 11. 62, P. 12. 3, fr. 140a. 63 (37): ἄναξ, ἄνακτος, ἄνακτι, ἄνακτα, ἄνα, ἄναξ; ἀνάκτων, ἄνακτας coni.) a. adj., *king, royal*, of gods and heroes, — μετὰ δώδεκ' ἀνάκτων θεῶν O. 10. 49. "υἱὸς Ἱππάρχου Ποσειδάωνος ἄναξ" Euphamos. P. 4. 45. πεπρωμένον ἦν φέρτερον πατέρος ἄνακτα γόνον τεκεῖν ποντίαν θεόν (Ahlwardt: γονον ἄνακτα πατρός codex) I. 8. 33. ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων (Heyne: ἄνα codd. Plutarchi.) fr. 33. in hypallage, μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ O. 13. 108. b. subs., of gods and heroes "καὶ σέ, τολμάεις Ἐπιάλτα ἄναξ" P. 4. 89. ὦναξ Apollo. P. 8. 67. "ὦ ἄνα" Apollo. P. 9. 44. σέ τε, ἄναξ Πολύδευκες P. 11. 62. ὦ ἄνα Akragas P. 12. 3. Πηλεὺς ἄναξ N. 3. 33. Πότμος ἄναξ N. 4. 42. "καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ" Zeus N. 10. 77. χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας Herakles I. 4. 60. φαντὶ γὰρ ξύν' ἀλέγειν καὶ γάμον Θέτιος ἄνακτας (Bergk: ἄνακτα codd.: ἄνακτε Tric.) I. 8. 47. κείνων λυθέντες σαῖς ὑπὸ χερσίν, ἄναξ Zeus fr. 35. ἄν]ακτος Εὐξαν[τίου Πα. 4. 35. ὦναξ[Πα. 13d. 4.]ἄναξ Ἄπολλον[Πα. 16. 2.]ιον ἄνακτα[Δ. 1. 3. μνάσθηθ' ὅτι τοι ζαθέας Πάρου ἐν γυάλοις ἕσσατο ἄνακτι βωμὸν sc. to Apollo fr. 140a. 63 (37).

ἀναξία] *command* ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες (Alberti: ἂν ἀξίαις codd.) N. 8. 10.

ἀναξῐφόρμιγξ] *ruling the lyre* ἀναξιφόρμιγγες ὕμνοι O. 2. 1.

ἀναπάλλω] med., *leap up* ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί (ex ἐφάλλομαι ductum ἔπᾶλτο alii explicc., cf. N. 6. 50.) O. 13. 72.

ἀναπάσσω] *scatter upon*, met. τὶν δ' ἀδυεπής τε λύρα γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν O. 10. 94.

ἀνάπαυσις] *rest* ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα ἔργῳ N. 7. 52.

ἀνᾰπαύω] med., *rest* ἀρούραισιν, αἵτ' ἀμειβόμεναι τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν, τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔμαρψαν N. 6. 11.

ἀναπέμπω, ἀμπέμπω] a. *send up* κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν δεινοτάτους ἀναπέμπει P. 1. 26. "ὅσσα δὲ χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει" P. 9. 46. b. *send away* ὅτε καρτερᾶς Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον; (sc. ὦ Θήβα: ἀπέπεμψας Σ.) I. 7. 10.

ἀναπίτ'ναμι] (-πιτ'νᾶμεν: med. -πιτ'νᾶμένα: pass. pf. ἀναπεπτᾶμέναι) a. *throw open* χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνάμεν αὐταῖς O. 6. 27. Αἴτναν, ἔνθ' ἀναπεπταμέναι ξείνων νενίκανται θύραι ὄλβιον ἐς Χρομίου δῶμ' N. 9. 2. b. med., *fall on one's back* μῆτιν δ' ἀλώπηξ αἰετοῦ ἃ τ' ἀναπιτναμένα ῥόμβον ἴσχει (sc. Μέλισσος. ἔοικε δὲ διδάσκειν αὐτοῦ τὸ πάλαισμα ὡς χαμαὶ κειμένου καὶ τὸν μείζονα τέχνῃ νενικηκότος· καὶ γὰρ ἡ ἀλώπηξ ὑπτία τοῖς ποσὶν ἀμύνεται, τὰ μὲν συμβαλλομένη, τὰ δὲ ἀμύσσουσα. Σ.) I. 4. 47.

ἀναπ'λέκω] *entwine* ἄνθεμα —, ὅρμοισι τῶν χέρας ἀναπ'λέκοντι καὶ στεφάνους O. 2. 74.

ἀναπνέω] v. ἀμπνέω.

ἀναπολίζω] *cultivate, plough* met. ἢ γὰρ ἑλικώπιδος Ἀφροδίτας ἄρουραν ἢ Χαρίτων ἀναπολίζομεν P. 6. 3. cf. ἀμπολέω.

ἀνᾱπωτις] *ebbing* λέγοντι — Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας ἄντλον ἑλεῖν (Tric.: ἄμπωτιν codd.) O. 9. 52.

ἀνᾰρίθ'μητος, -ον] *countless* ἀμπλακίαι ἀναρίθ'μητοι O. 7. 25.

ἀνᾱρῑθμος] *countless* ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ I. 5. 50.

ἀναρπάζω] *snatch up* Ὀλύμπιος ἀγεμὼν θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀπόεντος ἀναρπάσαις ἕκαλος μίχθη O. 9. 58. ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν P. 4. 34.

ἀναρρήγνυμι] *make to break out, burst out with* fig. μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον fr. 180. 1. frag.]ἀνέρρηξαν[Δ. 4. 31.

ἀνᾰρύω] *sacrifice* ὅταν δ' εὐρυσθενεῖ καρταίποδ' ἀναρύῃ Γαιαόχῳ (codd.: αὐερύῃ Σ legisse videntur) O. 13. 81.

ἀνασπάω] v. ἀνσπάω.

ἄνασσα] *queen*, of goddesses διὰ τεάν, ὤνασσα, τιμὰν (sc. ὦ Θεία) I. 5. 6. ὤνασσ' Ἀλάθεια fr. 205, 2. cf. ἄνα P. 12. 13.

ἀνάσσω] (Ϝαν-, O. 13. 24) *rule over*, c. gen. ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ O. 6. 34. ὕπατ' εὐρὺ ἀνάσσων Ὀλυμπίας — Ζεῦ πάτερ O. 13. 24. ὅσα τ' Ἀρκάσιν †ἀνάσσων† (codd. contra metr.) O. 13. 107. Λύκιε καὶ Δάλοι' ἀνάσσων Φοῖβε P. 1. 39. ὀρχήστ' ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ' Ἄπολλον fr. 148.

ἀνασχίζω] *cleave, cut up* ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον γᾶς (ἀναβωλακίας codd. iunctim: ἀνὰ cum ὀρόγυιαν coniunxit Bergk.) P. 4. 228.

ἀνᾱτεί?] *with impunity* ἀνατεί τε καὶ ἀπριάτας ἔλασεν (e paraphr. coni. H. J. Mette: ἀναιρεῖται contra metr. Σ in Aristid.) fr. 169. 8.

ἀνατείνω, ἀντείνω] a. *hold up* ἐκέλευσεν — Λάχεσιν χεῖρας ἀντεῖναι O. 7. 65. ὁ δ' ὀρθὸν μὲν ἄντεινεν κάρα (sc. Ἡρακλέης) N. 1. 43. ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους (sc. Ἡρακλέης: Boeckh: ἀντείναις codd.) I. 6. 41. pass., *be held up, offered* met., μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέτᾰται N. 8. 25. b. *hoist, haul up* met. διδοῖ φωνάν, ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου i. e. hold nothing back N. 5. 51. c. *uphold* (πάρφασις)· ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν N. 8. 34.

ἀνατέλλω] *make to rise up, raise* 1. a. act. Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν παρ' εὐτειχέσιν Κάδμου πύλαις I. 6. 75. b. med. and pass., *rise, mount up* τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει I. 4. 65.

2. met., *raise to eminence* ἦρα χαλκοκρότου πάρεδρον Δαμάτερος ἀνίκ' εὐρυχαίταν ἀντειλας Διόνυσον; (sc. ὦ Θήβα.) I. 7. 5.

ἀνατίθημι] *make as an offering* ἔλαφον — ἄν ποτε Ταϋγέτα ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱεράν O. 3. 30. τὶν δὲ (sc. Καμαρίνᾳ) κῦδος ἁβρὸν νικάσας ἀνέθηκε O. 5. 8. met., εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ τε καὶ φθέγματι μαλθακῷ P. 8. 29. λιτανεύω, ἑκαβόλε, Μοισαίαις ἀνατιθεὶς τέχναισι χρηστήριον[*dedicate* Πα. 9. 39.

ἀνατρέχω] *ascend* c. acc., met., *go over* εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδ'ραμον ὕμνῳ O. 8. 54.

ἀναφαίνω] v. ἀμφαίνω.

ἀναφέρω] v. ἀμφέρω.

ἀναφροντίζω] *contemplate* c. acc. & epexeg. inf. ἑτοῖμον ἀνεφρόντισεν γάμον Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν σχεθέμεν O. 1. 69.

ἀναχάζω] *force back* ἀλλ' οὔ νιν φλάσαν οὐδ' ἀνέχασσαν (Wakefield: ἀνέχασαν, ἀνέσχασαν codd.) N. 10. 69.

'Ανδαισιστρότα] trainer or mother of chorus leader in Parth. 2. θυγάτηρ — 'Ανδαισιστρότα ἂν ἐπάσκησε μήδεσι Παρθ. 2. 71.

ἀνδάνω] (ἀνδάνειν: aor. ἅδον; ἁδών, -όντι, -όντα; ἁδεῖν. Fα-, P. 1. 29. P. 6. 51. I. 8. 18) *please, be pleasing to* c. dat. Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν — εὔχομαι O. 3. 1. πατέρα τε Δαμάγητον ἁδόντα Δίκᾳ O. 7. 17. εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν P. 1. 29. ἁδόντα δ' εἴη με τοῖς ἀγαθοῖς ὁμιλεῖν P. 2. 96. τίν τ', 'Ελέλιχθον, — μάλα ἁδόντι νόῳ, Ποσειδάν, προσέχεται P. 6. 51. Καλλίας ἁδὼν ἔρνεσι Λατοῦς N. 6. 36. ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαι (sc. εὔχομαι) N. 8. 38. χαλκέῳ τ' Ἄρει ἅδον (i. e. πολέμων ἦσαν ἔμπειροι. Σ.) I. 4. 15. Ζηνί τε ἅδον βασιλέι (Er. Schmid: θ' ἅδον codd: τίμιαι γεγένηνται. Σ.) I. 8. 18.

ἀνδέχομαι] v. ἀναδέκομαι.

ἀνδέρω] *tear the flesh from* κρυφᾷ δὲ σκολιαῖς γένυσσιν ἀνδέροντι πόδας ἠδὲ κεφαλάν (Schr.: ἀναδέροντι, -δέρουσι codd.: sc. Σκύθαι ἵππον νέκρον) fr. 203. 3.

ἄνδημα] *head band* met. ὑφαίνω δ' 'Αμυθαονίδαισιν ποικίλον ἄνδημα (i. e. ὕμνον.) fr. 179.

ἀνδρῐαντοποιός] *sculptor* οὐκ ἀνδριαντοποιός εἰμ', ὥστ' ἐλινύσοντα ἐργάζεσθαι ἀγάλματ' N. 5. 1.

ἀνδρῐάς] *statue* τό σφ' ἔχει κυπαρίσσινον μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν P. 5. 40. ἑκατοντορόγυιον ἀνδριάντα (sequ. ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν. Σ ad Arat. Phaen. 283: δαίμονα coni. Wil., cll. Philostr., Ap. Tyan. 6. 26) fr. 282.

ἀνδροδάμας] a. *that conquers man* φόβος ἀνδροδάμας N. 3. 39. ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου (supp. Casaubon, Boeckh: ὄδαμαν codd. Athenaei) fr. 166. 1. b. *murdering her husband* ἀνδροδάμαντ' 'Εριφύλαν (ἀνδρομάδαν τ' v. l.: ἀνδροδάμαν δ' coni. Schneidewin: ἡ γὰρ 'Εριφύλη τὸν ἑαυτῆς ἄνδρα 'Αμφιάραον προὔδωκεν εἰς φόνον. Σ.) N. 9. 16.

ἀνδροφθόρος] *man destroying*]ἀνδροφθόρον fr. 177b.

ἀνδροφόνος, -ον] *murdering their husbands* Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων P. 4. 252.

ἀνεγείρω] *awaken* met. ἀλλ' ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι χειρῶν ἄωτον O. 8. 74. ἐν ὕπνῳ γὰρ πέσεν (sc. φάμα παλαιά) ἀλλ'ἀνεγειρομένα χρῶτα λάμπει I. 4. 23. Κλεάνδρῳ τις ἁλικίᾳ τε — ἀνεγειρέτω κῶμον I. 8. 3. Μοῖσ' ἀνέγειρ' ἐμέ fr. 6a. e.

ἀνεῖπον] aor. *proclaim* Πυθιάδος δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν P. 1. 32. στρατῷ τ' ἀμφικτιόνων ὁ Παρνάσσιος αὐτὸν μυχὸς διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν P. 10. 9. μαθὼν δέ τις ἀνερεῖ, εἰ πὰρ μέλος ἔρχομαι (Gildersleeve: ἂν ἐρεῖ codd.) N. 7. 68.

ἀνεκάς] *upwards* ὅταν θεοῦ μοῖρα πέμπῃ ἀνεκὰς ὄλβον ὑψηλόν (ἀνακὰς coni. Schneidewin ex Hesych.) O. 2. 22.

ἀνεμόεις] *windy* Αἴτναν — ἶπον ἀνεμόεσσαν — Τυφῶνος ὀβρίμου O. 4. 7. ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ ἱστίον ἀνεμόεν (pr., i. e. *to the wind*) P. 1. 92.

ἄνεμος] (-ος, -ον; -ων, -οις, -ους) *wind* ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα χρῆσις O. 11. 1. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ ὑψιπετᾶν ἀνέμων P. 3. 105. βασιλεὺς ἀνέμων — Βορέας P. 4. 181. ὠκυπόρους κυμάτων ῥιπὰς ἀνέμους τ' ἐκάλει P. 4. 195. βαρυγδούπων ἀνέμων στίχες P. 4. 210. μὴ φθινοπωρὶς ἀνέμων χειμερία κατὰ πνοὰ δαμαλίζοι χρόνον P. 5. 120. τὸν οὔτε χειμέριος ὄμβρος — οὔτ' ἄνεμος ἐς μυχοὺς ἁλὸς ἄξοισι P. 6. 12. "ψάμαθοι κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται" P. 9. 48. ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν P. 11. 39. χερσὶ θαμινὰ βραχυσίδαρον ἄκοντα πάλλων ἶσα τ' ἀνέμοις (Mosch.: ἶσον τ' ἀνέμοισιν codd.) N. 3. 45. θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς ὑπὸ Τροίαν N. 3. 59. σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον N. 7. 17. παντοδαπῶν

ἀνέμων ῥιπαῖσιν fr. 33d. 2. οὐδ' ἀνέμους ἔ[λ]α[θ]εν οὐδὲ τὸν εὐρυφαρέτραν ἑκαβόλον Πα. 6. 110.]ναόν· τὸν μὲν Ὑπερβορ[έοις] ἄνεμος ζαμενὴς ἔμειξ[Πα. 8. 64. ὠκείας τ' ἀνέμων — ῥιπάς *fr. 140c. 2*.

ἀνεμοσφάραγος] *echoing in the wind* ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων P. 9. 5.

ἀνερέπτομαι] *carry off* ἀπὸ προθύρων βαθύκολπον ἀνερέψατο παρθένον Αἴγιναν sc. Ζεύς. Πα. 6. 136.

ἄνευ] prep. c. gen., *without* ἄνευ δὲ θεοῦ, σεσιγαμένον οὐ σκαιότερον χρῆμ' ἕκαστον O. 9. 103. ἄνευ — Χαρίτων P. 2. 42. "τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας λῦσον" P. 4. 154. εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου οὐ φαίνεται P. 12. 28. ὃς καὶ Ἰαολκὸν εἷλε μόνος ἄνευ στρατιᾶς N. 3. 34. κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων N. 3. 51. οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων N. 4. 77. ἄνευ σέθεν οὐ φάος N. 7. 2. μόνον ἄνευ συμμαχίας ἴμεν fr. 169. 46.

ἄνευθε(ν)] a. prep. c. gen., *far away from, without* ψυχὰν Ἀΐδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν I. 1. 68. ὅστις ἄνευθ' Ἑλικωνιάδων — ἐρευνᾷ σοφίας ὁδόν Πα. 7B. 19. ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν (Meineke: ἄνωθεν codd.) fr. 122. 6.
b. adv., *far away* τραχεῖαν ἄνευθε λιπὼν ἐγχέων ἀκμάν P. 1. 10.

ἀνέχω] a. *uphold, support* θεὸν — ὃς ἀνέχει τότε μὲν τὰ κείνων P. 2. 89. εἰ δ' αὐτὸ καὶ θεὸς ἀνέχοι (Thiersch: ἂν ἔχοι codd.: sc. the law of neighbourliness) N. 7. 89. b. *offer up* πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες sc. the people of Akragas fr. 119. 3.

ἀνεψιός] *cousin* Ἄδματος ἷκεν καὶ Μέλαμπος, εὐμενέοντες ἀνεψιόν Jason P. 4. 127. ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων N. 3. 63. ἀν]εψιοῦ[(supp. Blass) ?fr. 333d. 9.

ἀνήρ] (ἀνήρ, ἀνδρός, ἀνδρί, ἄνδρα; ἄνδρες, ἀνδρῶν, ἄνδρεσσι, ἀνδράσι(ν): ἀνέρι, ἀνέρα; ἀνέρες, ἀνέρων) *man*
1. man in his prime. a. παίζομεν φίλαν ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν O. 1. 17. ἀγῶνα νέμειν ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ — διφρηλασίας O. 3. 37. "φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαί" O. 4. 26. ἀκίνδυνοι δ' ἀρεταὶ οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις τίμιαι O. 6. 10. ἀνδράσιν αἰχματαῖσι πλέκων ποικίλον ὕμνον (τῷ τε Ἀγησίᾳ καὶ τοῖς τούτου προγόνοις. Σ.) O. 6. 86. ἀεθλοφόροις ἀνδράσιν O. 7. 8. τὰν δ' ἔπειτ' ἀνδρῶν μάχας ἐκ παγκρατίου O. 8. 58. Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις O. 9. 88. νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν O. 13. 23. ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον (Hermann: ἀνδράσι codd.) P. 2. 65. "ἀνδρὸς αἰδοίου" P. 4. 29. δέδεξαι τόνδε κῶμον ἀνέρων P. 5. 22. δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι P. 5. 86. τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων P. 9. 107. ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα (i. e. husband) P. 9. 118. Ἱπποκλέᾳ θέλοντες ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα P. 10. 6. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες πολυπόνων ἀνδρῶν N. 1. 33. ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον ἐν παλαιτέροισι N. 3. 72. ἐπαοιδαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον θῆκεν N. 8. 49. νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις N. 9. 12. ἄγαγον στρατὸν ἀνδρῶν N. 9. 18. ἐντί τοι φίλιπποί τ' αὐτόθι — ἄνδρες N. 9. 33. ποτὶ δυσμενέων ἀνδρῶν στίχας N. 9. 38. ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις ἀνδράσιν I. 1. 9. τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν I. 4. 17. ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ I. 5. 50. θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου I. 6. 1. περικτίονας ἐνίκασε — ἄνδρας I. 8. 65. κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων fr. 4. Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν fr. 29. 2. ἀλκαὶ δὲ τεῖχος ἀνδρῶν [ὕψιστον ἵστατ]αι Πα. 2. 37. χρὴ δ' ἄνδρα τοκεῦσιν φέρειν βαθύδοξον αἶσαν Πα. 2. 57. ψοφὸν ἀιὼν Κασταλίας ὀρφανὸν ἀνδρῶν χορεύσιος ἦλθον Πα. 6. 9. Ἀλαλά — ᾇ θύεται ἄνδρες ὑπὲρ πόλιος fr. 78. 3. (ψυχάς) ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ — μέγιστοι ἄνδρες αὔξοντ' fr. 133. 5. πέφνε δὲ τρεῖς καὶ

δέκ' ἄνδρας fr. 135. νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί fr. 199. 2. ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες (fort. non omnia haec sunt Pindari, nott. Wil.) fr. 210. νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται fr. 229. ὦ Συράκοσαι, — ἀνδρῶν ἵππων τε σιδαροχαρμᾶν δαιμόνιαι τροφοί P. 2. 2. ἄνδρεσσι καὶ γυναιξὶ P. 5. 64. ἀνδρὸς δ' οὔτε γυναικὸς Παρθ. 2. 36. ἄνδρες θήν τινες ἀκιζόμενοι νεκρὸν ἵππον στυγέοισι (oxymoron intell. Schr.) fr. 203. 1. b. specifically, men or heroes τὸ καὶ ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ Hagesias O. 6. 18. ἵκωμαί τε πρὸς ἀνδρῶν καὶ γένος Iamidai O. 6. 24. εὐθυμάχαν — πελώριον ἄνδρα Diagoras O. 7. 15. τεθμὸν 'Ολυμπιονίκαν ἄνδρα τε Diagoras O. 7. 89. ἀνδρὸς ἀμφὶ παλαίσμασιν Epharmostos O. 9. 13. ὑπέρφατον ἄνδρα μορφᾷ τε καὶ ἔργοισι Opous O. 9. 65. ἄνδρα δ' ἐγὼ κεῖνον αἰνῆσαι μενοινῶν Hieron P. 1. 42. ἀνήρ ἐξαίρετον ἕλε μόχθον Ixion P. 2. 29. ἄιδρις ἀνήρ (Ixion = ἥρως v. 31) P. 2. 37. σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ στᾶμεν Arkesilas P. 4. 1. ἀνὴρ ἔκπαγλος Jason P. 4. 79. ἀνὴρ συγγενέσιν παρεκοινᾶθ' Jason P. 4. 132. γόνον ἰδὼν κάλλιστον ἀνδρῶν Jason P. 4. 123. δοιοὶ δ' ὑψιχαῖται ἀνέρες Euphamos and Periklymenos P. 4. 173. Ζήταν Κάλαΐν τε — ἄνδρας πτεροῖσιν νῶτα πεφρίκοντας P. 4. 182. βιατὰς — ἀνὴρ Jason P. 4. 236. καρτερὸν ἄνδρα Jason P. 4. 239. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί Arkesilas P. 5. 107. ὁ θεῖος ἀνὴρ Antilochos P. 6. 38. Τελεσικράτη — γεγωνεῖν ὄλβιον ἄνδρα διωξίππου στεφάνωμα Κυράνας P. 9. 4. ἐς ἀνδρῶν μακάρων ὅμιλον Hyperboreans P. 10. 46. ἐκ τούτων φίλον ἄνδρα πόνων ἐρρύσατο Perseus P. 12. 18. ἔσταν δ' ἐπ' αὐλείαις θύραις ἀνδρὸς φιλοξείνου Chromios N. 1. 20. καὶ ὅδ' ἀνὴρ καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται πρῶτον Timodemos N. 2. 3. καί τις ἄνδρας ἀλκίμους δαίμων ἀπ' Οἰνώνας ἔλασεν Peleus and Telamon N. 5. 15. φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον Thearion? N. 7. 62. ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' 'Αρκεσίλαν Aristagoras N. 11. 11. τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν Herodotos I. 1. 34. εὐάρματον ἄνδρα γεραίρων Xenokrates I. 2. 17. ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν — υἱὸς 'Αλκμήνας Herakles v. Fraenkel on Agam. 719. I. 4. 53. λευκωθεὶς κάρα μύρτοις ὅδ' ἀνὴρ Melissos I. 4. 70. κλυταῖς ἀνδρὸς φίλου — ἐφετμαῖς Lampon I. 6. 18. "λίσσομαι παῖδα θρασὺν ἐξ 'Εριβοίας ἀνδρὶ τῷδε — τελέσαι" Telamon I. 6. 46. φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν Lampon (ἀνδράσιν ἀεθληταῖσιν coni. Heyne) I. 6. 72. "ὑπὸ σπλάγχ[νοις] φέροισα τόνδ' ἀνέρ'" Paris. Πα. 8A. 19.]τῶνδ' ἀνδρῶν ἕνεκεν μερίμνας σώφρονος Aioladas and Pagondas. Παρθ. 2. 63. Πολυμνάστου Κολοφωνίου ἀνδρός fr. 188.

2. generally = ἄνθρωπος. a. ῥοαὶ δ' ἄλλοτ' ἄλλαι — ἐς ἄνδρας ἔβαν O. 2. 34. αἵ γε μὲν ἀνδρῶν — κυλίνδοντ' ἐλπίδες O. 12. 5. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται P. 3. 105. τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει P. 8. 28. λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών P. 8. 97 καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον φᾶσέ νιν δώσειν μόρῳ (ἀνδρῶν cum τινα Σ: "ἀνδρῶν γιγάντων intellego" Schr.: v. Radt, Mnem., 1966, 169f.) N. 1. 65. (ἄρουραι) βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν (Hermann: ἄνδρεσσιν codd.) N. 6. 10. παροιχομένων γὰρ ἀνέρων ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν N. 6. 29. τυφλὸν δ' ἔχει ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος N. 7. 24. ἀρετὰ — ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν αἰθέρα N. 8. 41. ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος N. 11. 38. "χρήματα χρήματ' ἀνήρ" I. 2. 11. εἴ τις ἀνδρῶν — κατέχει φρασὶν αἰανῆ κόρον I. 3. 1. ἀνδρῶν δ' ἀρετὰν σύμφυτον οὐ κατελέγχει (i. e. τῶν προγόνων) I. 3. 13. οὔτοι τετύφλωται μακρὸς μόχθος ἀν-

δρῶν I. 5. 57. δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται I. 8. 14. τυφλα[ὶ γὰ]ρ ἀνδρῶν φρένες, ὅστις Πα. 7B. 18. ἔθηκας ἀμάχανον ἰσχύν τ' ἀνδράσι καὶ σοφίας ὁδόν Πα. 9. 4. ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος Πα. 9. 20. ἐπιχθόνιον γένος ἀνδρῶν (v. l. ἀνθρώπων) fr. 213. 3. σφετέραν δ' αἰνεῖ δίκαν ἀνδρῶν ἕκαστος fr. 215. 3. b. contrasted with the gods ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά O. 1. 35. εἰ δὲ δή τιν' ἄνδρα θνατὸν 'Ολύμπου σκοποὶ ἐτίμασαν O. 1. 54. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται — λαθέμεν O. 1. 64. προῆκαν υἱὸν ἀθάνατοι — μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος O. 1. 66. τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν; O. 2. 2. ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς O. 8. 8. ἀγαθοὶ δὲ καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες ἐγένοντ' O. 9. 28. τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν O. 9. 110. cf. O. 10. 22, O. 11. 10. τάμι' ἀνδράσι πλούτου O. 13. 7. πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον Ὧραι O. 13. 16. οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις P. 2. 43. (Χίρωνα) νόον ἔχοντ' ἀνδρῶν φίλον P. 3. 5. "θεῷ ἀνέρι εἰδομένῳ" P. 4. 21. μάκαρ μὲν ἀνδρῶν μέτα ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής sc. Battos P. 5. 94. Διός τοι νόος μέγας κυβερνᾷ δαίμον' ἀνδρῶν φίλων P. 5. 123. τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται· δαίμων δὲ παρίσχει P. 8. 76. θήσονταί τέ νιν ἀθάνατον — ἀνδράσι χάρμα φίλοις P. 9. 64. θεὸς εἴη ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς, ὃς P. 10. 22. ἀθάνατων ἀνδρῶν τε σὺν εὐμενίᾳ P. 12. 4. κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς N. 1. 9. ἓν ἀνδρῶν, ἓν θεῶν γένος N. 6. 1. μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι (sc. Διόσκουροι). καὶ μὰν θεῶν πιστὸν γένος N. 10. 54. κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν I. 5. 11. ἴσον μὲν θεὸν ἄνδρα τε φίλον (⟨θεῷ⟩ supp. Heyne: sc. ὑποτρέσαι) fr. 224. ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ fr. 225.]'Απόλλωνι μὲν θ[εῶν] ἀτὰρ ἀνδρῶν 'Εχεκ[ρά]τει ?fr. 333a. 5.

3. generally, *a man, anyone* ὁ μὰν πλοῦτος — ἐτυμώτατον ἀνδρὶ φέγγος O. 2. 56. αὐδάσομαι — τεκεῖν μή τιν' — πόλιν — ἄνδρα μᾶλλον εὐεργέταν O. 2. 93. τοῦτο δ' ἀμάχανον εὑρεῖν, ὅτι — φέρτατον ἀνδρὶ τυχεῖν O. 7. 26. κεῖνος ἂν εἴποι — τίς τρόπος ἄνδρα προβάσει O. 8. 63. 'Αίδα τοι λάθεται ἅρμενα πράξαις ἀνήρ O. 8. 73. θάξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ O. 10. 21. ὅταν — εἰς 'Αίδα σταθμὸν ἀνὴρ ἵκηται O. 10. 93. ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως O. 11. 10. ἀμφοτέροισι δ' ἀνὴρ ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται P. 1. 99. ἄνδρ' ἐκ θανάτου κομίσαι ἤδη ἁλωκότα P. 3. 56. οὕτω κ' ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν P. 7. 20. οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες N. 3. 30. φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει N. 4. 39. ἵνα κρεῶν νιν ὕπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ N. 7. 42. εἰ δὲ γεύεται ἀνδρὸς ἀνήρ τι N. 7. 87. κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ N. 9. 15. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν I. 8. 15. καὶ συγγένει' ἀνδρὶ φ[—]στέρξαι Πα. 4. 33. τί ἔλπεαι σοφίαν ἔμμεν, ἂν ὀλίγον τοι ἀνὴρ ὑπὲρ ἀνδρὸς ἴσχει; fr. 61. 2. παντὶ δ' ἐπὶ φθόνος ἀνδρὶ κεῖται ἀρετᾶς Παρθ. 1. 8. πολύ τοι φέριστον ἀνδρὶ τερπνὸς αἰών fr. 126. 2.

4. where the accompanying adj. or subs. bears the emphasis. a. c. subs. ἄνδρας ὀλέσαις μναστῆρας O. 1. 79. μάτρωες ἄνδρες O. 6. 77. μάντιες ἄνδρες O. 8. 2. ἁγητὴρ ἀνήρ P. 1. 69. ὥσπερ κυβερνάτας ἀνήρ P. 1. 91. ἅτε μάντις ἀνήρ I. 6. 51. cf. P. 9. 118. b. c. adj. οὐ δίκᾳ συναντόμενος ἀλλὰ μαργῶν ὑπ' ἀνδρῶν O. 2. 96. Αἰτωλὸς ἀνήρ O. 3. 12. τίνα κεν φύγοι ὕμνον κεῖνος ἀνήρ O. 6. 7. ἀνδρῶν 'Αρκάδων O. 6. 34. ἐπὶ προτέρων ἀνδρῶν O. 7. 72. ναυσιφορήτοις δ' ἀνδράσι P. 1. 33. πολεμίων ἀνδρῶν καμόντων P. 1. 80. ἀποιχομένων ἀνδρῶν δίαιταν P. 1. 93. εὐθύγλωσσος ἀνὴρ προφέρει P. 2. 86. ἐσλοῖσι — ἀνδράσιν P. 3. 66. Λακεδαι-

μονίων — ἀνδρῶν P. 4. 257. βροτήσιος ἀνὴρ P. 5. 3. ἀλλά νιν εὕροισ' ἀνδράσι θνατοῖς ἔχειν P. 12. 22. ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων N. 3. 41. 'Αχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ N. 7. 64. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν N. 8. 42. καὶ Κλεωναίων πρὸς ἀνδρῶν N. 10. 42. κούφα δόσις ἀνδρὶ σοφῷ — ξυνὸν ὀρθῶσαι καλόν I. 1. 45. τὸ τεὸν δ' ἀνδρῶν 'Αχαιῶν ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι I. 1. 58. εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμάς 'Ελικωνιάδων I. 2. 34. καὶ κρέσσον' ἀνδρῶν χειρόνων ἔσφαλε τέχνα καταμάρψαισ' I. 4. 34. [ἀνδ]ρὶ σοφῷ (supp. Lobel.) Πα. 18. 3. ἀνδρῶν δικαίων fr. 159. κενεοφρόνων ἑταῖρον ἀνδρῶν fr. 212.

c. c. τις, ἄλλος τις. ἀντεβόλησεν τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον O. 13. 31. εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνὴρ O. 14. 7. ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ εὐαχέα βασιλεῦσιν ὕμνον P. 2. 13. κωφὸς ἀνήρ τις, ὃς 'Ηρακλεῖ στόμα μὴ περιβάλλει P. 9. 87.

5. frag.]φυγον ἄνδρα[Πα. 12. 22.]ἔτι δ' ἀνδρ[Πα. 21. 21. κά]νδρῶν (supp. Snell.) Δ. 4. c. 4.]αλαον ἀνδρὸς λ[fr. 173. 3.

ἀνθεμόεις] *flowery* ἀνὰ δώτιον ἀνθεμόεν πεδίον *fr. 107a. 4*

ἄνθεμον] *flower* ἄνθεμα δὲ χρυσοῦ φλέγει sc. in the isles of the blessed O. 2. 72. καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας (i. e. coral) N. 7. 79.]ἀνθέμων βα[(v. l. -εμῳ.) P. Oxy. 841. fr. 46.

ἀνθέω] *blossom, flourish* χθὼν ὦτε φοινικέοισιν ἄνθησεν ῥόδοις I. 4. 18. met., γείτονες ὧν κλέος ἄνθησεν αἰχμᾶς P. 1. 66. χρυσοστεφάνου δέ οἱ 'Ηβας καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον P. 9. 110. ἕποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν P. 10. 18. λέγεται μὰν 'Εκτορι μὲν κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν ἀγχοῦ N. 9. 39. c. dat., ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως O. 11. 10. ἐν δὲ Μοῖσ' ἁδύπνοος, ἐν δ' 'Αρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν O. 13. 23.

ἄνθος] (ἄνθος, -ος; ἄνθε(α), -έων, -εσι(ν), -ε(α).) *blossom* a. δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἶσον N. 11. 41. b. pl., *blossoms, wreaths, garlands* ἐς ἀδελφεὸν — Χάριτες ἄνθεα τεθρίππων — ἄγαγον O. 2. 50. τῶν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δίς O. 7. 80. Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον N. 4. 21. ἀνθέων ποιάεντα φέρε στεφανώματα (Hermann: ἄνθεα codd.) N. 5. 54. δύο μὲν — σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν κλᾶρος προπετὴς ἄνθε' 'Ολυμπιάδος N. 6. 63. τὰν δὲ λαῶν γενεὰν δαρὸν ἐρέπτοι σώφρονος ἄνθεσιν εὐνομίας Πα. 1. 10. c. met. ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος O. 6. 105. αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων νεωτέρων O. 9. 48. "σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει" P. 4. 158. κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' 'Αφροδίσια N. 7. 53. ἄν]θεα τοια[υτ —] ὑμνήσιος δρέπῃ (supp. Lobel.) Πα. 12. 4.

ἀνθρᾱκιά] *embers* "δοιὰ βοῶν θερμὰ πρὸς ἀνθρακιὰν στέψαν" (Schr.: δ' εἰς ἀνθ. codd.) fr. 168. 2.

ἄνθρωπος] (-ος v. l., -ῳ; -οι, -ων, -οις, -οισι(ν), -ους) *man*, pl., *mankind* a. σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις O. 3. 18. ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι ἀναρίθμητοι κρέμανται O. 7. 24. ἐν δ' ἀρετὰν ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι προμαθέος αἰδώς O. 7. 44. φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσιες O. 7. 54. παραπειρῶνται Διὸς ἀργικεραύνου εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι O. 8. 4. Αἴγιναν — ἔνθα — ἀσκεῖται Θέμις ἔξοχ' ἀνθρώπων O. 8. 23. τερπνὸν δ' ἐν ἀνθρώποις ἶσον ἔσσεται οὐδέν O. 8. 53. πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι O. 9. 101. ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα χρῆσις O. 11. 1. πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν O. 12. 10. ἔτυμον λόγον ἀνθρώπων P. 1. 68. μείων ἕπεται μῶμος ἀνθρώπων P. 1. 82. ἐν ἀνθρώποισι P. 3. 21. πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους P. 3. 46. εἴ τιν' ἀνθρώπων P. 3. 86. Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις, —

γινώσκομεν P. 3. 112. ὄρνιν Κυπρογένεια φέρεν πρῶτον ἀνθρώποισι P. 4. 217. ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει P. 4. 286. σκιᾶς ὄναρ ἄνθρωπος (v. l. ἄνθρωποι) P. 8. 96. εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου οὐ φαίνεται P. 12. 28. ἔστι δέ τις λόγος ἀνθρώπων N. 9. 6. ἔνθ' Ἀρείας πόρον ἄνθρωποι καλέοισι N. 9. 41. ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι N. 10. 20. χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων N. 10. 72. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέκμαρ N. 11. 43. μισθὸς γὰρ ἄλλοις ἄλλος ἐπ' ἔργμασιν ἀνθρώποις γλυκύς I. 1. 47. ὅσον ὀργὰν Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν ἔσχεν I. 2. 36. ἄλλοτε δ' ἀλλοῖος οὖρος πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει I. 4. 6. ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται μαρτύρια φθιμένων ζωῶν τε φωτῶν ἀπλέτου δόξας I. 4. 9. ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων I. 4. 37. Θεία, σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων I. 5. 3. φ]έρτατος ἀνθρώπων Πα. 13b. 5.]ἄνθρωπ[ο Πα. 21. 18. πρὶν μὲν ἕρπε — τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων Δ. 2. 3. ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι στηθέων ἔξω fr. 124. 5. ἀν]θρώποισ[Θρ. 4. 9. — **b.** as opposed to **α.** gods. — θεόμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί O. 3. 10. "ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς αἰδέοντ'" P. 9. 40. Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος ὀρνύντος αὔξεται P. 10. 10. σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος N. 8. 17. εἰ γάρ τις ἀνθρώπων — πράσσει θεοδμάτους ἀρετὰς I. 6. 10. εἰ δέ τις ἀνθρώποισι θεόσδοτος †ἀτληκηκοτας† προστύχῃ fr. 42. 5.]ἀνθρώπο[ις (supp. Bury) Δ. 2. 30. θεῶν καὶ κατ' ἀνθρώπων ἀγυιάς fr. 194. 6. **β.** heroes. ἥροες ἁγνοὶ πρὸς ἀνθρώπων καλέονται fr. 133. 6. **γ.** animals. πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις O. 7. 63. **c.** *a man, anyone* καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι N. 5. 18. **d.** *woman* "καὶ τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;" P. 4. 98. "τίς νιν ἀνθρώπων τέκεν;" P. 9. 33.

ἀνία] (ἡ) pl., *reins* ἀκηράτοις ἀνίαις P. 5. 32. χεῖρα —· τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἀνίαις *with full rein* I. 2. 22.

ἀνία] (τά) *reins* "ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν" P. 4. 18. ἀνία τ' ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ' ἐθέλω — ἐναρμόξαι μιν ὕμνῳ I. 1. 15.

ἀνία] *(pang of) distress* "ἄνευ ξυνᾶς ἀνίας" P. 4. 154. ὀξείαις ἀνίαισι τυπείς N. 1. 53.

ἀνῐᾱρός] *grievous, distressing* ἀνιαραῖς ἀντικύρσαντες ζάλαις O. 12. 11. φαντὶ δ' ἔμμεν τοῦτ' ἀνιαρότατον P. 4. 288. ζώει κάματον προφυγὼν ἀνιαρόν Παρθ. 1. 19.

ἀνίατος] *incurable*]ἀνίατον εἰ[fr. 260. 3.

ἀνίημι] *raise up* Μοῖσ' ἀνέηκέ με (forma epica: ἤγουν ἀνέπεισεν paraphr. Eustathii.) fr. 151.

ἀνίκα] c. ind., *at that time when* βρέχε θεῶν βασιλεὺς — χρυσέαις νιφάδεσσι πόλιν, ἀνίχ' — Ἀθαναία κορυφὰν κατ' ἄκραν ἀνορούσαισ' ἀλάλαξεν O. 7. 35. σκύταλον τίναξε χερσίν, ἀνίκ' — ἤρειδε Ποσειδάν O. 9. 31. τλάμονι ψυχᾷ παρέμειν', ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν P. 1. 48. "ἀνίκ' — ἐπέτοσσε" P. 4. 24. ἦρα χαλκοκρότου πάρεδρον Δαμάτερος ἀνίκ' εὐρυχαίταν ἄντειλας Διόνυσον; (sc. θυμὸν τεὸν εὔφρανας) I. 7. 4. ἀ]νίκα Δαρδανίδαις Ἑκάβ[Πα. 8A. 17. λέγοντι Ζῆνα — φυλάξαι προνοίᾳ, ἀνίκ' ἀγανόφρων Κοίου θυγάτηρ λύετο τερπνᾶς ὠδῖνος Πα. 12. 12.]τε καὶ ἀνίκα ναυλοχοι[—]ήλασαν ἐννύχιον κρυφα[Πα. 18. 9. ἐν ξυνῷ κεν εἴη συμπόταισίν τε γλυκερὸν — κέντρον, ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι στηθέων ἔξω sc. after dinner at wine fr. 124. 5.

ἀνίκᾱτος, -ον] *unconquerable*, with hypallage "βέλος — ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον" P. 4. 91.

ἀνίοχος] *chariot driver* ἐν τεσσαρά-

κοντα γὰρ πετόντεσσιν ἀνιόχοις P. 5. 50. met., Μελησίαν, χειρῶν τε καὶ ἰσχύος ἀνίοχον i. e. a trainer N. 6. 66.

ἄνιππος] *without horses* cf. Bacch. 8. 15. ἀνιππός εἰμι καὶ βουνομίας ἀδαέστερος (a chorus of Keans speaks on behalf of their island) Πα. 4. 27.

ἀνίσταμι] a. act., *set up, appoint* c. acc. dupl. ἐμὲ δ' ἐξαίρετον κάρυκα σοφῶν ἐπέων Μοῖσ' ἀνέστασ' Ἑλλάδι Δ. 2. 25. b. intrans. aor. 2, *rise up, appear* "μή τι νεώτερον ἐξ αὐτῶν ἀναστάῃ κακόν" (Wil. Schulze, Q. E. 431[2]: -στάσῃς Schnitzer: -στήσῃς, -ήσας, -ήσῃ, -αίῃ codd., Σ.) P. 4. 155.

ἀνοίγω] *open, cleave, break open* τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων P. 5. 88. ἀλλά μιν Κρόνου παῖ[δες] κεραυνῷ χθόν' ἀνοιξάμενο[ι] ἔκρυψαν Πα. 8. 73. ἀνοῖξαι πίθον ὕμνων ?fr. 354.

ἀνόμοιος] *unequal, dissimilar* ἦ μὰν ἀνόμοιά γε δᾴοισιν ἐν θερμῷ χροΐ ἕλκεα ῥῆξαν (sc. Aias and Odysseus: τουτέστι οὐδὲ ἐξ ἴσου τοῖς Τρωσὶν ἐπολέμησαν ἀλλ' ὁ μὲν Ὀδυσσεὺς δειλὸς ἦν, ὁ δὲ Αἴας ὠθεῖτο εἰς τοὺς πολεμίους. Σ.) N. 8. 28.

ἀνορέα] (-ας, -ᾳ; -αις) *manliness, courage* ἀνορέας δ' οὐκ ἀμπλακὼν O. 8. 67. τοῦ μὲν ἀντίθεοι ἀρίστευον υἱέες υἱέων τ' ἀρηίφιλοι παῖδες ἀνορέᾳ χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον I. 8. 25.]Κάδμου στρατὸν καὶ Ζεάθου πόλιν, ἀκερσεκόμα πάτερ, ἀνορέας ἐπέτρεψας ἕκατι σαόφρονος (sc. of Teneros) Πα. 9. 45. pl., *manly exploits* ὁ δὲ καλόν τι νέον λαχὼν ἁβρότατος ἔπι μεγάλας ἐξ ἐλπίδος πέταται ὑποπτέροις ἀνορέαις *on the wings of his manly exploits* P. 8. 91. ἀνορέαις ὑπερτάταις ἐπέβα παῖς Ἀριστοφάνεος N. 3. 20. ἀνορέαις δ' ἐσχάταισιν οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις I. 4. 11.

ἀνόρνυμι] *rouse, strike up* ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν ἱππίων ἀέθλων κορυφάν (Morel.: i. e. aor. subj.: ὄρσωμεν codd.) N. 9. 8.

ἀνορούω] *leap up, start up* πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν ἀνορούσαισ' ἀλάλαξεν O. 7. 37. [ἀνόρουσε v. l. ἐσόρουσε O. 8. 40.]ἄπεπλος ἐκ λεχέων νεοτόκων[—]οθ[.]νόρουσε περὶ φόβῳ (αὐτόθ' ἀνόρουσε coni. Snell) Πα. 20. 15.

ἄνοσος] *without sickness* κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι πόνων τ' ἄπειροι (sc. θεοί) fr. 143. 1.

ἀνσπάω, (ἀνασπάω)] *draw up (a ship)* "φέρομεν — ἐννάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς" P. 4. 27.

ἄντα] a. adv., *face to face, squarely* ἔλπομαι μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν ὥτ' ἀπὸ τόξου ἱείς (Mingarelli: ἄντα σκοποῦ (τε)τυχεῖν codd.: σκοποῦ ἂν τετυχεῖν Σ.) N. 6. 27. b. prep. c. gen., *against* — κείνοις δ' ὑπέρτατον ἦλθε φέγγος ἄντα δυσμενέων Πα. 2. 69.

ἀνταγορεύω] *reply* ἀκᾷ δ' ἀντᾱγόρευσεν καὶ Πελίας P. 4. 156.

ἀντάεις] *hostile, enemy* οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν ξυνῷ πεπονaμένον εὖ μὴ — κρυπτέτω P. 9. 93.

Ἀνταῖος] a. son of Poseidon, killed in wrestling with Herakles. καί τοί ποτ' Ἀνταίου δόμους Θηβᾶν ἄπο Καδμειᾶν μορφὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι, υἱὸς Ἀλκμήνας I. 4. 52. cf. fr. 111. b. king of Libya, father of Barke or Alkeis = a?. Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον μναστῆρες ἀγακλέα κούραν P. 9. 106.

ἀνταμοιβά] *return, requital*]τ' ἔρωτος ἀνταμοιβὰν ἐδάσσατο[— στρα]τάρχῳ (Lobel: αντ' αμοιβαν Π.) Δ. 4. 42.

Ἀντᾱνορίδαι] *descendants of Antenor* Κυράνας —· ἔχοντι τὰν χαλκοχάρμαι ξένοι Τρῶες Ἀντανορίδαι (Λυσίμαχος — ἱστορεῖ, παρ' Ἄμνακι βασιλεῖ Λιβύων αὐτούς, sc. τοὺς Ἀντηνορίδας, ᾠκηκέναι μὴ βουλομένους συνοικεῖν τοῖς τὸ Ἴλιον πεπορθηκόσι, καὶ ὅτι ἔκτισαν — τὸν —

λόφον 'Αντηνοριδῶν ἐπικεκλημένον. Σ.) P. 5. 83.

ἀνταύω] *sound in turn, in answer* ἐκ νεφέων δέ οἱ ἀντάῦσε βροντᾶς αἴσιον φθέγμα P. 4. 197.

ἀντάω] *meet with,* c. gen. ἀλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν O. 10. 42.

ἀντείνω] v. ἀνατείνω.

ἀντερείδω] *put out* τι *to meet* τινι. "χειρί οἱ χεῖρ' ἀντερείσαις" P. 4. 37. ὅσσα τ' ἔριξε λευκωλένῳ ἄκναμπτον "Ηρᾳ μένος ἀντερείδων i. e. *pitting his strength against* Πα. 6. 88.

ἀντέχω] med., met., *cling to (the theme of)* c. gen. ἐγὼ δ' 'Ηρακλέος ἀντέχομαι προφρόνως N. 1. 33.

ἀντί] prep. c. gen. a. *in return for, in consideration of* ἄγει δὲ χάρις φίλων ποί τινος ἀντὶ ἔργων ὀπιζομένα P. 2. 17. ἐπεὶ κοῦφα δόσις ἀνδρὶ σοφῷ ἀντὶ μόχθων παντοδαπῶν — ξυνὸν ὀρθῶσαι καλόν I. 1. 46. μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων I. 5. 25. b. *instead of* "ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαντες θοάς, ἁνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλόποδας" P. 4. 17—8. πέτραι δ'[ἔφ]α[ν]θεν ἀντὶ φωτῶν Δ. 4. 41.

ἀντιάζω] a. abs., *encounter, meet,* met. ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι N. 10. 20. b. c. acc. and dat. ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν *engaged in battle with* N. 1. 68. c. c. dat., *meet with, attain to* τοίαισιν ὀργαῖς εὔχεται ἀντιάσαις 'Αίδαν γῆράς τε δέξασθαι πολιὸν ὁ Κλεονίκου παῖς (συντυχὼν Σ.) I. 6. 15. d. πρός τι, *answer* χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων O. 10. 84.

ἀντιάνειρα] f. adj., *setting man against man* στάσις ἀντιάνειρα O. 12. 16.

'Αντίας] a victor related to Theaios of Argos on his mother's side. ἐὼν Θρασύκλου 'Αντία τε σύγγονος N. 10. 40.

ἀντιβολέω] *partake of, attain* c. gen. ἀντεβόλησεν τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον O. 13. 30.

ἀντίθεος] *god-like* ἀντιθεοῖσιν — σὺν βαθυζώνοιο διδύμοις παισὶ Λήδας O. 3. 35. ἥροας ἀντιθέους P. 1. 53. παρ' ἀντιθέῳ Κάδμῳ P. 3. 88. ἥροες ἀντίθεοι sc. Argonauts P. 4. 58. τοῦ μὲν ἀντίθεοι ἀρίστευον υἱέες sc. of Aiakos I. 8. 24. Πηλέος ἀντιθέου fr. 172. 1.

ἀντίκειμαι] *be established as recompense* τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται I. 7. 26.

ἀντικύρω] *hit upon, encounter* c. dat. οἱ δ' ἀνιαραῖς ἀντικύρσαντες ζάλαις O. 12. 12.

'Αντίλοχος] son of Nestor. 'Αντίλοχος βιατὰς — ὃς ὑπέρφθιτο πατρός, ἐναρίμβροτον ἀναμείναις — Μέμνονα P. 6. 28.

ἀντιξοέω] *oppose* i. e. *gainsay* Νέμεά τ' οὐκ ἀντιξοεῖ viz. the fact that he has won victories there O. 13. 34.

'Αντιόπα] an Amazon. test., Paus. 1. 2. 1. ταύταν τὴν 'Αντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι fr. 175. Plut., Vit. Thesei, 28. 2, Θησεὺς — ἔχων υἱὸν 'Ιππόλυτον ἐξ 'Αντιόπης, ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα fr. 176.

ἀντίος] 1. adj., *opposite, to face* a. abs. ὁ δ' ἀντίον ἀνὰ κάρα τ' ἀειρ[ε pr. Πα. 20. 10. b. c. dat. λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν ἀντίον *against* pr. N. 1. 25. Ζεὺς δ' ἀντίος ἤλυθέ οἱ *face to face* pr. N. 10. 79. c. c. gen. ἐπεὶ ἀντίον πῶς ἂν τριόδοντος 'Ηρακλέης σκύταλον τίναξε χερσίν *in the face of* pr. O. 9. 29. d. *adverse* ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς 'Απόλλων (οὐ δεξιόν Σ.) O. 8. 41.
2. pro subs., *rival* μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους P. 1. 45.

ἀντία] n. pl. of ἀντίος. a. pro adv., *adversely, otherwise* "τὸ δ' οἴκοθεν ἀντία πράξει" P. 8. 52. b. pro prep. α. c. gen., *contrary to* σὲ δ' ἀντία προτέρων φθέγξομαι O. 1. 36. καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ *against her father's wishes* O. 13. 53. β. c.

dat., *against* οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς P. 4. 285.

ἀντίπᾰλος] *wrestling against*, met. αἰνέω καὶ Πυθέαν — χερσὶ δεξιόν, νόῳ ἀντίπαλον *matching, a good match* I. 5. 61. c. gen., πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος γήραος ἀντίπαλον O. 8. 71. pro subs., *one's wrestling opponent* καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων N. 11. 26.

ἀντῐτείνω] *strive against* c. dat. ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ N. 4. 37.

ἀντῐτομος] n. pl. pro subs., *remedy* c. gen. φαρμακώσσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν (κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ῥιζοτόμων. Σ.) P. 4. 221.

ἀντῐτυγχάνω] *fall in with* **a.** c. gen. ἵνα κρεῶν νιν (sc. Νεοπτόλεμον) ὕπερ μάχας ἔλασεν ἀντιτῠχόντ' ἀνὴρ μαχαίρᾳ *became involved in* N. 7. 42. **b.** c. acc., (coni.) τὰ δ' αὐτὸς ἀντιτύχῃ, ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι (Mingarelli: ἄν τις τύχῃ codd.: *what he himself has encountered*) N. 4. 91.

ἀντῐφερίζω] *set oneself against, match oneself* "εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι, ἐρέω" P. 9. 50.

ἀντιφθέγγομαι] *answer* ἀντεφθέγξατο δ' ἀρτιεπὴς πατρία ὄσσα O. 6. 61.

ἀντίφθογγος] *answering the voice* ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πακτίδος (contra R.-E., s. v. Lyra, "was — sich eben auf das Spiel in Oktaven bezieht") fr. 125. 3.

ἀντιφ'λέγω] *shine in one's face* c. acc. ἤδη γὰρ αὐτῷ — ὅλον — ὀφθαλμὸν ἀντέφ'λεξε Μήνα O. 3. 20.

ἀντλέω] met., *use to the utmost, make most of* τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν P. 3. 62.

ἄντλος] *floodwater* ἀνάπωτιν ἐξαίφνας ἄντλον ἑλεῖν O. 9. 53. met., τιθεὶς ὕβριν ἐν ἄντλῳ (i. e. *obscurity*. ἀφανίζεις. Σ.) P. 8. 12.

ἄντομαι] *meet; receive, greet* τὸ Καστόρειον δ' — θέλων ἄθρησον χάριν ἑπτακτύπου φόρμιγγος ἀντόμενος P. 2. 71. τῶν γὰρ ἀντομένων[(τῶν ἀντιπάλων. Σ.) Πα. 2. 42.

ἄντρον] *cave* Ζεῦ — τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖόν τε σεμνὸν ἄντρον (v. Ἰδαῖος) O. 5. 18. Τυφὼς —. τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον P. 1. 17. εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χίρων P. 3. 63. "σεμνὸν ἄντρον, Φιλλυρίδα, προλιπὼν" P. 9. 30. "Ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Χίρωνος αὐτίκ' ἀγγελίαι" I. 8. 41.
ἀντρόθε: "ἀντρόθε γὰρ νέομαι" (v. l. ἀντροθε) Jason speaks P. 4. 102.

ἀνῠ́ω] [a. act., *kill* Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων (Boeckh e Σ: ἄυσεν codd.) P. 12. 11.] **b.** med., *accomplish* θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται P. 2. 49.

ἄνω] *accomplish* pass. ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς (i. e. impers., *there is accomplishment for prayers*) O. 8. 8. σὺν γὰρ ὑμῖν τά τε τερπνὰ καὶ τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς (Kayser: τὰ γλυκέα γίνεται codd.) O. 14. 6.

ἄνω] *up* met. αἵ γε μὲν ἀνδρῶν πολλ' ἄνω τὰ δ' αὖ κάτω — κυλίνδοντ' ἐλπίδες O. 12. 6.

ἀνώνῠμος] (cf. νώνυμνος) *nameless, inglorious* ἀνώνυμον γῆρας — ἕψοι μάταν O. 1. 82.

Ἄξεινος] sc. πόντος *inhospitable, Black sea* cf. N. 4. 49. ἐπ' Ἀξείνου στόμα P. 4. 203.

ἄξιος] *worthy, deserving* c. gen. ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι (sc. ἐστί.) I. 3. 3. [ἂν ἀξίαις (codd.: ἀναξίαις Alberti) N. 8. 10.]

ἀξιόω] pass., *think oneself worthy, justified,* c. inf. ἀξιωθείην κεν, ἐὼν Θρασύκλου Ἀντίᾳ τε σύγγονος, Ἄργει μὴ κρύπτειν φάος ὀμμάτων N. 10. 39.

ἀοιδά] (-ά, -ᾶς, -ᾷ, -άν, -ά; -αί, -ᾶν, -αῖς. ἀοι- codd. N. 11. 18, v. West at Hes., Theog. 48) *song*
ἰανθεὶς ἀοιδαῖς (sc. Ζεύς) O. 2. 13. θεόμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί O. 3. 10.

ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς O. 4. 3. ἐν ἱμερταῖς ἀοιδαῖς O. 6. 7. ἐσσὶ γὰρ — γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν sc. Aineas, the chorus leader O. 6. 91. πόλιν μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς O. 9. 22. καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ O. 10. 91. μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί O. 13. 42. ἅλικες οἷα παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς P. 3. 19. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς χρονία τελέθει P. 3. 114. φορμιγκτὰς ἀοιδᾶν πατὴρ — Ὀρφεύς P. 4. 176. τὸν ἐν ἀοιδᾷ νέων πρέπει χρυσάορα Φοῖβον ἀπύειν P. 5. 103. κρηπῖδ' ἀοιδᾶν ἵπποισι βαλέσθαι P. 7. 3. ἐμὲ δ' οὖν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος P. 9. 103. τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν P. 10. 57. ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ N. 3. 7. πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι N. 4. 78. ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά, στεῖχ' ἀπ' Αἰγίνας N. 5. 2. παροιχομένων γὰρ ἀνέρων, ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν (Pauw: ἀοιδοί codd., pap.) N. 6. 30. νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ N. 9. 49. λύρα δέ σφι βρέμεται καὶ ἀοιδά N. 11. 7. μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς (μελίζεν ἀοιδαῖς coni. Pauw.) N. 11. 18. Ὀγχηστίαισίν τ' ἀιόνεσσιν περιστέλλων ἀοιδὰν γαρύσομαι I. 1. 33. οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί I. 2. 8. οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι οὔτε κώμων — οὔτε μελικόμπων ἀοιδᾶν I. 2. 32. (φάμα) ἅ τε — ὤπασεν τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν (Σ, Tric.: ἀοιδάν, ἀοιδῶν codd.) I. 4. 27. μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων I. 5. 24. εἴη δὲ — Αἴγιναν κάτα σπένδειν μελιφθόγγοις ἀοιδαῖς I. 6. 9. τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ †ἔλιπον (τι λίπον Schr. coni.: ἐπέλιπον Snell) I. 8. 56. ἄρδοντ' ἀοιδαῖς fr. 6b. f.]ἀοιδαῖς ἐν εὐπλε[κέσσι Πα. 3. 12. ἀοιδᾶν ῥόθια δεκομένα κατερεῖς (sc. Αἴγινα) Πα. 6. 128. ⟨ἐν ἀοιδᾷ⟩ (supp. Snell e Σ pap.: fort. v. l.) Πα. 14. 20. ἀέ]ξετ' ἔτι, Μοῖσαι, θάλος ἀοιδᾶν[Δ. 1. 15.]εες τ' ἀοιδαί[Δ. 3. 17. ἰοδέτων λάχετε στεφάνων τᾶν τ' ἐαριδρόπων ἀοιδᾶν, Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἀοιδᾶν δεύτερον ἐπὶ τὸν κισσοδαῆ θεόν fr. 75. 8. σειρῆνα δὲ κόμπον αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς Παρθ. 2. 15. ἀνδρὸς δ' οὔτε γυναικὸς — χρή με λαθεῖν ἀοιδὰν πρόσφορον (i. e. *song for a man*) Παρθ. 2. 37. [ἀοιδᾷ (coni. Bergk: οἶδα codd.) fr. 107b. 1.] πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι — καλλίσταις ἀοιδαῖς fr. 121. 2. ἐρατᾶν ὄχημ' ἀοιδᾶν τοῦτό τοι πέμπω fr. 124. 1. ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ ὥριαι παιάνιδες Θρ. 3. 1. ἀοιδ[ὰν κ]αὶ ἁρμονίαν αὐλ[οῖς ἐ]πεφράσ[ατο (supp. Schr.) fr. 140b. 2. θεὸς ὁ πάντα τεύχων βροτοῖς καὶ χάριν ἀοιδᾷ φυτεύει fr. 141. κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς fr. 194. 1. c. gen., εἰ — (sc. καλὰ ἔργα) εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς N. 7. 16. θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος (καύχαις coni. Benedictus) N. 9. 7. πρὶν μὲν ἕρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων Δ. 2. 1. pro pers., αἱ δὲ σοφαὶ Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι N. 4. 3. [dub. ex., v. μιμνᾴσκω frag.]

ἀοίδιμος, -ον] a. *of song* ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι — πόμ' ἀοίδιμον Αἰολίσσιν ἐν πνοαῖσιν αὐλῶν N. 3. 79. ἐν ζαθέῳ με δέξαι χρόνῳ ἀοίδιμον Πιερίδων προφάταν (ἀοιδίμων Π[s].) Πα. 6. 6. b. *renowned in song* ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι Χάριτες Ἐρχομένου O. 14. 3. γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον P. 8. 59. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι — κλειναὶ Ἀθᾶναι fr. 76. 1.

ἀοιδός] a. *singer* χρυσέα φόρμιγξ, — πείθονται δ' ἀοιδοὶ σάμασιν P. 1. 3. ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποι-

χομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς P. 1. 94. ὅθεν περ καὶ Ὁμηρίδαι ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ ἄρχονται, Διὸς ἐκ προοιμίου N. 2. 2. [ἀοιδοὶ καὶ λόγιοι codd., Π.: ἀοιδαὶ καὶ λόγοι Pauw. N. 6. 30.] **b.** adj., *tuneful* τὸν ἀοιδότατον — κάλαμον fr. 70. 1.

'Ἀοσφόρος] *dawnbringer*, i. e. the morning star ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει, 'Ἀοσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις (Bergk: ἑωσφ-, ἀωσφ- codd.) I. 4. 24.

ἀπαγγέλλω] *proclaim* φάει δὲ πρόσωπον ἐν καθαρῷ πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ λόγοισι θνατῶν εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ *the forefront, sc. of my treasury of song, will proclaim* P. 6. 18.

ἀπᾱ́γω] med., *take away for oneself* εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι (sc. νύμφαν), ὃς ἂν πρῶτος θορὼν ἀμφί οἱ ψαύσειε πέπλοις P. 9. 119.

ἀπᾰθής] *unharmed* μήτ' ὤν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν P. 4. 297.

ἀπᾰ́λαιστος] *unbeatable in wrestling*, met. οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι, ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν *not to be thrown in his speech*, Bowra N. 4. 94.

ἀπᾰ́λαμνος, -ον, ἀπάλᾰμος] **a.** *helpless* ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον (byz.: ἀπάλαμνον codd.: sc. Tantalos) O. 1. 59. **b.** *lawless, violent* θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες ποινὰς ἔτεισαν (βίαιοι Σ.) O. 2. 57.

ἀπαλέξω] (red. aor. ἀπᾰ́λαλκε) *ward off, keep off* ὀξείας δὲ νόσους ἀπαλάλκοι (sc. Ζεύς) O. 8. 85.

ἀπαμβλῡ́νω] *blunt the edge of*, met. ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας P. 1. 82.

ἀπᾰναίνομαι] *spurn* εὐθὺς δ' ἀπᾱνάνατο νύμφαν (sc. Πηλεύς) N. 5. 33.

ἀπᾰ́ορος] met., *distant, out of reach* c. gen. κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι πτώσσοντι (sc. the defeated athletes) P. 8. 86.

ἀπάρχω] *reign far from home* (but cf. Fraenkel on Agam. 1227.) Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει ὁ Τελαμωνιάδας since he had been banished from Salamis by Telamon. N. 4. 46.

ἅπας] (ἅπας, ἅπαντα; -αντες, -άντων, -αντας: ἅπασα, -ας, -αν; -αις, -ας: ἅπαν, ἅπαντι, ἁπᾶν; ἁπάντων, ἅπαντα) *all, every, the whole of*

A. adj. **1.** c. def. art. **a.** which follows — ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς O. 1. 30. **b.** which precedes αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον ἐν σχερῷ ἡσυχίαν — λαχόντ' N. 1. 69. ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων τὸν ἅπαντά μοι διελθεῖν N. 4. 72.

2. without art. ἁπάντων καλῶν ἄμμορος O. 1. 84. ἐν ἅπαντι κράτει *in every success* O. 10. 82. ἅπαν δ' εὑρόντος ἔργον O. 13. 17 ἀφθόνητος ἔπεσσιν γένοιο χρόνον ἅπαντα O. 13. 26. στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶτον — κεντεῖ P. 1. 28. θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται P. 2. 49. ἅπαν νῶτον καταίθυσσον P. 4. 83. ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν *have every care for* P. 4. 276. πάτρῳ τ' ἐπερχόμενος ἀγλαΐαν ἅπασαν (Bergk: ἀγλαΐαν ἔδειξεν ἅπασαν codd.: ἅπασαν del. byz.) P. 6. 46. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ' ἀγῶνος P. 9. 114. ὁ χρυσὸς ἑψόμενος αὐγὰς ἔδειξεν ἁπάσας N. 4. 83. οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκὴς N. 5. 16. μυχῷ Ἑλλάδος ἁπάσας N. 6. 26. τυχεῖν δ' ἕν' ἀδύνατον εὐδαιμονίαν ἅπασαν ἀνελόμενον N. 7. 56. χεῖρα —' τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἀνίαις *full rein* I. 2. 22. πίθοι τε πλῆσθεν ἅπαντες •fr. 104b. 5.•

3. quasi adv., *in every respect* τὸ δὲ φυᾷ κράτιστον ἅπαν O. 9. 100. νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον ἅπας κίνδυνος N. 8. 21. παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος *in full flower* Θρ. 7. 7, cf. N. 6. 2.

B. subs., *everyone, everything* ἅπαντας ἐν οἴκῳ εἴρετο παῖδα O. 6. 48. μία δ'οὐχ

ἅπαντας ἄμμε θρέψει μελέτα O. 9. 106. χέρα κυκλώσαις ὑπὲρ ἁπάντων O. 10. 72. ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα N. 7. 5. θνατὰ μεμνάσθω περιστέλλων μέλη καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος N. 11. 16. θνᾴσκομεν γὰρ ὁμῶς ἅπαντες I. 7. 42. ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον τελετάν (ὄλβιοι δ' — λυσιπόνων τελετᾶν coni. Wil.) fr. 131a ad Θρ. 7. μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον fr. 180. 1.

C. frag.]ἅπας[Πα. 10. 6.

ἀπάτα] *deceit* οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν P. 2. 74. πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθόνιον γένος ἀνδρῶν fr. 213.

ἀπᾰτάω] pass., *be mistaken* ὦ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων οὐκ ἰδυῖα fr. 182.

ἀπάτερθε] *apart* ἀπάτερθε δ' ἔχον διὰ γαῖαν τρίχα δασσάμενοι πατρωΐαν ἀστέων μοίρας (Meineke: μοῖραν codd.) O. 7. 74.

ἀπέδῑλος] *unshod* ποι]κιλω[ν ἐ]κ λεχέω[ν ἀπέ]διλ[ος (]δειλ[Π.: supp. et corr. Lobel: sc. Diomedes) fr. 169. 36.

ἀπειθής] *inflexible* (Τύχα) ἀπειθής (Reiske: πένθης, πευθής codd. Plutarchi: "P. hatte gemeint, der Erfolg ließe sich nicht durch Peitho bestimmen" Wil., Kl. Sch. iv. 505) fr. 40.

ἄπειμι] **a.** c. gen., *be without* ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς ὁ θνατὸς αἰών —. τῶν οὐκ ἄπεσσι (Boeckh: ἄπεστι codd., fort. recte) N. 3. 76. **b.** part., *absent* ἀπέοντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου O. 7. 58. ἀλλά τοι ἤρατο τῶν ἀπέοντων (i. e. what was not his) P. 3. 20.

ἀπέραντος, ἀπείραντος, -ον] *without bounds, immense* "γεύεται δ' ἀλκᾶς ἀπειράντου" v. Fränkel, D & P, 503[4]. P. 9. 35. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον N. 8. 38.

ἀπείρᾱτος] *inexperienced* κουφότεραι γὰρ ἀπειράτων φρένες O. 8. 61. τῶν ἀπειράτων γὰρ ἄγνωτοι σιωπαί (τῶν μὴ πειρωμένων ἀγῶνος. Σ.) I. 4. 30. c. gen., στρατὸν μηδ' ἀπείρατον καλῶν O. 11. 18. θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατοι δόμοι ἐντί pr. N. 1. 23.

ἀπείργω] *repel, oppose* τοὶ μὲν — Ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν εἴργοντες O. 13. 60.

ἀπείρῐτος, -ον] *impenetrable* (v. W. Schulze, Q. E., 116[3]) βατιᾷ τ' ἐν ἀπειρίτῳ (ἀπειρά(ν)τῳ codd.; ἀπειρίτῳ Heyne) O. 6. 54.

ἀπειρομάχας] *inexperienced in battle* ἀπειρομάχας ἐών κε φανείη λόγον ὁ μὴ συνιείς N. 4. 30.

ἄπειρος] (ἡ: -ου, -ῳ, -ον) **a.** *continent* "αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον" i. e. Libya. P. 4. 48. **b.** *world* νιν (= Κυράναν) πολυμήλου καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονὸς ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν i. e. Libya, with Asia and Europe one third of the world P. 9. 8. **c.** *mainland* Νεοπτόλεμος δ' ἀπείρῳ διαπρυσίᾳ (sc. κρατεῖ), βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον (Ἀπείρῳ i. e. Epirus Σ, fort. recte, λέγεται δὲ ὅτι μετὰ τὰ ἐν Ἰλίῳ ταύτης τῆς Ἠπείρου ἦρξεν ὁ Νεοπτόλεμος) N. 4. 51.

ἄπειρος, -ον] *inexperienced, ignorant* καὶ νεαρὰν ἔδειξαν σοφῶν στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος I. 8. 48. γλυκὺ δὲ πόλεμος ἀπείροισιν, ἐμπείρων δέ τις ταρβεῖ fr. 110. c. gen., ἦβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χειᾷ καλῶν δάμασεν I. 8. 70. κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι πόνων τ' ἄπειροι sc. the gods fr. 143. 2.

ἄπειρος] = ἀπείρων, *infinite, boundless* ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοὶ (v. l. ἀπείρον') fr. 130. 1. ad Θρ. 7.

ἀπείρων] *boundless, infinite* τὰν ἀπείρονα δόξαν P. 2. 64.]ειν ἀπείρονας ἀρετὰς [Αἰακ]ιδᾶν Πα. 6. 176.

ἄπεπ'λος, -ον] *unrobed* ποσσὶν ἄπεπ'λος ὀρούσαισ' ἀπὸ στρωμνᾶς (sc. Ἀλκμήνα) N. 1. 50.]ἄπεπλος ἐκ λεχέων νεοτόκων[(sc. Ἀλκμήνα) Πα. 20. 14.

ἀπέραντος] v. ἀπείραντος.

Ἀπέσαις] test., Steph. Byz., 104, 13, Ἀπέ-

σαις, ὅρος τῆς Νεμέας, ὡς Πίνδαρος. (Schr.: Ἀπέσας codd.: v. Paus., 2. 15. 3; West ad Hes., Theog. 331) fr. 295.

ἀπεχθάνομαι] aor. part., *hated* "θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον" N. 10. 83.

ἀπέχω] *keep away* c. acc. & gen. σκοτεινὸν ἀπέχων ψόγον, ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω N. 7. 61. οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον καμπύλον δίφρον I. 4. 28. in tmesis, ἀπὸ πάμπαν ἀδίκων ἔχειν ψυχάν O. 2. 69.

ἀπήμαντος] *free from pain* ἀπήμαντον ἄγων βίοτον O. 8. 87.

ἀπήμων] *free from pain* θεὸς εἴη ἀπήμων κέαρ (contra Σ. ἀβλαβὴς καὶ ἀνόργητος) pr. P. 10. 22. τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον i. e. *indifferent* N. 1. 54. ἀπήμονα εἰς ὄλβον τινὰ τράποιο Θήβαις, ὦ πότνια, πάγκοινον τέρας Πα. 9. 8.

ἀπήνα] *mule chariot* ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα O. 5. 3. ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ P. 4. 94.

ἀπῐθέω] *disobey* c. dat. "οὐδ' ἀπίθησέ ἰν (Hermann: νιν codd., sed cf. Σ: οὐκ ἀπειθῆ αὐτὸν πεποίηκε πρὸς τὴν ὑποδοχήν) P. 4. 36.

ἀπιομήδης] *kindly*]σὺν ἀπιομ[ήδ]ει φιλ[(supp. Snell) Πα. 7. 7.

ἄπιστος] a. *unbelievable* ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι τὸ πολλάκις O. 1. 31. ἐμοὶ δὲ θαυμάσαι θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον P. 10. 50. ἄπιστον ἔειπ' (sc. ἐγώ) N. 9. 33. ἄπιστά μοι δέδοικα κα[Πα. 7B. 45. b. *unbelieving* pl. pro subs. πιστὸν δ' ἀπίστοις οὐδέν fr. 233.

ἀπλακ-] frag.]μενος οὔ κεν ἐς ἀπλακ[Πα. 18. 6.

ἄπ'λᾱτος, -ον] *unapproachable* τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται ἐκ μυχῶν παγαί P. 1. 21. παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς i. e. the Gorgons' heads P. 12. 9. ἀλλ' οἷος ἄπλατον κεράιζε θεῶν Τυφῶνα πεντηκοντοκέφαλον fr. 93.

ἄπ'λετος, -ον] *boundless* ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται μαρτύρια φθιμένων ζωῶν τε φωτῶν ἀπλέτου δόξας I. 4. 11.]απλετω[P. Oxy 2442. fr. 103.

ἁπ'λόος] *simple, plain* ἀλλὰ κελεύθοις ἁπλόαις ζωᾶς ἐφαπτοίμαν N. 8. 36.

ἀπνευ-] frag.]αιον δόλον απνευ[Πα. 8. 87.

ἀπό] (ἄπο O. 3. 9, O. 1. 13, P. 5. 7, N. 3. 8. 84, I. 4. 53, Πα. 20. 11, 13)

1. prep. c. gen. a. with a verb of motion, *from* Πίσα — τᾶς ἄπο — νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί O. 3. 9. Ἴστρου ἄπο σκιαρᾶν παγᾶν O. 3. 14. Ἀρκαδίας ἀπὸ δειρᾶν O. 3. 27. ἀπὸ Στυμφαλίων τειχέων O. 6. 99. Λερναίας ἀπ' ἀκτᾶς O. 7. 33. ἀπὸ Μαντινέας O. 10. 70. τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων P. 2. 3. ἀπ' Ἀρκαδίας P. 3. 26. αἶψα δ' ἀπὸ κλισιᾶν ὦρτο P. 4. 133. ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου P. 4. 174. ἀπ' Ἄργεος ἤλυθον P. 8. 41. στεῖχ' ἀπ' Αἰγίνας N. 5. 3. φεῦγε γὰρ — πατρίων οἴκων ἀπό τ' Ἄργεος N. 9. 14. Ἀνταίου δόμους Θηβᾶν ἄπο Καδμειᾶν — ἦλθ' ἀνήρ I. 4. 53. b. *out of, from out of, from,* generally ἄνθεμα δὲ χρυσοῦ φλέγει — ἀπ' ἀγλαῶν δενδρέων O. 2. 73. [ἀπ' byz.: ὑπ' codd. O. 5. 14.] φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν — δωρήσεται νεανίᾳ γαμβρῷ O. 7. 1. ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων — ἐπίνειμαι ἀκρωτήριον Ἄλιδος O. 9. 5. θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀπόεντος ἀναρπάσαις O. 9. 58. αἰθέρος ψυχρῶν ἀπὸ κόλπων ἐρήμου — βάλλων O. 13. 88. [ἀπὸ coni. Stone: ἐρέω codd.: ἄρα Wil. P. 1. 77] φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον P. 4. 225. τὸ δ' ἐμὸν γαρύει ἀπὸ Σπάρτας ἐπήρατον κλέος P. 5. 73. δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν P. 9. 75. ἀφθονίαν ὄπαζε μήτιος ἀμᾶς ἄπο N. 3. 9. Νεμέας Ἐπιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορκεν φάος N. 3. 84. Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων πέμψαντα καὶ λιπαρᾶν εὐωνύμων ἀπ' Ἀθανᾶν N. 4. 17. καὶ τίς ἄνδρας ἀλκίμους δαίμων ἀπ' Οἰνώνας ἔλασεν N. 5. 16. χρὴ δ' ἀπ'

'Αθανᾶν τέκτον' ἀεθληταῖσιν ἔμμεν N. 5. 49. ἔρνεα πρῶτος ⟨ἕνεικεν⟩ ἀπ' 'Αλφεοῦ N. 6. 18. ὦτ' ἀπὸ τόξου ἱείς N. 6. 28. ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου τρεῖς ἀπ' 'Ισθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας I. 6. 60—1. ἀπὸ προθύρων βαθύκολπον ἀνερέψατο παρθένον Πα. 6. 135. ὀμμ]άτων ἄπο σέλας ἐδίνασεν Πα. 20. 13. κελάρυξεν ὡς ἀπὸ κρανᾶν φέρτατον ὕδωρ *fr. 104b. 2* ἀπὸ τᾶς ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδάλεον ματεύειν fr. 106. 6. στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελὼν fr. 109. 3. c. *down from* Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου λάμβαν' O. 1. 17. ὠκυπόρων ἀπὸ ναῶν ὃ σφιν ἐν πόντῳ βάλεθ' ἀλικίαν P. 1. 74. καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρούσαισ' ἀπὸ στρωμνᾶς N. 1. 50. εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐδείελον χθόνα μόλῃ P. 4. 76. χαμαὶ καταβαὶς ἀφ' ἁρμάτων N. 6. 51. ἀπὸ Ταυγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς N. 10. 61. d. α. *far from, deprived of* "Ατλας οὐρανῷ προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων P. 4. 290. β. *from off* δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν O. 1. 13. μελέων ἄπο ποικίλον [σπά]ργανον ἔρριψεν Πα. 20. 11. e. α. *won from* ἔκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ' ἀγώνων O. 8. 76. ἄγοντι δέ με πέντε μὲν 'Ισθμοῖ νῖκαι, — δύο δ' ἀπὸ Κίρρας P. 7. 16. πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο N. 6. 59. β. *coming from* συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας N. 11. 34. ἀπὸ Ταυγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 1. ὅπλα δ' ἀπ' "Αργεος fr. 106. 5. ὕδωρ Τιλφώσσας ἀπὸ καλλικράνου fr. 198b. γ. *begotten from* υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου ἔμμεναι P. 12. 17. ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηίδων Αἰακίδας ἐγέραιρεν N. 5. 7. κράτησεν ἀπὸ ταύτας αἷμα πάτρας — Καλλίας N. 6. 35. θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ fr. 61. 5.

f. *from the time of, since* ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον O. 7. 20. μὴ κρύπτε κοινὸν σπέρμ' ἀπὸ Καλλιάνακτος O. 7. 93. νιν κλυτᾶς αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο σὺν εὐδοξίᾳ μετανίσεαι P. 5. 7. ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας (ἀπὸ τῆς πρώτης ἡλικίας. Σ.) P. 5. 114. τελέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς P. 8. 25. g. ἀπὸ γλώσσας, simm. αἶνος — ὃν — ἀπὸ γλώσσας "Αδραστος — ἐς 'Αμφιάρηον φθέγξατ' O. 6. 13. εἰ χρεὼν τοῦθ' ἀμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος P. 3. 2. πολὺν ῥόθον ἵεσαν ἀπὸ στομάτων 'Ελείθυιά τε καὶ Λάχεσις Πα. 12. 16. πρὶν μὲν ἕρπε — τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων Δ. 2. 3. h. *from, as a result of* κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος O. 13. 76.

2. in tmesis. ἀπὸ — ἔχειν O. 2. 69. ἀπὸ — ῥίψον O. 9. 35. ἀπὸ — εἴργοντες O. 13. 59. ἀπὸ — ἀμβλύνει P. 1. 82. ἀπὸ — λιπὼν P. 3. 101. ἀπὸ — δώσω P. 4. 67. ἀπὸ — ῥίψαις P. 4. 232. ἀπὸ καὶ θανὼν I. 7. 30. ἀπὸ — δρέπεσθαι fr. 122. 8. ἀπὸ — ὤθεον fr. 166. 3.

3. fragg. ἀπὸ καὶ πατρός Πα. 7 C. 9. ἀμετέρας ἀπ[ο (supp. Lobel) fr. 59. 8.

ἀποβαίνω] *leave* Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν (ἀνεχώρησαν ἐπὶ τὸ "Αργος. Σ.) N. 10. 43.

ἀποβλάπτω] *harm* σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν (sc. Μοῖρα) N. 7. 60.

ἀποδᾱμέω] *stay away* Μοῖσα δ' οὐκ ἀποδαμεῖ τρόποις ἀπὸ σφετέροισι (i. e. οὐκ εἰσὶν ἄμουσοι. Σ.) P. 10. 37.

ἀπόδᾱμος] *absent* οὐκ ἀποδάμου 'Απόλλωνος τυχόντος pr. P. 4. 5.

ἀποδᾱτέομαι] *share out* c. acc. & gen. "πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἶσον" N. 10. 86.

ἀποδείκνυμι] med., *display* ἐπεί σφιν Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας N. 6. 47.

ἀποδίδωμι] a. *offer* ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω καὶ τὸ πάγχρυσον νάκος κριοῦ sc. as themes for song P. 4. 67.

b. *return* i. e. *pay* ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν (sc. Νεοπτόλεμος) N. 7. 44.

ἀποδ'ρέπω] *pluck, cull* χρυσοστεφάνου δέ οἱ Ἥβας καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον P. 9. 110. med., ὑμὶν ἄνευθ' ἐπαγορίας ἔπορεν, ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι fr. 122. 8. cf. O. 1. 13.

ἀποθνᾴσκω] *die, be killed* ἀποθανοῖσα βρόμῳ κεραυνοῦ τανυέθειρα Σεμέλα O. 2. 25. ἴστω γὰρ σαφὲς — ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων ζώων τ' ἀπὸ καὶ θανὼν I. 7. 30.

ἀποίητος] *undone* τῶν δὲ πεπραγμένων — ἀποίητον οὐδ' ἂν Χρόνος — δύναιτο θέμεν ἔργων τέλος O. 2. 16.

ἀποικέω] *settle, colonize* τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ νᾶσον P. 4. 258.

ἀποικία] *colony, settlement* ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ (ἐποικίᾳ c Σ Hermann: τουτέστι ἐν τῇ Πελοποννήσῳ. Σ.) O. 1. 24. ἤ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ ἔστασας ἐπὶ σφυρῷ Λακεδαιμονίων (τὴν τῶν Ἡρακλειδῶν κάθοδον. Σ.) I. 7. 12.

ἄποινα] (τά) *reward* ἔργοις δε καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ, εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς N. 7. 16. acc. pro prep. c. gen., *in reward for* ὄφρα — ἄνδρα παρ' Ἀλφειῷ στεφανωσάμενον αἰνέσω πυγμᾶς ἄποινα O. 7. 16. ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ εὐαχέα βασιλεῦσιν ὕμνον ἄποιν' ἀρετᾶς P. 2. 14. εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν I. 3. 7. Κλεάνδρῳ τις — ἀνεγειρέτω κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα καὶ Νεμέᾳ ἀέθλων ὅτι κράτος ἐξεῦρε I. 8. 4.

ἀποίχομαι] *depart*, met., *die* ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει P. 1. 93. ἤθελον Χίρωνά κε — ζώειν τὸν ἀποιχόμενον P. 3. 3.

ἀπόκειμαι] *lie at a distance, far off met.* δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα· προμαθείας δ' ἀπόκεινται ῥοαί N. 11. 46.

ἀπόκλᾱρος] *without a share in* c. gen. πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν P. 5. 54.

ἀπολείπω] *lose* ἐν πολέμῳ τόξοις ἀπὸ ψυχὰν λιπὼν P. 3. 101.

ἀπόλεμος, -ον] *without war* ἀπόλεμον ἀγαγὼν ἐς πραπίδας εὐνομίαν P. 5. 66.

Ἀπόλλων] (-ων, -ωνος, -ωνι, -ωνα, -ον) a. ὑπ' Ἀπόλλωνος γλυκείας πρῶτον ἔψαυσ' Ἀφροδίτας sc. Euadne O. 6. 35. δᾶμον Ὑπερβορέων — Ἀπόλλωνος θεράποντα O. 3. 16. ἔννεπε δ' — εὐθὺς Ἀπόλλων as Pythian oracle O. 8. 41. (Χάριτες) χρυσότοξον θέμεναι πάρα Πύθιον Ἀπόλλωνα θρόνους O. 14. 11. χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον P. 1. 1. Κίνυραν —, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων P. 2. 16. εἰς Ἀΐδα δόμον ἐν θαλάμῳ κατέβα, τέχναις Ἀπόλλωνος sc. Koronis P. 3. 11. τότ' ἔειπεν Ἀπόλλων P. 3. 40. οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεα χρῆσεν P. 4. 5. τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν ἱπποδρομίας P. 4. 66. "οὔ τί που οὗτος Ἀπόλλων" P. 4. 87. ἐξ Ἀπόλλωνος δὲ φορμιγκτὰς ἀοιδᾶν πατὴρ ἔμολεν, εὐαίνητος Ὀρφεύς P. 4. 176. ἐπ' Ἀπόλλωνός τε κράνᾳ in Cyrene P. 4. 294. ὁ δ' ἀρχαγέτας — Ἀπόλλων since his oracle ordered the foundation of Cyrene P. 5. 60. Ἄπολλον, τεᾷ, Καρνήι', ἐν δαιτὶ (Boeckh: Καρνεῖ(ε) codd.: at Cyrene) P. 5. 79. Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεὸν δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν (i. e. the Alkmaionidai: cf. Herod., 5. 62) P. 7. 10. δμᾶθεν δὲ κεραυνῷ τόξοισί τ' Ἀπόλλωνος (sc. οἱ Γίγαντες) P. 8. 18. εὐρυφαρέτρας — ἑκάεργος Ἀπόλλων P. 9. 28. Ἄπολλον P. 10.10. Ὑπερβορέων —. ὧν θαλίαις ἔμπεδον εὐφαμίαις τε μάλιστ' Ἀπόλλων χαίρει P. 10. 35. φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων ἁγεῖτο παντοίων νόμων N. 5. 24. μεὶς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων (παρ' Αἰγινήταις Δελφίνιος μὴν ἄγεται Δελφινίου Ἀπόλλωνος ἱερός. Σ.) N. 5. 44. κωμάσομεν παρ' Ἀπόλλωνος Σικυω-

νάθε, Μοῖσαι, τὰν νεόκτιστον ἐς Αἴτναν i. e. from the temple of Apollo at Sikyon, where were held the games called Pythia N. 9. 1. ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' 'Απόλλων μιν πόρε τ'ἀγλαΐαν I. 2. 18. ἐν χρόνῳ δ' ἔγεντ' 'Απόλλων fr. 33b = fr. 147 Schr.' Ὧραι — ['Απόλ]λωνι δαῖτα φιλησιστέφανον ἄγοντες Πα. 1. 8. [παι]ᾶνα [δι]ώξω Δηρηνὸν 'Απόλλωνα πάρ τ' 'Αφρο[δίταν at Abdera Πα. 2. 5. ἰήιε, Δάλι' "Απολλον Πα. 5. 1. 19, 37, 43. ἔσχον Δᾶλον, ἐπεί σφιν 'Απόλλων δῶκεν ὁ χρυσοκόμας 'Αστερίας δέμας οἰκεῖν Πα. 5. 40. κατέβαν στεφάνων καὶ θαλιᾶν τροφὸν ἄλσος 'Απόλλωνος at Delphi Πα. 6. 15. πρὸ πόνων δέ κε μεγάλων Δαρδανίαν ἔπραθεν, εἰ μὴ φύλασσεν 'Απόλλων Πα. 6. 91. 'Απόλλωνί γ[Πα. 7. 5. "Απολλο[ν Πα. 7B. 1. κλυτοὶ μάντιες 'Απόλλωνος Πα. 8. 13.]ἄναξ "Απολλον[Πα. 16. 2. ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι 'Απόλλων fr. 94c. 2. παιηο[ν-] 'Απόλλωνί τε καὶ[fr. 140b. 10. ὀρχήστ' ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ' "Απολλον fr. 148.]εν γάρ, "Απολλον[fr. 215. 8.]'Απόλλωνι μὲν θ[?fr. 333a. 4. **b.** Apollo Agreus or Nomios; cf. Serv. ad Virg. Georg. 1. 14, = Hes. fr. 129. R_3. "θήσονταί τέ νιν (sc. 'Αρισταῖον) ἀθάνατον, Ζῆνα καὶ ἁγνὸν 'Απόλλων', ἀνδράσι χάρμα φίλοις, ἄγχιστον ὀπάονα μήλων, 'Αγρέα καὶ Νόμιον, τοῖς δ' 'Αρισταῖον καλεῖν" P. 9. 64. **c.** test., v. fr. 51a, fr. 55, fr. 56, fr. 100.

'Απολλωνιάς] f. adj., *belonging to Apollo* εἶξον, ὦ 'Απολλωνιάς (sc. νῆσος. i. e. Delos) I. 1. 6.

'Απολλωνίδας] *child of Apollo* met. Δελφοὶ θεμίστων μάντιες 'Απολλωνίδαι fr. 192.

'Απολλώνιος] *of Apollo* δέδεξαι τόνδε κῶμον ἀνέρων, 'Απολλώνιον ἄθυρμα P. 5. 23. 'Απολλωνίαις ἀλεξιμβρότοις — πομπαῖς in Cyrene P. 5. 90. ἐν πολυχρύσῳ 'Απολλωνίᾳ — νάπᾳ (cf. Σ. ἐν τῷ ναῷ τῷ ἐν Πυθοῖ. ἐκεῖ γὰρ ἡ 'Απολλωνία νάπη, περὶ ἧς ἐν παιᾶσιν εἴρηται. = fr. 69) P. 6. 9.

ἀπομνύω] *swear* ἀπομνύω μὴ τέρμα προβαὶς ἄκονθ' ὦτε χαλκοπάρᾳον ὄρσαι θοὰν γλῶσσαν N. 7. 70.

ἀπονέμω] *impart* ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς I. 2. 47.

ἄπονος] *without trouble, pain* ἀπονέστερον ἐσλοὶ δέκονται βίοτον O. 2. 62. ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες O. 10. 22.

ἀπονοστέω] (-νοστάω Forssman, p. 45f.) *return* καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλτο (Ahrens: ἀπονοστάσαντος codd.) N. 6. 50.

ἀποπέμπω] *bring back* ἅρμα θοὸν τάνυεν, ἀποπέμπων Αἰακὸν δεῦρ' ἀν' ἵπποις χρυσέαις O. 8. 50.

ἀποπ'λέω] *sail away, sail back* ὁ δ' ἀποπλέων Σκύρου μὲν ἄμαρτε, πλαγχθέντες δ' εἰς 'Εφύραν ἵκοντο N. 7. 36.

ἀποπ'νέω] *breathe out* ἔπος — Αἰήτα τό ποτε ζαμενὴς παῖς ἀπέπνευσ' ἀθανάτου στόματος *uttered* P. 4. 11. met., εὐανθέ' ἀπέπνευσας ἁλικίαν προμάχων ἀν' ὅμιλον (ἐπελεύτησας Σ.) I. 7. 34. ἀγχομένοις δὲ χρόνος ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων *caused them to gasp out their lives* N. 1. 47.

ἄποπτος] sign. incert.: ?*far off, not to be seen* ἴδον τ' ἄποπτα[Δ. 4. 39.

ἀπορήγνυμι] *pass burst forth* c. gen. λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι P. 4. 198.

ἀπορία] *desperation, uselessness* ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει N. 7. 105.

ἄπορος] *impossible, useless* c. inf. ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν O. 1. 52. νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον O. 10. 40. ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων τὸν ἅπαντά μοι διελθεῖν N. 4. 71.

ἀπορούω] *rise up* δὴ τότε τέσσαρες ὀρθαὶ πρέμνων ἀπώρουσαν χθονίων — κίονες fr. 33d. 6.

ἀπορρήγνυμι v. ἀπορήγνυμι.

ἀπορρίπτω] *cast away* ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον O. 9. 36. ἀπὸ κρόκεον ῥίψαις 'Ιάσων εἷμα P. 4. 232.

χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν (byz.: ἀπέρριψεν codd.: *uttered*) P. 6. 37.

ἀποσκίμπτω] *throw down* ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι (v. l. ἀπεσκῆφθαι) O. 6. 101.

ἀποσπάω] *tear from*, met. "ποίας δ' ἀποσπασθεῖσα φύτλας ὀρέων κευθμῶνας ἔχει σκιοέντων;" (sc. Κυράνα) P. 9. 33.

[ἀποστάζω v. ἐπιστάζω]

ἀποσῡλάω] *rob*, c. acc. & gen. "πεύθομαι γάρ νιν Πελίαν — ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων" P. 4. 110.

ἀποτίθημι] med., *put away from oneself, free oneself of c. acc.* ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις νόστον ἔχθιστον sc. by his victory O. 8. 68. νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον O. 10. 40.

ἀποτ'ρέπω] *turn away* ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός N. 4. 69.

ἀπότ'ροπος, -ον] pass. *turned away* οὕτω δὲ καὶ πίτνει χαμαὶ ἀποτρόπῳ γνώμᾳ σεσεισμένον (sc. βροτῶν τὸ τερπνόν. *von Umkehr der Denkart zum Wanken gebracht*, Fränkel D & P, 571 n. 14.) P. 8. 94.

ἀπούρας] aor. part., *having wrested* c. acc. & gen. "ἀγρούς τε πάντας, τοὺς ἀπούρας ἁμετέρων τοκέων νέμεαι" (ἀπούραις Boeckh, sed v. Schr., proll. 2. 84) P. 4. 149.

ἀποφαίνω] med., *have proclaimed* ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχίᾳ ⟨πλεόνων⟩ ταμίαν στεφάνων N. 6. 25.

ἀποφέρω] *deliver, deliver oneself of* γλῶσσαν ἐπεὶ σφιν ἀπένεικεν ὑπερποντίαν (sc. Βάττος) P. 5. 59.

ἀποφεύγω] *escape from, avoid* τίς ἄκρον ἑλὼν ἡσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν; (τίς Homan: εἴ τις codd.) P. 11. 56.

ἀποφθίνω] med., *die*]σώματ' ἀποφθιμένων Θρ. 3. 5.

ἀποφλαυρίζω] *make light of, disparage* ἁ δ' ἀποφλαυρίξαισά μιν ('Απόλλωνα sc.) P. 3. 12.

ἄπρακτος] *disabling* (πᾶσαν πρᾶξιν κωλύοντα. Wil.) παυσάμενοι δ' ἀπράκτων κακῶν (Schneidewin: ἀπρήκτων codd., def. Forssman, p. 111) I. 8. 7.

ἀπ'ρίατος] *unbought, not paid for* ἐπεὶ Γηρυόνα βόας — ἀπριάτας ἔλασεν sc. Herakles. fr. 169. 8.

ἀπ'ρόσικτος] *unattainable* ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι N. 11. 48.

ἀπροσόρᾱτος] *not to be looked upon* τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον O. 2. 67.

ἅπτω] (aor. ἅψαι: med. ἅπτομαι, -εται, -όμεσθα, -ονθ'; -όμεναι) a. act., *kindle* met. προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ I. 4. 43. b. med., α. abs., *touch* met. αἱ δὲ σοφαὶ Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν (= πόνους) ἁπτόμεναι *with their touch* N. 4. 3. β. c. dat., *attain to* ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα (Tric.: ἁπτόμεθα codd.) P. 10. 28. ἀνορέαις δ' ἐσχάταισιν οἴκοθεν στάλαισιν ἅπτονθ' 'Ηρακλείαις I. 4. 12. γ. c. gen., *clasp, embrace* ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι N. 8. 14. met., Θήρων — ἅπτεται οἴκοθεν 'Ηρακλέος σταλᾶν O. 3. 43. ψευδέων δ' οὐχ ἅπτεται sc. Apollo P. 3. 29. ὄψον δὲ λόγοι φθονεροῖσιν, ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει (sc. φθόνος) N. 8. 22.

ἀπτωτί] *without a fall* φῶτας δ' ὀξυρεπεῖ δόλῳ ἀπτωτὶ δαμάσσαις (Bergk: ἀπτῶτι codd.: ἐπιρρηματικῶς. Σ.) O. 9.92.

ἄπῡρος] *fireless* τεῦξαν δ' ἀπύροις ἱεροῖς ἄλσος ἐν ἀκροπόλει O. 7. 48.

ἀπύω] a. *sing of, celebrate* Ζεῦ, — ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς O. 5. 19. σὲ δ' — Λοκρὶς παρθένος ἀπύει P. 2. 19. τὸν ἐν ἀοιδᾷ νέων πρέπει χρυσάορα Φοῖβον ἀπύειν P. 5. 104. b. *call upon* ἄπυεν βαρύκτυπον Εὐτρίαιναν O. 1. 72. ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει 'Αλεύα τε παῖδες P. 10. 4.

ἀπωθέω] *throw off* ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν ὤθεον (sc. Κένταυροι) fr. 166. 2. med., *reject* μακάρων τ' ἐπιχώριον τεθμὸν πάμπαν ἐρῆμον ἀπωσάμενος" Πα. 4. 47.

ἆρα] v. ἦρα O. 8. 46, P. 4. 78, N. 5. 30, I. 6. 55, I. 8. 59.

ἄρᾰ] 1. not joined with other particles. a. resumptive, after direct speech, ὣς ἄρα, ταῦτ' ἄρα. — ὣς ἄρα μάνυε O. 6. 52. ὣς ἄρ' ἔειπεν P. 4. 156. ὣς ἄρ' αὐδάσαντος P. 4. 232. ὣς ἄρ' εἰπὼν P. 9. 66. ὣς ἄρ' αὐδάσαντος N. 10. 88. ταῦτ' ἄρα οἱ φαμένῳ I. 6. 49. b. in questions πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας ἔκνισεν βαρυπάλαμον ὄρσαι χόλον; P. 11. 22. τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν ἑῷ δορὶ Καΐκου πὰρ ὄχθαις; (Er. Schmid: γὰρ codd.) I. 5. 41. c. after conjunction introducing a clause καὶ πενταετηρίδ' ὅπως ἄρα ἔστασεν ἑορτὰν O. 10. 57.
2. in conjunction with a. δέ. ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις O. 10. 43. ἐν Σπάρτᾳ δ' ἄρα (coni. Wil.: ἐρέω codd.: ἀπὸ Stone) P. 1. 77. οὐδ' ἔλαθε σκοπόν. ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι P. 3. 27. χερσὶ δ' ἄρα Κρονίων ῥίψαις P. 3. 57. ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν δάκρυα P. 4. 121. χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν P. 6. 37. ὁ δ' ἄρα γέροντα ξένον Στροφίον ἐξίκετο P. 11. 34. ἐκ δ' ἄρ' ἄτλατον δέος πλᾶξε γυναῖκας N. 1. 48. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι N. 8. 32. φαινομέναν δ' ἄρ' ἐς ἄταν N. 9. 21. οὐδ' ἀνέχασσαν. ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ N. 10. 69. ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἔναιεν fr. 123. 13. separatim: περὶ δ' ὑψικόμῳ Ἑλένᾳ χρῆν ἄρα Πέργαμον εὐρὺν ἀιστῶσαι σέλας αἰθομένου πυρός Πα. 6. 96. b. μέν. παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν O. 10. 52.

ἀρά] *prayer* "εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ, θυμῷ θέλων ἀρᾶν ἄκουσας" I. 6. 43.

ἀρᾰβέω] *ring out* ταχέως δ' ἀράβη[σε] διαλεύκων ὀστέ[ων] δοῦπος ἐ[ρ]⟨ε⟩ικομένων (supp. Lobel) fr. 169. 24.

ἀραιός] *slender* χ]εῖρας ἀραιάς[Πα. 13b. 4.

(ἀραρίσκω)] (pf. intrans. ἄρᾱρε(ν); ἀρᾱρώς, -ότα) *be fixed*, met. τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν N. 3. 64. ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος (προσήρμοσται αὐτῷ πρὸς τὸ νικᾶν αἰεί. Σ.) N. 5. 44. part., ἀραρώς. a. *fitting* — ἐν ἅπαντι κράτει αἴθωνα κεραυνὸν ἀραρότα O. 10. 83. b. c. dat., *filled with, endowed with* κλειναῖς τ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς ταῖς λιπαραῖς ἐν Ἀθάναις sc. Xenokrates I. 2. 19. cf. ἄρμενος.

ἀράσσω] *strike, beat* χαλκέαις δ' ὁπλαῖς ἀράσσεσκον χθόν' P. 4. 226.

ἀράχνας] m. *spider* test. Suidas, s. v. ἀράχνας· παρὰ Πινδάρῳ (Boeckh: -ης codd.) fr. 296.

ἀργάεις] *white* ταῦρον ἀργᾰ́εντα (contra Σ. εὐθαλῆ καὶ μέγαν) O. 13. 69.

Ἀργεῖος] *of Argos* a. adj. Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ (ἐπεὶ ὁ Τληπόλεμος φυγὼν ἐξ Ἄργους διὰ τὸν τοῦ Λικυμνίου τοῦ μήτρωος φόνον ἀπῄει μετὰ νεῶν καὶ κατὰ χρησμὸν ᾤκισε Ῥόδον. Σ.) O. 7. 19. τότε γὰρ μεγάλας ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν i. e. gulf of Argolis P. 4. 49. βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος μοῖραν ἐσλῶν (i. e. Ἄργος ἱερόν) N. 10. 19. b. pro subs. νῦν δ' ἐφίητι (sc. ἁ Μοῖσα) ⟨τὸ⟩ τὠργείου φυλάξαι ῥῆμ' — "χρήματα χρήματ' ἀνήρ" i. e. of Aristodemos, cf. Alkaios Z 37, L-P. I. 2. 9. τὸν Ἀργείων τρόπον εἰρήσεταί που κἀν βραχίστοις I. 6. 58.

ἀργεννόεις] v. ἀργινόεις.

ἀργιβρέντας] *of the flashing thunder* κελαινεφέ' ἀργιβρένταν — Ζῆνα Πα. 12. 9.

ἀργῐκέραυνος] *of the flashing thunderbolt* — Διὸς ἀργικεραύνου O. 8. 3.

ἀργῐλοφος] *white topped* Λο]κρῶν τις, οἵ τ' ἀργίλοφον πὰρ Ζεφυρίου κολώναν ν[fr. 140b. 4.

[ἀργῑνόεις, *gleaming white* ἐν ἀργινόεντι μαστῷ (codd.: ἀργεννᾰ́εντι Schr.) P. 4. 8.]

Ἄργος] (-εος, -ει, -εἴ, -ος) where were held the Heraia or Hekatombaia, the prize being a bronze shield. ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν O. 7. 83. ἀφίκοντο δέ οἱ

ξένοι ἐκ τ' Ἄργεος ἔκ τε Θηβᾶν O. 9. 68. Ἄργεΐ τ' ἔσχεθε κῦδος ἀνδρῶν (sc. Ἐφάρμοστος) O. 9. 88. Ἄργει θ' ὅσσα καὶ ἐν Θήβαις sc. ἐνίκησαν O. 13. 107. τῷ Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ ἔνασσεν ἀλκάεντας Ἡρακλέος ἐκγόνους Αἰγιμιοῦ τε (sc. Ἀπόλλων) P. 5. 70. ἀπ' Ἄργεος ἤλυθον δευτέραν ὁδὸν Ἐπίγονοι P. 8. 41. ἄκουσεν Δαναόν ποτ' ἐν Ἄργει οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι — γάμον P. 9. 112. φεῦγε γὰρ Ἀμφιαρῆ ποτε θρασυμήδεα καὶ δεινὰν στάσιν πατρίων οἴκων ἀπό τ' Ἄργεος (sc. Ἄδραστος) N. 9. 14. Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε N. 10. 2. ἀξιωθείην κεν, ἐὼν Θρασύκλου Ἀντία τε σύγγονος, Ἄργεΐ μὴ κρύπτειν φάος ὀμμάτων N. 10. 40. Περσεὺς δ' ἐν Ἄργει (sc. γέρας ἔχει. cf. Paus., 2. 18. 1.) I. 5. 33. Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον; I. 7. 11. ἀλλ' ὅ γε Μέλαμπος οὐκ ἤθελεν λιπὼν πατρίδα μοναρχεῖν Ἄργει Πα. 4. 29. ἐν Ἄργει μεγάλῳ[Δ. 1. 7. ὅπλα δ' ἀπ' Ἄργεος (sc. ἐξοχώτατά ἐστι) cf. 106. 5.

ἀργύρεος] *of silver* ἁ δὲ — ζώναν καταθηκαμένα κάλπιδά τ' ἀργυρέαν O. 6. 40. ἀργυρέῳ τόξῳ πολεμίζων Φοῖβος O. 9. 32. ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν ἀμπέλου παῖδ' N. 9. 51. ἐξ ἀργυρέων κεράτων fr. 166. Μοῖσαι ἀργύρεαι ?fr. 287.

ἀργυρίς] *silver cup, vessel* οἷον δ' ἐν Μαραθῶνι — μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν (ἀργύρειαι φιάλαι ἆθλα ἦσαν ἐν Μαραθῶνι ἐν τοῖς Ἡρακλείοις. Σ.) O. 9. 90.

ἀργυρόπεζα] *silver footed* ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα P. 9. 9.

ἀργυρόω] *besilver* Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν (ἀργυραῖς φιάλαις τιμηθέντες. Σ.) N. 10. 43. οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί (ἀπὸ τοῦ τοὺς γράφοντας ἀργύριον λαμβάνειν. Σ.) I. 2. 8.

Ἀργώ] the ship of Jason and the Argonauts. Μήδειαν — ναὶ σώτειραν Ἀργοῖ καὶ προπόλοις O. 13. 54. "θοᾶς Ἀργοῦς" P. 4. 25. ναὸς Ἀργοῦς P. 4. 185.

ἄρδω] *water* καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν O. 5. 12. met., *tend, cultivate,* ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει O. 5. 23. τὰν Ψαλυχιαδᾶν δὲ πάτραν Χαρίτων ἄρδοντι καλλίστᾳ δρόσῳ I. 6. 64. ἄρδοντ' ἀοιδαῖς[(fort. ἀρδόν τ' legendum) fr. 6b. f.

Ἀρέα] v. Ἀρεία.

Ἀρέθοισα] a spring in Ortygia in Syracuse, supposed to be connected with the Alpheos. N. 1. 1. Ἀρέθοισαν ἐπὶ κράναν P. 3. 69.

Ἀρεία] a place on the R. Heloros in S. E. Sicily. βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἐλώρου ἔνθ' Ἀρείας πόρον ἄνθρωποι καλέοισι (ἄδηλον εἴτε Ἀρείας εἴτε Ῥείας λεκτέον. Σ.: ἔνθ' Ἀρέας Bothe: ἔνθα Ῥέας Boeckh: περὶ τοῦτον τὸν ποταμὸν συνέστη Ἱπποκράτει τῷ Γελώων τυράννῳ πρὸς τοὺς Συρακουσίους πόλεμος. Σ.) N. 9. 41.

ἀρείων] *better* "ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ νῦν ἀρείονος ἐνέχεται ὄρνιχος ἀγγελίᾳ Ἄδραστος ἥρως" P. 8. 49. παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν N. 7. 101. ἀγαπατὰ δὲ — τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι N. 8. 5. τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ βλέπειν χρῆμα πάν pr I. 8. 13.

ἀρετά] (-ά, -ᾶς, -ᾷ, -άν; -αί, -ᾶν, -αῖς, -αῖσι(ν), -άς) a. *distinction, talent, excellence,* rarely of purely moral qualities. δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν O. 1. 13. γνησίαις ἐπ' ἀρεταῖς O. 2. 11. ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος O. 2. 53. ἐν δ' ἀρετὰν ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι προμαθέος αἰδώς O. 7. 43. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά P. 1. 94. ἀρετᾷ κεκραμένον καθαρᾷ (sc. πλοῦτον) P. 5. 2. ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν *filial devotion* P. 6. 42. ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι P. 11. 54. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς ὁ θνατὸς αἰών N. 3. 74.

ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε Πότμος ἄναξ, εὖ οἶδ' ὅτι χρόνος — τελέσει N. 4. 41. ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος N. 11. 37. Ὅμηρος — αὐτοῦ (= Αἴαντος) ὀρθώσαις ἀρετὰν I. 4. 38. ἄγει τ' ἀρετὰν οὐκ αἴσχιον φυᾶς I. 7. 22. καὶ νεαρὰν ἔδειξαν σοφῶν στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος I. 8. 48. κατερεῖς πόθεν ἔλαβες ναυπρύτανιν δαίμονα καὶ τὰν θεμίξενον ἀρετ[άν Πα. 6. 131. παντὶ δ' ἐπὶ φθόνος ἀνδρὶ κεῖται ἀρετᾶς Παρθ. 1. 9. εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν fr. 108a. 3. οὐ κό]ρῳ ἀλλ' ἀρετᾷ (supp. Lobel) fr. 169. 15. ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλάθεια fr. 205. 1. τιθεμένων ἀγώνων πρόφασις — ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον fr. 228.

b. esp. *physical excellence, valour, prowess* ἀγῶνα νέμειν ἀνδρῶν τ' ἀρετᾶς πέρι O. 3. 37. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις O. 9. 83. πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι O. 9. 100. θάξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ πελώριον ὁρμάσαι κλέος O. 10. 20. ὕμνον — τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ P. 1. 80. ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ εὐαχέα βασιλεῦσιν ὕμνον ἄποιν' ἀρετᾶς P. 2. 14. ἀμφ' ἀρετᾷ κελαδέων P. 2. 62. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς χρονία τελέθει P. 3. 114. φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς — εὑρέσθαι P. 4. 187. μεγαλᾶν δ' ἀρετᾶν δρόσῳ μαλθακᾷ ῥανθεισᾶν κώμων ὑπὸ χεύμασιν (v. l. μεγάλαν δ' ἀρετὰν — ῥανθεῖσαν) P. 5. 98. ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις τὰ μέγιστ' ἀέθλων ἕλῃ P. 10. 23. ἐπεί οἱ τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς ἦλθον N. 6. 23. ἀρετᾷ κριθεὶς εὔδοξος ἀείδεται Σωγένης N. 7. 7. εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν N. 9. 54. λάμπει δὲ σαφὴς ἀρετὰ ἔν τε γυμνοῖσι σταδίοις σφίσιν I. 1. 22. εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν (ἀρετά, ἀρεταὶ ΣΥΡ.) I. 1. 41. μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν I. 2. 44. τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν Πυθέᾳ τε, παγκρατίου I. 5. 17. οἷοι δ' ἀρετὰν δελφῖνες ἐν πόντῳ sc. the Aiginetans with their ships I. 9. 6.

c. reputation, renown for prowess, *glory* ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα O. 7. 89. μαιομένων μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν O. 8. 6. πύκταν τέ νιν καὶ παγκρατίῳ (v. l. — ίου) φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν νικῶντ' ἀρετάν N. 5. 53. αὔξεται δ' ἀρετά (sic codd., v. αὔξεται) N. 8. 40. ἀνδρῶν δ' ἀρετὰν σύμφυτον οὐ κατελέγχει I. 3. 13. καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν I. 4. 13.

d. pl., *deeds of prowess, achievements, exploits* ἀρεταῖσι μεμαότας υἱούς O. 1. 89. στέφανόν τ' ἀρετᾶν O. 3. 18. πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων O. 3. 43. τόνδε κῶμον χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν O. 4. 10. ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον — δέκευ O. 5. 1. ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται O. 5. 15. ἀκίνδυνοι δ' ἀρεταὶ οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις τίμιαι O. 6. 9. τιμῶντες δ' ἀρετὰς ἐς φανερὰν ὁδὸν ἔρχονται O. 6. 72. θάλλει δ' ἀρεταῖσιν O. 9. 16. τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς O. 11. 6. ἄκραις ἀρεταῖς ὑπερελθόντων O. 13. 15. ἐν ἡρωίαις ἀρεταῖσιν οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ O. 13. 51. ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς P. 1. 41. v. P. 5. 98 supra b. ἁ δικαιόπολις ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν θιγοῖσα νᾶσος P. 8. 22. ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι P. 9. 76. κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς N. 1. 9. ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις N. 1. 34. ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ, στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν N. 3. 8. παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ N. 3. 32. μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται N. 3. 42. ἐπεί σφιν Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας N. 6. 47. θρασύ μοι τόδ' εἰπεῖν φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων οἴκοθεν N. 7. 51. φλέγεται δ' (sc. Ἄργος) ἀρεταῖς μυρίαις ἔργων θρασέων ἕνεκεν N. 10. 2. Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται ἐκ σέθεν I. 3. 4. ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας

Ἰσθμίοις, ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν I. 4. 3. τετείχισται δὲ πάλαι πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν I. 5. 45. εἰ γάρ τις ἀνθρώπων — πράσσει θεοδμάτους ἀρετὰς I. 6. 11. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς I. 6. 56. διαγινώσκομαι μὲν ἀρεταῖς ἀέθλων Ἑλλανίσιν (hypallage: *exploits in the games of Greece.*) Πα. 4. 22.]ειν ἀπείρονας ἀρετὰς[Αἰακ]ιδᾶν Πα. 6. 176. **e.** fragg.]ἀρετα[Πα. 8. 89.]ἀρετάν τε νέμεις[?fr. 333d. 25.

ἀρήγω] **a.** *assist,* c. dat. νεότατι μὲν ἀρήγει θράσος δεινῶν πολέμων *lends strength to* P. 2. 63. γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει *assist at her bedside* N. 1. 49. [ἀρήξων v. l. Πα. 6. 10.] **b.** impers., *it is fitting, best* c. acc. & inf. φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν ἀρήγει P. 2. 94.

ἀρήιος] *warlike* Ἐρινὺς ἔπεφνέ οἱ — γένος ἀρήιον i. e. the family of Oidipous O. 2. 42.

ἀρηίφιλος] *warloving* ἀρίστευον υἱέες υἱέων τ' ἀρηίφιλοι παῖδες ἀνορέᾳ I. 8. 25.]ἀρηίφιλον[Πα. 22g. 3.

Ἄρης] (Ἄρης, Ἄρεος, Ἄρει) god of war Συράκοσαι, βαθυπολέμου τέμενος Ἄρεος P. 2. 2. "θέλεις ⟨ναίειν ἐμοὶ⟩ σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει" Zeus speaks N. 10. 84. "υἱὸν — χεῖρας Ἄρεϊ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν" (Hermann: Ἄρει χεῖρας codex: τ' add. Boeckh) I. 8. 37. generally, *war, battle, slaughter* οὐλίῳ μιν ἐν Ἄρει παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι — αἰχμᾶς O. 9. 76. μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης O. 10. 15. ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν O. 13. 23. καὶ γὰρ βιατὰς Ἄρης — ἰαίνει καρδίαν κώματι P. 1. 10. καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον ἐν Ἄρει P. 5. 85. ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις P. 10. 14. ἀλλὰ χρονίῳ σὺν Ἄρει πέφνεν τε ματέρα P. 11. 36. χαλκέῳ τ' Ἄρει ἄδον (πολέμων ἦσαν ἔμπειροι. Σ.) I. 4. 15. καὶ νῦν ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ i. e. in the seafight at Salamis against the Persians I. 5. 48. χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμειξεν I. 7. 25.

ἀριγνώς] *famous* Ἐνδαΐδος ἀριγνῶτες υἱοί (ἀρίγνωτες codd.: v. Wackernagel, Kl. Schr. 1131) N. 5. 12.

ἀρίγνωτος] *easily known, plain to see* ἀρίγνωτον πέδιλον P. 4. 95.

ἀρίζηλος] *conspicuous* ὁ μὰν πλοῦτος — ἀστὴρ ἀρίζηλος O. 2. 55.

ἀριθ'μέω] *enumerate* ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν, μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς N. 10. 46.

ἀριθμός] (-οῦ, -όν) *number* ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν O. 2. 98. ὡς μὰν σαφὲς οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθ'μόν O. 13. 46. τὰ δ' οἴκοι μάσσον' ἀριθ'μοῦ N. 2. 23. μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν i. e. a conduct older than the number of your years: *of an older man* fr. 127.

Ἄριμα] (fort. Ἄριμοι) where according to Il. 2. 783, Typhos was buried: v. West at Hes., Theog. 304. κεράιζε — Τυφῶνα πεντηκοντοκέφαλον ἀνάγκᾳ Ζεὺς πατὴρ ἐν Ἀρίμοις ποτέ fr. 93.

ἀρισθάρμᾰτος] *of a victorious chariot* ἀρισθάρματον — γέρας ἀμφέβαλε τεαῖσιν κόμαις P. 5. 30.

Ἀριστᾰγόρας] of Tenedos, an athlete for whom N. 11 was written upon his election as prytanis. εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον N. 11. 3. ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν N. 11. 19.

Ἀρισταῖος] son of Apollo and Cyrene, god of pastoral and agricultural activities. "θήσονταί τέ νιν ἀθάνατον, Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φίλοις ἄγχιστον ὀπάονα μήλων, Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν" P. 9. 65. cf. Servius ad Virg., Georg. 1. 14, Aristaeum invocat — quem Hesiodus dicit Apollinem pastoralem. — Pindarus — ait de Cea insula in Arcadiam migrasse ibique vitam coluisse. fr. 251.

'Ἀριστέας] of Prokonnesos, author of the epic Arimaspea, Herod. 4. 14—5, worshipped as a god in Metapontion. v. fr. 271.

ἀριστεύς] *noble, chief* τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων P. 9. 107. Μέμνονός τε βίαν ὑπέρθυμον Ἕκτορά τ' ἄλλους τ' ἀριστέας I. 8. 55.

ἀριστεύω] *to be best, excel* a. abs. εἰ δ' ἀριστεύει μὲν ὕδωρ O. 3. 42. κατένευσέν τέ οἱ χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς i. e. excelling in its fertile land N. 1. 14. καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι (sc. Ἄργος) N. 10. 10. ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν N. 11. 14. ἀριστεύοντα γὰρ εν[fr. 6b. c. ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί, καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα (Boeckh: -ουσιν, -όντων codd. Plutarchi: sc. in Sparta) fr. 199. 2. b. c. acc., *be best at, victorious in* στάδιον μὲν ἀριστεύσεν — Οἰωνὸς O. 10. 64. ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε O. 13. 43. στεφάνοις, τοὺς ἀριστεύων Φερένικος ἕλεν Κίρρᾳ ποτέ P. 3. 74. c. c. dat. & inf. τοῦ μὲν ἀντίθεοι ἀρίστευον υἱέες υἱέων τ' ἀρηίφιλοι παῖδες ἀνορέᾳ χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον I. 8. 25. d. frag.]ἀρ[ισ]τεύοντι[(dubitanter supp. Lobel) Θρ. 6. 3.

ἀριστόγονος, -ον] *with illustrious child* σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ (-γόνου e Σ Mommsen) P. 11. 3.

'Ἀριστοκλείδας] son of Aristophanes, of Aigina, victor in Nemean pankration. Μυρμιδόνες — ὧν παλαίφατον ἀγορὰν οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεὰν ἐμίανε κατ' αἶσαν N. 3. 15. βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει N. 3. 67.

ἀριστόμαχος] *finest of warriors* ἀριστομάχου — Ἡρακλέος P. 10. 3.

'Ἀριστομένης] son of Xenarkes, of Aigina, victor in Pythian wrestling 446 B. C. Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ P. 8. 5. ὦ Ἀριστόμενες P. 8. 80.

ἀριστόπονος, -ον] *doing excellent work* ἀριστοπόνοις χερσὶ O. 7. 51.

ἀριστόποσις] *with the noblest of husbands, most nobly wed* ἰὴ ἰὲ βασίλειαν Ὀλυμπίων νύμφαν ἀριστόποσιν i. e. Hera Πα. 21. 4, 12, 20, 28.

ἄριστος] *best, finest* ἄριστον μὲν ὕδωρ O. 1. 1. νοῆσαι δὲ καιρὸς ἄριστος O. 13. 48. τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον *is the best part of (poetic) wisdom* P. 2. 56. ἄριστος εὐφροσύνα πόνων κεκριμένων ἰατρός N. 4. 1. ἔβλαστεν δ' υἱὸς Οἰνώνας βασιλεὺς χειρὶ καὶ βουλαῖς ἄριστος N. 8. 8. προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος I. 7. 35. ἀνδρῶν δικαίων Χρόνος σωτὴρ ἄριστος fr. 159.

'Ἀριστοτέλης] also called Battos, founder of Cyrene. ἄνδρες — τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς P. 5. 87.

ἀριστοτέχ'νας] *of surpassing skill* Δωδωναῖε μεγασθενὲς ἀριστότεχνα πάτερ Zeus fr. 57. 2.

'Ἀριστοφάνης] father of Aristokleidas. παῖς Ἀριστοφάνεος (Mommsen: -άνους, -άνευς codd.) N. 3. 20.

'Αρκαδία] *Arcadia* ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν O. 3. 27. Ἑρμᾶν — ὃς ἀγῶνας ἔχει μοῖράν τ' ἀέθλων Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ O. 6. 80. μάτερ' εὐμήλοιο λείποντ' Ἀρκαδίας Stymphalos O. 6. 100. ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ' ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις (bronze objects were given as prizes in Arcadian games, v. N. 10. 45) O. 7. 83. ἐλθόντος γὰρ εὐνάσθη ξένου λέκτροισιν ἀπ' Ἀρκαδίας i. e. Ischys, son of Elatos P. 3. 26. ὦ Πάν, Ἀρκαδίας μεδέων fr. 95. 1. test., v. fr. 251.

'Αρκάς] *Arcadian* (Αἴπυτος)ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ O. 6. 34. ὅσα τ' Ἀρκάσιν†ἀνάσσων μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ (Ἀρκάσι βάσσαις coni. Bergk: locus non sanatus) O. 13. 107. pro subs. οἱ δ' Ἀρκάδες O. 9. 68.

'Αρκεσίλας] a. *Arkesilas* IV, son of Battos IV, king of Cyrene, victor in Pythian

chariot race 462 B. C. κωμάζοντι σὺν Ἀρκεσίλᾳ P. 4. 2. παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας (ὄγδοος γὰρ Ἀρκεσίλαος ἀπὸ Βάττου τοῦ πρώτου. Σ.) P. 4. 65. ὦ Ἀρκεσίλα P. 4. 250. Ἀρκεσίλα P. 4. 298. ὦ θεόμορ' Ἀρκεσίλα P. 5. 5. ἀκούοντί ποι — σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν ἔνδικόν τ' Ἀρκεσίλᾳ (Stephanus: -ίλα codd.: sc. the dead kings of Cyrene) P. 5. 103. **b.** Arkesilas father of Aristagoras of Tenedos. ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν (v. l. Ἀγησίλαν unde Ἀγεσίλαν coni. Maas) N. 11. 11.

ἀρκέω] **a.** *assist, help* c. dat. εἰ δέ τις ἀρκέων φίλοις ἐχθροῖσι τραχὺς ὑπαντιάζει Πα. 2. 31. **b.** *suffice, be enough* c. dat. & inf. τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν Ὀλυμπίᾳ — ἄρκεσε Κρόνιον παρ' ὄχθον ἁγεμονεῦσαι — Ἐφαρμόστῳ O. 9. 3.]δύναμις ἀρκεῖ (ὧν σοι] e. g. supp. Snell) Πα. 16. 5.

ἅρμα] (ἅρμα, ἅρματι, ἅρμα; ἁρμάτων, ἅρμασι(ν), ἅρματα) *chariot* ἅρμα θοὸν τάνυεν sc. Poseidon O. 8. 49. τίς — ἔλαχε στέφανον χείρεσσι ποσίν τε καὶ ἅρματι O. 10. 62. εὔδοξον ἅρματι νίκαν P. 6. 17. Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα P. 6. 32. τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι P. 11. 46. ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα τ' ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος N. 1. 7. τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων N. 9. 4. νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν (sc. Ἄδραστος) N. 9. 12. ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας I. 1. 14. ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν γείτον' ἀμειβομένοις εὐεργέταν ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι i. e. Poseidon I. 1. 54. ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν I. 3. 16. (φάμα)· ἅ τε κὰν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν I. 4. 25. ἐριζόμεναι νᾶες ἐν πόντῳ καὶ ⟨ὑφ'⟩ ἅρμασιν ἵπποι I. 5. 5. ἅρμα Θηβαῖον (sc. ἐξοχώτατόν ἐστι) fr. 106. 5. παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων fr. 206. ὑφ' ἅρμασιν ἵππος fr. 234. pl. pro sing., "ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων ἐς Ἆλιν "O. 1. 77. Ἱέρωνος ὑπὲρ καλλινίκου ἅρμασι P. 1. 33. ξεστὸν ὅταν δίφρον ἐν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ σθένος ἵππιον (ἔν τ' ἅρματα v. l.) P. 2. 11. χαμαὶ καταβαὶς ἀφ' ἁρμάτων N. 6. 51. ἐπεὶ τετραόροισιν ὧθ' ἁρμάτων ζυγοῖς ἐν τεμένεσσι δόμον ἔχει τεοῖς (ὡς ἐπὶ τῶν ἁρμάτων ὁ ῥυμὸς μέσος ἐστίν, οὕτως ὁ Σωγένους οἶκος ἐξ ἀμφοτέρων τῶν χειρῶν — ἔχων τὰ σὰ τεμένη, μέσος ἐστίν. Σ.) N. 7. 93. met., chariot of the Muses, i. e. song, ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλείζειν O. 1. 110. Θώρακος, ὅσπερ ἐμὰν ποιπνύων χάριν, τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον P. 10. 65. ἔσσονταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι I. 8. 61. πο] τανὸν ἅρμα Μοισα[Πα. 7B. 13.

ἁρμασίδουπος] ? *ringing with the sound of chariots* test., Eustath., proem. Pind., 16 καὶ ἁρμασιδούπους (sc. καλεῖ ὁ Πίνδαρος) τοὺς ἱππικωτάτους fr. 17.

ἁρμᾰτηλάτας] *chariot driver* πέφανταί θ' ἁρματηλάτας σοφός sc. Arkesilas P. 5. 115.

ἄρμενος] (med. aor. part., ἀραρίσκω q. v.) *fitting, proper* **a.** c. dat.]Ἀπόλλωνί τε καὶ[—]ἄρμενον (sc. ὄχημα παιηόνων) fr. 140b. 11. **b.** pro subs., *things fitting, what is appropriate* Ἀίδα τοι λάθεται ἄρμενα πράξαις ἀνήρ (εὐτυχήσας Σ.) O. 8. 73. γόνον τέ οἱ φέρτατον ἀτίταλλεν ἐν ἀρμένοισι πᾶσι θυμὸν αὔξων (Mingarelli: πάντα codd.) N. 3. 58.

ἁρμόδιος] *fitting* ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται N. 1. 21.

ἁρμόζω] (ἁρμόζω; -οντα, -οισα: ἅρμοζον: ἅρμοσαν; -αις)

1. trans. **a.** *match, fit* οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα i. e. marrying P. 9. 117. εἰ γὰρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραι διαπλέκοις εὐδαίμον' ἐόντα N. 7. 98. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζων I. 7. 39. **b.** *arrange,*

set in order ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' (sc. Ἀφροδίτα) P. 9. 13. ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ ἅρμοσαν *composed* P. 3. 114. οἵ τε κραναοῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν N. 8. 11.

2. intrans., *suit, fit* c. dat. ἐσθὰς — ἁρμόζοισα θαητοῖσι γυίοις P. 4. 80. ξείνι' ἁρμόζοντα τεύχων *fitting* P. 4. 129.

ἁρμοῖ] (fort. ἁρμῷ scribendum) *at once, just now* ἐλπίσιν ἀθανάταις ἁρμοῖ φέρονται (Schneidewin: ἁρμῷ codd. Eustathii: unde scrips. ἁρμῷ edd. vulg.: τὸ ἁρμῷ ἤγουν ἄρτι, ὃ παρ' ἑτέροις ἁρμοῖ λέγεται. Eustath., proem. Pind., 21) fr. 10.

ἁρμονία] a. *mode, key* of music ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος N. 4. 45. ἀοιδὰν κ[αὶ ἁ]ρμονίαν αὐλ[οῖς ἐ]πεφράσ[ατο fr. 140b. 2. met., ὦναξ, ἑκόντι δ' εὔχομαι νόῳ κατά τιν' ἁρμονίαν βλέπειν ἀμφ' ἕκαστον ὅσα νέομαι (sense and construction obscure: perhaps ἁρμονίαν is the object of καταβλέπειν; v. Burton, 184f., Thummer, 24[3]. A metaphorical sense seems to be necessary) P. 8. 68.

b. pro pers., *Harmonia*, daughter of Ares and Aphrodite, wife of Kadmos. Ἁρμονίαν γᾶμεν βοῶπιν (sc. Κάδμος) P. 3. 91. ὦ παῖδες Ἁρμονίας Ino and Semele P. 11. 7. γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν; fr. 29. 6.]ἔνθα ποθ' Ἁρμονίαν [φ]άμα — Κάδμον ὑψη[λαῖ]ς πραπίδεσ[σι λαχεῖν Δ. 2. 27.

ἄρνυμαι] (fut. ἀρέομαι coni. Dawes: aor. ἄρηται; ἀρέσθαι; ἀρομένῳ coni.: cf. ἀείρω) *win, gain* πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι (v. l. (ἀν)ελέσθαι) O. 9. 102. ἀρέομαι πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν (Dawes: αἱρέομαι codd.) P. 1. 75. τόλμαν τε καλῶν ἀρομένῳ σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν (sc. Μοῖρα) N. 7. 59. εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος N. 9. 46. ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν I. 1. 50.

ἀρότας] *ploughman* μισθὸς γὰρ ἄλλοις ἄλλος ἐπ' ἔργμασιν ἀνθρώποις γλυκύς, μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ I. 1. 48. met., Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων ἕνεκεν sc. poets N. 6. 32.

ἄροτρον] *plough* ἀδαμάντινον ἐν μέσσοις ἄροτ'ρον σκίμψατο P. 4. 224. σπασσάμενος δ' ἄρο̆τρον P. 4. 234. ἐν δ' ἀρότρῳ βοῦς fr. 234. 2.

ἄρουρα] (-α, -ας, -αν; -αι, -αις, -αισι(ν)) a. *soil, earth* pl. *fields* "ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευε δοῦναι" (= βώλακα v. 37) P. 4. 34. τεκμαίρει καί νυν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν ἄγχι καρποφόροις ἀρούραισιν N. 6. 9. ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι N. 11. 39. εἰ καί τι Διωνύσου ἄρο[υρ]α φέρει βιόδωρον ἀμαχανίας ἄκος Πα. 4. 25. b. generally, *lands, estates* εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει i. e. the land of Akragas O. 2. 14. ὁμιλέων παρ' οἰκείαις ἀρούραις O. 12. 19. καὶ ἐν ἀλλοδαπαῖς σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον ἆμαρ ἢ νύκτες (Hermann: -αισι codd.) P. 4. 255. ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα νικῶν ξένου Λάκωνος Ὀρέστα (ἐν τοῖς Πυθίοις. Σ.) P. 11. 15. Αἰακίδας ἐγέραιρεν ματρόπολίν τε, φίλαν ξένων ἄρουραν Aigina N. 5. 8. γαρύσομαι — τὰν Ἀσωποδώρου πατρὸς αἶσαν Ἐρχομενοῖό τε πατρῴαν ἄρουραν I. 1. 35. ἔιδεν οὔτε πατρωίαις ἐν ἀρού[ραις] ἵππους Μυρμιδόνων in Phthia Πα. 6. 106. c. met. ἢ γὰρ ἑλικώπιδος Ἀφροδίτας ἄρουραν ἢ Χαρίτων ἀναπολίζομεν P. 6. 2.

ἀρόω] *plough* Μοίσαισί τ' ἔδωκ' ἀρόσαι (τουτέστι τοὺς στεφάνους διὰ τὸν ὕμνον. Σ.) N. 10. 26.

ἁρπάζω] (aor. ἅρπᾰσ(ε); ἁρπάξαισα, -αντες: pass. ἁρπαζομένων) *seize* φθέγξομαι — τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι sc. σε O. 1. 40. παῖδ' ἐκ νεκροῦ ἅρπασε (sc. Ἀπόλλων) P. 3. 44. Κυράνας· τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων ποτὲ

Λατοίδας ἅρπασ' (Tricl: ἅρπασεν codd.) P. 9. 6. ἔνθεν ἁρπάξαντες ἄγαλμ' 'Αΐδα N. 10. 67. 'Ι]νὼ δ'ἐκ πυ[ρ — ἁρπά]ξαισα[(supp. Lobel: sc. Μελικέρταν) Θρ. 4. 3. γ]ὰρ ἁρπαζομένων τεθνάμεν[⏑—]μάτων ἢ κακὸν ἔμμεναι (χρη]μάτων e. g. supp. Lobel) fr. 169. 16. in tmesis, ἂν δ' εὐθὺς ἁρπάξαις v. ἀναρπάζω P. 4. 34.

ἁρπᾰλέος] *to be eagerly seized, coveted* οἶκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες P. 8. 65. τῶν δ' ἕκαστος ὀρούει, τυχὼν κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός P. 10. 62.

ἄρρηκτος] unbreakable, i. e. *hardy, stout* "τὸν μὲν (sc. Αἴαντα) ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται θηρός" Herakles speaks I. 6. 47.

'Αρσῖνόα] nurse of Orestes. 'Ορέστα· τὸν δὴ φονευομένου πατρὸς 'Αρσινόα Κλυταιμήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος P. 11. 17.

[ἀρτεμία v. ἀτρεμία**]**

῎Αρτεμις] (-ις, -ιδος, -ιν) daughter of Leto and Zeus, worshipped esp. in Delos and Ortygia. 'Ορτυγίαν — ποταμίας ἕδος 'Αρτέμιδος ('Αλφειώσας 'Αρτέμιδος ἐκεῖ φασιν εἶναι ἱερόν, ἣν νῦν ποταμίαν εἶπεν. Σ.) P. 2. 7. (Κορωνίς) δαμεῖσα χρυσέοις τόξοισιν ὑπ' 'Αρτέμιδος P. 3. 10. "Τιτυὸν βέλος 'Αρτέμιδος θήρευσε κραιπνόν" P. 4. 90. 'Ορτυγία, δέμνιον 'Αρτέμιδος, Δάλου κασιγνήτα N. 1. 3. ῎Αρτεμις τε καὶ θρασεῖ' 'Αθάνα N. 3. 50.]῎Αρτεμιν[Πα. 4. 1. ῥίμφα δ' εἴσιν ῎Αρτεμις οἰοπόλας ζεύξαισ' ἐν ὀργαῖς Βακχίαις φῦλον λεόντων Δ. 2. 19.

ἄρτι] *lately*, i. e. *just now* "σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει" P. 4. 158.

ἀρτῐεπής] *clear speaking*. ἀντεφθέγξατο δ' ἀρτιεπὴς πατρία ὄσσα O. 6. 61. πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων κελαδέσαι I. 5. 46.

ἄρτῐος] *proper, right* 'Ιέρων — ἄρτια μηδόμενος O. 6. 94.

ἀρχά] (ἀρχά, -ᾶς, -ᾷ, -άν, -ά; -αί, -αῖς) a. *kingdom, realm* τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ i. e. here on earth O. 2. 58. ἐξεύχετ' ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον O. 13. 61. [v. ἀρχαῖος P. 4. 106.] b. *beginning* ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον O. 7. 20. ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καὶ νυν — κελαδησόμεθα *tracing the earlier origins* of the Olympic festival O. 10. 78. μελιγάρυες ὕμνοι ὑστέρων ἀρχὰ λόγων τέλλεται (ἀρχαί v. l.) O. 11. 5. (φόρμιγξ)· τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά P. 1. 2. τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας; (sc. τοὺς 'Αργοναύτας) P. 4. 70. πάντα λόγον θέμενος σπουδαῖον ἐξ ἀρχᾶς P. 4. 132. τελέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς P. 8. 25. ῎Απολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος ὀρνύντος αὔξεται P. 10. 10. ἀρχαὶ δὲ (sc. τοῦ ὕμνου) βέβληνται θεῶν κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς N. 1. 8. ἢ γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος; Πα. 9. 20. θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος fr. 108a. 1. με — τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου fr. 122. 14. οἶδε μὲν βίου τελευτάν, οἶδεν δὲ διόσδοτον ἀρχάν sc. the initiate in the Eleusinian mysteries fr. 137. 2. ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' 'Αλάθεια i. e. basis fr. 205. 1. ἀρχᾶθεν: *in the beginning, of old* πρόγονοι, ἀρχᾶθεν 'Ιαπετονίδος φύτλας κοῦροι κορᾶν O. 9. 55. τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν I. 4. 7.

ἀρχᾱγέτας] *founder of a colony* Τλαπολέμῳ — Τιρυνθίων ἀρχαγέτᾳ sc. in the colonization of Rhodes O. 7. 78. ὁ δ' ἀρχαγέτας ἔδωκ' 'Απόλλων (ὁ 'Απόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην. Σ.) P. 5. 60. ἀρχαγέτᾳ τε [Δ]άλου πίθετο i. e. Apollo fr. 140a. 58 (32).

ἀρχαῖος] (comp. ἀρχαιέστερον) a. *ancient, of ancient times* γνῶναί τ' ἔπειτ' ἀρχαῖον ὄνειδος — εἰ φεύγομεν, Βοιωτίαν ὗν O. 6. 89. ἀρχαίῳ σάματι O. 10. 24. "ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ — τιμάν" (ἀρχὰν ἀγκομίζων coni.

Chaeris) P. 4. 106. ἀρχαῖον ὀτρύνων λόγον N. 1. 34. ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος N. 11. 37. νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε Πότμος συγγενὴς εὐαμερίας I. 1. 39. [μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀρχαῖον λόγον (codd.: ἀχρεῖον Boeckh, edd. vulg.) fr. 180. 1.] πατρίδ' ἀρχαίαν fr. 215. 6. **b.** *in ancient times, of old* πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον Ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ' O. 13. 17. τὸν δ' ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται O. 13. 92. Θέμιν — Μοῖραι — ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν fr. 30. 5. **c.** ἀρχαιέστερον fr. 45.

ἀρχεδίκας] *legitimate ruler* "πεύθομαι γάρ νιν Πελίαν — ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων" P. 4. 110.

ἀρχέπολις] f. adj., *ruling the city* "ἔνθα νιν (= Κυράναν) ἀρχέπολιν θήσεις" P. 9. 54.

Ἀρχέστρᾰτος] father of Hagesidamos of Lokroi. τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι Ἀρχεστράτου παῖδα O. 10. 2. παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου O. 10. 99. Ἀρχεστράτου παῖ — Ἁγησίδαμε O. 11. 11.

Ἀρχῐλοχος] the lyric poet of Paros. τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεχλαδώς i. e. his hymn to Herakles, sung after an athlete's victory O. 9. 1. εἶδον — ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν πιαινόμενον P. 2. 55.

ἀρχός] *leader, ruler* αἰετὸς — ἀρχὸς οἰωνῶν P. 1. 7. οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον i. e. Hieron P. 1. 73. ἀρχὸς ἐν πρύμνᾳ Jason P. 4. 194. ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ παῖδες sc. τοῦ Ἄργους N. 9. 14. ἀρχὸν οἰωνῶν μέγαν αἰετόν I. 6. 50. ὁ γενέθλιος ἀκτίνων πατήρ, πῦρ πνεόντων ἀρχὸς ἵππων *master* sc. Helios O. 7. 71.

ἄρχω] (ἄρχει; ἄρχε; ἄρχειν: impf. ἆρχε: aor. ἄρξαι: med. ἄρχονται; ἀρχομένου, -μενοι, -μένοις, -μεναι: fut. ἄρξεται dub.: impf. ἄρχετο: aor. ἄρξατο.)
1. act., *rule* **a.** abs. ἇς Οἰνόμαος ἆρχε O. 10. 51. **b.** c. dat. ἤθελον Χίρωνά κε — ζώειν βάσσαισί τ' ἄρχειν Παλίου P. 3. 4. **c.** c. gen. "βασιλεύς, ὅστις ἄρχει ναός" Jason P. 4. 230. [Ἑλέλιχθον, ἄρχεις ὃς ἱππιᾶν ἐσόδων (coni. Bowra: ὀργαῖς πάσαις ὃς ἱππείαν ἔσοδον codd.) P. 6. 50.]
2. act. and med., *begin* **a.** abs. ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές O. 6. 3. "ἅμα πρώτοις ἄρξεται" (codd.: ῥάξεται coni. Wil.: loc. susp., cf. von der Mühll, M. H., 1964, 50f.) O. 8. 45. καὶ πόθεν ἀθαν[άτων ἔρις ἄ]ρξατο (supp. Bury) Πα. 6. 50. τί κάλλιον ἀρχομένοις ἢ καταπαυομένοισιν ἢ βαθύζωνόν τε Λατὼ — ἀεῖσαι; (v. l. -ομένοισιν) fr. 89a. 1. **b.** c. acc. ἆρχε δ' οὐρανοῦ πολυνεφέλα κρέοντι, θύγατερ, δόκιμον ὕμνον N. 3. 10. **c.** c. gen. "φιλίων δ' ἐπέων ἄρχετο" (v. l. ἄρχεται.) P. 4. 30. ὅθεν περ καὶ Ὁμηρίδαι ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ ἄρχονται, Διὸς ἐκ προοιμίου N. 2. 3. βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον N. 4. 53. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν (sc. Μοῖσαι) N. 5. 25. [ὅτε Λαομέδοντι πεπρωμένοι' ἤρχετο μόροιο κάρυξ (expectes ἀρχ-, Snell: ? *was a beginning for*) fr. 140a. 67 (41). v. ἔρχομαι] **d.** c. dat., *begin with* τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι καρτεραίχμαν Ἀμφιτρυωνιάδαν I. 6. 37. **e.** *begin, start upon* ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον (v. l. ἐρχομένοις) P. 1. 34. **f.** frag.]ἀρχομ[Πα. 7B. 8.

ἀρωγός] *succouring* c. dat. Θέρσανδρος — Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις O. 2. 45.

ἄς] *while* πρόσθε γὰρ νώνυμνος ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νιφάδι O. 10. 51. [ἇς (coni. G-H: τᾶς Π) Πα.

7B. 50]. [ἃς legit Wil.: ἃς G-H. Πα. 12. 20]

ἄσβεστος, ον] *inextinguishable* met. διὰ πόντον βέβακεν ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί I. 4. 42.

ἀσθενής] *sickly, weak* ἀσθενεῖ μὲν χρωτὶ βαίνων sc. Philoktetes P. 1. 55.

ἄσθμα] *laboured breathing* καί μιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν N. 10. 74.

ἀσθμαίνω] *pant, gasp* σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν (v. l. σώματι, unde σώματι — ἀσθμαίνοντι coni. Tric.: i. e. those of the wild animals he slew) N. 3. 48.

'Ἀσία] *Asia* i. e. Asia minor. 'Ασίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας i. e. in Rhodes O. 7. 18.

ἀσκέω] *honour* Αἴγιναν — ἔνθα Σώτειρα Διὸς ξενίου πάρεδρος ἀσκεῖται Θέμις ἔξοχ' ἀνθρώπων O. 8. 22. τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν δαίμον' ἀσκήσω P. 3. 109. καὶ ξενίου Διὸς ἀσκεῖται θέμις αἰενάοις ἐν τραπέζαις N. 11. 8.

'Ἀσκλᾱπιός, 'Ἀσκληπιός] son of Apollo and Koronis. τέκτονα νωδυνίας ἥμερον γυιαρκέος 'Ασκλαπιόν P. 3. 6. βαθυμῆτα Χίρων τράφε λιθίνῳ 'Ιάσον' ἔνδον τέγει καὶ ἔπειτεν 'Ασκληπιόν ('Ασκλαπιόν coni. Schr.) N. 3. 54.

ἀσκός] *skin bag* ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίνυεν δόμοις *fr. 104b. 4.*

ἄσμενος] *glad* ἐπιχώριον μάντιν ἄσμενος εὗρεν O. 13. 74.

[ἄσσον coni. Mommsen: †ἀνάσσων codd. O. 13. 107.**]**

ἄσοφος] *unwise* τὸ πόρσω δ' ἐστὶ σοφοῖς ἄβατον κἀσόφοις O. 3. 45.

ἀσπάζομαι] *salute, greet* (κάρυκες) ἀδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας I. 2. 25.

ἀσπιδόδουπος] *with ringing shields* ἔν τ' ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις I. 1. 23.

ἀσπίς] *shield* "θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς 'Αλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα "P. 8. 46.

ᾄσσω] v. ἀίσσω.

'Ἀστερία] sister of Leto, daughter of Koios and Phoebe; a Titan pursued by Zeus and turned into the island of Delos. ἔσχον Δᾶλον, ἐπεί σφιν 'Απόλλων δῶκεν ὁ χρυσοκόμας 'Αστερίας δέμας οἰκεῖν (v. ἄστρον) Πα. 5. 42.

ἀστεροπά] *lightning flash* οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν' N. 9. 19.

ἀστήρ] *star* ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος ἐξικόμαν κε P. 3. 75. ὁ μὰν πλοῦτος —, ἀστὴρ ἀρίζηλος O. 2. 55.

ἀστός] (-ός, -όν; -οί, -ῶν, -οῖς) *(fellow)-citizen* ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν the people of Kamarina O. 5. 14. ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς O. 6. 7. δίδοι τέ οἱ αἰδοίαν χάριν καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξείνων O. 7. 90. οἶκον ἥμερον ἀστοῖς, ξένοισι δὲ θεράποντα O. 13. 2. ἀστοῖς καὶ βασιλεῦσιν P. 1. 68. ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει P. 1. 84. ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν P. 2. 82. βασιλεύς, πραὺς ἀστοῖς P. 3. 71. ξεῖνος αἴτ' ὦν ἀστός P. 4. 78. ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν sc. Arkesilas P. 4. 297. πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ 'Ερεχθέος ἀστῶν i. e. of the Athenians P. 7. 10. οὕνεκεν εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν ξυνῷ πεποναμένον εὖ μὴ — κρυπτέτω P. 9. 93. πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' the Aiginetans N. 8. 14. ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαι (sc. εὔχομαι) N. 8. 38. ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσιν ἐπαινεῖσθαι χρεὼν N. 11. 17. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν I. 2. 37. ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι I. 3. 3. δαῖτα πορσύνοντες ἀστοὶ καὶ νεόδματα στεφανώματα βωμῶν I. 4. 61. ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων (transp. Hartung: αὔξων — ἀστῶν codd.) I. 7. 29. λ]αὸν ἀστῶν Πα. 2. 48.]ἀστοῖσι τε[Πα. 10.13. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς fr. 109. 1.

ἀστρᾰβής] *unswerving, steadfast* Ἕκτορα — Τροίας ἄμαχον ἀστραβῆ κίονα O. 2. 82.

ἄστρον] (-ον voc., acc.; -α, -οις) *star* **a.** of the sun. μηκέτ' ἀελίου σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος (cf. Σ, ἔδει γὰρ εἰπεῖν ἀστέρα) O. 1. 6. ἀκτὶς ἀελίου — ὦ μᾶτερ ὀμμάτων, ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον (cf. Σ. Arat., Phaen., 11, λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως παρὰ Πινδάρῳ "ἄστρον ὑπέρτατον") Πα. 9. 2. **b.** pl., *stars* Ἀοσφόρος θαητὸς ὡς ἄστροις ἐν ἄλλοις I. 4. 24. ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου fr. 136. **c.** met. τέρας, ἄν τε βροτοὶ Δᾶλον κικλῄσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον perhaps a play on the earlier name of Delos, Asteria, fr. 33c. 5. ὦ Διὸς Ἑλλανίου φαεννὸν ἄστρον Aigina Πα. 6. 126.

ἄστυ] (ἄστυ, -εος, -ει, -εῖ, -υ; ἄστη, -έων) *city* ἀπάτερθε δ' ἔχον διὰ γαῖαν τρίχα δασσάμενοι πατρωίαν ἀστέων μοίρας (Meineke: μοῖραν codd.: Lindos, Ialysos, Kamiros, the three cities of Rhodes) O. 7. 76. φέροις δὲ Πρωτογενείας ἄστει γλῶσσαν (λέγει δὲ τῆς Ὀποῦντος. Σ.) O. 9. 42. ἐν ἄστεϊ Πειράνας Korinth O. 13. 61. "φαμὶ γὰρ — Ἐπάφοιο κόραν ἀστέων ῥίζαν φυτεύσεσθαι μελησιμβροτον Διὸς ἐν Ἄμμωνος θεμέθλοις" Cyrene P. 4. 15. ἄστυ χρυσοθρόνου διανέμειν θεῖον Κυράνας P. 4. 260. ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων, πύργος ἄστεος ὄμμα τε φαεννότατον ξένοισι P. 5. 56. ξένιον ἄστυ κατέδρακεν Thebes N. 4. 23. πολλὰ δ' Αἰγύπτῳ †κατῴκισθεν†ἄστη ταῖς Ἐπάφου παλάμαις (ἄστη nom. et acc. interpr. edd.) N. 10. 5. νικαφορίαις γὰρ ὅσαις†ἱπποτρόφον ἄστυ τὸ Προίτοιο θάλησεν† (Προίτοιο τόδ' ἱπποτρόφον ἄστυ θάλησεν Boeckh: Argos) N. 10. 41. ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων Aigina I. 6. 69. Ὧραί τε Θεμίγονοι [?πλάξ]ιππον ἄστυ Θήβας ἐπῆλθον Πα. 1. 7. τὸ δὲ οἴκοθεν ἄστυ κα[(nom.) Πα. 4. 32.]ἄστεϊ κτεάν[Πα. 21. 15. θεοί, πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντ' ἐν ταῖς ἱεραῖς Ἀθάναις οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν fr. 75. 3. καὶ λιπαρῷ Σμυρναίων ἄστεϊ fr. 204.

Ἀστῠδάμεια] daughter of Amyntor, mother of Tlepolemos. τὸ δ' Ἀμυντορίδαι ματρόθεν Ἀστυδαμείας (sc. εὔχονται οἱ ἀπὸ Τλαπολέμου) O. 7. 24.

ἀστῡ́νομος] *administered by the city, public* ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμεῖξαι λαόν N. 9. 31.

ἀσυχ- v. ἡσυχ-.

ἀσφᾰλής] *secure* κασιγνήτα τε βάθρον πολίων ἀσφαλὲς Δίκα (Er. Schmid: ἀσφαλής codd.) O. 13. 6. πολεμίων καμάτων ἐξ ἀμαχάνων διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές P. 2. 20. αἰὼν δ' ἀσφαλὴς P. 3. 86. ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός N. 6. 3.

ἀσχολία] *lack of leisure* τὸ τεόν, χρύσασπι Θήβα, πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι I. 1. 2.

ἄσχολος] *without leisure* εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν P. 8. 29.

Ἀσωπίδες] *daughters of Asopos* χρὴ δ' ἐν ἑπταπύλοισι Θήβαις τραφέντα Αἰγίνᾳ Χαρίτων ἄωτον προνέμειν, πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων ὁπλόταται (Pauw: Ἀσωπίδων θ' codd.: Θήβη καὶ Αἴγινα αἱ Ἀσωποῦ τοῦ Βοιωτιακοῦ ποταμοῦ θυγατέρες. Σ.) I. 8. 17.

Ἀσώπιος] *of Asopos* ὕδατι γὰρ μένοντ' ἐπ' Ἀσωπίῳ μελιγαρύων τέκτονες κώμων νεανίαι (Σ, edd. disagree as to whether this river is the Boeotian Asopos or in Aigina) N. 3. 4.

Ἀσώπιχος] of Orchomenos, son of Kleodamas, Olympic victor in stadion. Λυδῷ γὰρ Ἀσώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον O. 14. 17.

Ἀσωπόδωρος] of Orchomenos, father of Herodotos. γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν Ἀσωποδώρου πατρὸς αἶσαν I. 1. 34.

Ἀσωπός] **a.** a Boeotian river, father of Aigina and Thebe. ὑδάτεσσι δ' ἐπ'

Ἀσωποῦ ποτ' ἀπὸ προθύρων βαθύκολπον ἀνερέψατο παρθένον Αἴγιναν (sc. Ζεύς) Πα. 6. 135.]ασωπο[Pap. Oxy. 1792 fr. 16. **b.** a river flowing past Sicyon. (τὰ Πύθια) ἅ τε Φοίβῳ θῆκεν Ἄδραστος ἐπ' Ἀσώπου ῥεέθροις i. e. at Sikyon N. 9. 9.

ἄτα] (-ας, -ᾳ dub., -αν. cf. ἀυάτα) *ruin, doom* κόρῳ δ' ἕλεν ἄταν ὑπέροπλον sc. Τάνταλος O. 1. 57. βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν the city of Augeas destroyed by Herakles O. 10. 37. (δόλιος ἀστός) σαίνων ποτὶ πάντας ἄταν πάγχυ διαπλέκει (Heyne: ἀγὰν Boeckh: ἄγαν codd.) P. 2. 82. φθονεροὶ δ' ἀμύνονται ἄτᾳ (ἄτᾳ, ἄτα codd.: ἄται Hermann: ἄτᾳ expungens ⟨ἀλλ'⟩ add. Boeckh, ⟨τᾶν⟩ Thiersch: locus conclamatus) P. 11. 55. φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι N. 9. 21.

Ἀτᾱβύριον] the highest mountain in Rhodes, on whose peak was a temple to Zeus, v. Cook, Zeus, p. 922[5]. ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου μεδέων O. 7. 87.

(Ἀταλάντα)] v. Σ. Δ. 4g.

ἀτάλλω] *nurture* γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ Ἐλπίς fr. 214. 2.

ἀτᾰλός] *tender* πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων θυμὸν N. 7. 91.

ἀτάρ] adversative, *yet* **a.** εὕδει δὲ (sc. αἰῶνος εἴδωλον) πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν — δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν fr. 131 b. 3. Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει—. ἀτὰρ Αἴας Σαλαμῖν' ἔχει N. 4. 47. Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον χρόνον· ἀτὰρ γένος αἰεὶ φέρει τοῦτό οἱ γέρας N. 7. 39. **b.** answering μέν. οἱ μὲν κρίθεν· ἀτὰρ Ἰάσων αὐτὸς P. 4. 169. Ἀπόλλωνι μὲν θ[εῶν] ἀτὰρ ἀνδρῶν Ἐχεκ[ρά]τει ?fr. 333 a. 5. **c.** ἀτὰρ — γε. ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ ἤλυθεν — Θυώνᾳ P. 3. 98.

ἀτάρβακτος, -ον] *intrepid, dauntless* γνώμας ἀταρβάκτοιο P. 4. 84.

ἀταρβής] *unafraid, fearless* ἀταρβεῖ φρενί P. 5. 51. "οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ" P. 9. 31.

ἀτασθᾰλία] *wickedness*]λαῶν ξενοδαίκτα βασιλῆος ἀτασθαλίᾳ κοτέων θαμά fr. 140 a. 57 (31).

ἅτε] v. ὅς τε.

ἀτειρής] *unimpaired* ἀτειρεῖ σὺν ἀγαθῷ O. 2. 33.

ἀτέκμαρτος] *obscure, unpredictable* τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκ'μαρτον προνοῆσαι pr. P. 10. 63. n. pl. pro adv., ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος (Er. Schmid: ἀτέκμαρτον codd.) O. 7. 45.

ἀτελής] *ineffectual* ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν (pr., sc. Ἀπόλλων) P. 5. 62. μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται N. 3. 42. ἀτελῆ σοφίας καρπὸν δρέπειν (sc. τοὺς φυσιολογοῦντας) fr. 209.

ἀτενής] *earnest* φαῖμέν κε γείτον' ἔμμεναι νόῳ φιλήσαντ' ἀτενέι γείτονι χάρμα πάντων ἐπάξιον N. 7. 88. n. sing. pro adv., *really, absolutely*, ὑποφάτιες, ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι P. 2. 77.

ἄτερ] prep. c. gen., *without* οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' O. 8. 45. ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν — γόνον O. 9. 44. καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ O. 10. 91. οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας O. 14. 8. Ἀρτέμιδος, ἅς οὐκ ἄτερ — ἐδάμασσε πώλους P. 2. 7. οὐκ ἄτερ τέχνας P. 2. 32. οὐ θεῶν ἄτερ ἀλλὰ P. 5. 76. παλαίοισαν ἄτερ ἐγχέων P. 9. 28. πόνων δὲ καὶ μαχᾶν ἄτερ οἰκέοισι P. 10. 42. κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ sc. Αἴαντα i. e. *excepting* N. 7. 27. τὸ δ' ἐμόν, οὐκ ἄτερ Αἰακιδᾶν, κέαρ ὕμνων γεύεται I. 5. 20.

ἄτερθε, ἄτερθεν] **a.** prep. c. gen., *apart from* παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι δαμασιμβρότου αἰχμᾶς O. 9. 78. ξένοι ἔφθινον ἄτερθεν τεκέων ἀλόχων τε Πα. 8. 77. **b.** adv., *apart, separately* ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες Ἀΐδαν βασιλέες ἱεροὶ ἐντί (διακεχωρισμένος τῶν ἄλλων βασι-

λέων ἐν τῇ Κυρήνῃ πρὸς τὰ τελευταῖα τῆς ἀγορᾶς κεῖται τεθνηκὼς ὁ Βάττος. Σ.) P. 5. 96. c. frag.]ει τις ἄτερθεν[Πα. 13b. 13. ἄτερθ[εν P. Oxy. 2622. fr. 117 ad ?fr. 346.

ἀτῑμάζω] *hold in no honour, despise* πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς ἑλικογλεφάρου sc. he who does not love Theoxenos fr. 123. 6.

ἀτῑμάω] *disregard* ἔγνον ποτὲ καὶ Ἰόλαον οὐκ ἀτιμάσαντά νιν (= καιρὸν) ἑπτάπυλοι Θῆβαι P. 9. 80.

ἀτῑμία] *derision* διάπειρα — ἅπερ Κλυμένοιο παῖδα Λαμνιάδων γυναικῶν ἔλυσεν ἐξ ἀτιμίας O. 4. 20.

ἄτῑμος] *dishonouring, derisive* ἀπεθήκατο — νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπίκρυφον οἶμον O. 8. 69.

ἀτῑτάλλω] *bring up, rear* γόνον τέ οἱ φέρτατον ἀτίταλλεν ἐν ἀρμένοισι πᾶσι θυμὸν αὔξων sc. Cheiron N. 3. 58.

Ἄτ'λας] a Titan. καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ προσπαλαίει P. 4. 289.

ἄτ'λᾱτος, -ον] *insufferable, dreadful* ταύτας περ' ἀτλάτου πάθας O. 6. 38. ἐκ δ' ἄρ' ἄτλατον δέος πλᾶξε γυναῖκας N. 1. 48. [†ἀτληκηκότας† codd. Stobaei, unde ἀτλάτα κακότας coni. Boeckh fr. 42. 5.]

ἀτόλμᾱτος] *unbearable* ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε†Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός, ἀτόλματον Ἑλλάδι μόχθον I. 8. 11.

ἄτολμος] *unadventurous* θυμὸς ἄτολμος ἐών N. 11. 32.

ἀτ'ρᾱπός] *path* ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα of the sun in eclipse Πα. 9. 5.

Ἀτρείδας] *son of Atreus* θάνεν μὲν αὐτὸς ἥρως Ἀτρείδας ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις sc. Agamemnon P. 11. 31. pl., Agamemnon and Menelaos. τοῦ παῖς ἅμ' Ἀτρείδαις Τεύθραντος πεδίον μολὼν O. 9. 70. τοὶ καὶ σὺν μάχαις δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι Ἡρακλῆι πρότερον καὶ σὺν Ἀτ'ρείδαις I. 5. 38. γεφύρωσέ τ' Ἀτ'ρείδαισι νόστον (Benedictus: ἀτρεάδαισι codd.) I. 8. 51.

ἀτρέκεια] *precision, exactitude* πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθόνιον γένος ἀνδρῶν, δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν *tell precisely* fr. 213. 4. pro pers., *Rectitude*, νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων O. 10. 13.

ἀτ'ρεκής] a. *strict, precise*, of an Olympic judge ἀτρεκὴς Ἑλλανοδίκας — Αἰτωλὸς ἀνὴρ O. 3. 12. b. *precise, exact* καιρῷ σὺν ἀτρεκεῖ P. 8. 7. ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκεῖ κατέβα ποδί N. 3. 41. οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής (v. l. ἀτρεκές codd. Stobaei, Snell) N. 5. 17.

ἀτ'ρεμία] *steadfastness, fearlessness* ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε σύγγονον N. 11. 12. [ἀρτεμίᾳ dub. Πα. 12. 3.]

Ἀτ'ρεύς] father of Agamemnon. τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες i. e. σὺν Ἀτρείδαις O. 13. 58.

ἄτ'ροπος] *intractable* τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι ἔπεσι (*improper* Farnell, edd. vulg., but v. Tugendhat, Hermes, 1960, 404: "starrsinnig, unkonziliant") N. 7. 103.

ἄτ'ρυτος] *unabating* ἐπ' ἄτρυτον πόνον P. 4. 178.

ἄτ'ρωτος, -ον] *unscathed* ἀλλὰ σὺν δόξᾳ τέλος δωδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ N. 11. 10. ἄτρωτοί γε μὰν παῖδες θεῶν I. 3. 18.

ἀτύζομαι] *be terrified* αὖθι δ' ἀτυζόμενοι ψυχὰς βάλον (sc. οἱ δύο δράκοντες: v. l. ἀτυζομένω) O. 8. 39. ἀτύζονται βοὰν Πιερίδων ἀίοντα (sc. ὅσσα μὴ πεφίληκε Ζεύς) P. 1. 13.

αὖ] *again*, with δέ; emphasizing a distinction as regards what precedes. a. μέν precedes. τόκα μὲν —, εὖτ' ἂν δὲ —, τότ' αὖ O. 6. 70. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ N. 11. 30. ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες fr. 124. 8. b. as opposed to some previous time.

ἀλλ' ἀμέρᾳ γὰρ ἐν μιᾷ —. νῦν δ' αὖ I. 4. 18. ἐν δὲ μηνὸς πρῶτον τύχεν ἆμαρ —. νῦν δ' αὖ Πα. 2. 80. c. in general. πόλλ' ἄνω, τὰ δ' αὖ κάτω O. 12. 6. "μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ θρασυμήδει Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς ἄμμες αὖ κείνων φυτευθέντες "P. 4. 144.

ἀυάτα] (Aeol., = ἄτα, q. v.: ἀυάτ-, codd., Snell: αὐάτ-, Mosch., Beck: i. e. ἀϝάτ-. v. Hamm, Gramm. zu Sappho & Alk. § 47.) *delusion, infatuation* (cf. Forssman, p. 15[8], "Nur die Form ἀυάτα hat bei Pindar die alte Bedeutung "Verblendung"": but v. Barrett at Eur., Hipp., 241) ἀλλά νιν (= Ἰξίονα) ὕβρις εἰς ἀυάταν ὑπεράφανον ὦρσεν P. 2. 28. ἔσχε τοι ταύταν μεγάλαν ἀυάταν καλλιπέπλου λῆμα Κορωνίδος P. 3. 24.

αὐγά] *ray, beam* ὀξείαις — αὐγαῖς ἀελίου O. 3. 24. τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει I. 4. 65. ὁ χρυσὸς ἑψόμενος αὐγὰς ἔδειξεν ἁπάσας N. 4. 83.

Αὐγέας] king of the Epeians, killed by Herakles. πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον πράσσοιτο O. 10. 28.

αὐδά] *voice, song* ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις (sc. Χρόμιος) N. 9. 4. παρθένοι χαλ[κέᾳ] κελαδ[έον]τι γλυκὺν αὐδᾷ [τρόπ]ον Πα. 2. 101.]ος αὐδάν Πα. 4. 3. κελ]άδησαν αὐδάν Πα. 7. 17. μελίφρονι αὐδ[ᾷ (sc. of the Keledones, q. v.: "hiatus notabilis" Snell) Πα. 8. 78.

αὐδάεις] *vocal, singing* εἶα τειχίζωμεν ἤδη ποικίλον κόσμον αὐδάεντα λόγων fr. 194. 3.

αὐδάω] (αὐδάσομεν aor. subj.) *speak of, loudly proclaim* abs., ὣς ἄρ' αὐδάσαντος (sc. Αἰήτα) P. 4. 232. ὣς ἄρ' αὐδάσαντος (sc. Ζηνός) N. 10. 89. c. acc., μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν O. 1. 7. αὐδάσομαι ἐνόρκιον λόγον — τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν φίλοις ἄνδρα μᾶλλον εὐεργέταν — Θήρωνος O. 2. 92. ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους αὔδασε τοιοῦτον ἔπος I. 6. 42. c. acc. & inf., σε χαίρειν ἐστρὶς αὐδάσαισα (sc. ἱέρεα Ἀπόλλωνος) P. 4. 61.

[αὐερύω v. ἀναρύω**]**

αὖθι] *at once* αὖθι δ' ἀτυζόμενοι ψυχὰς βάλον O. 8. 39.

αὐλά] *court, hall* φίλοισι γὰρ φίλος ἐλθὼν ξένιον ἄστυ κατέδρακεν Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν probably the temple of Herakles at the Elektran gates N. 4. 24. ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν i. e. the palace of Amphitryon N. 10. 16. ἀγ]λαάν τ' ἐς αὐλὰν Ὠκεανοῖο [—]ν Μελίας probably the temple of Apollo Ptoios Πα. 7. 3.

αὖλαξ] *furrow* ὀρθὰς δ' αὔλακας ἐντανύσαις ἤλαυν' sc. Jason P. 4. 227.

αὔλειος] *belonging to the court of a house* ἔσταν δ' ἐπ' αὐλείαις θύραις ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος N. 1. 19.

Αὐλίς] a Boeotian town on the Euripos.]ν Αὐλίδ[P. Oxy. 1792. fr. 49.

αὐλίσκος] *pipe* σειρῆνα δὲ κόμπον αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς (G-H: λαισκων, αλισκων Π.) Παρθ. 2. 14.

αὐλός] (αὐλός -όν; -ῶν, -οῖς) sing. & pl., *pipe, flute* φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν Αἰνησιδάμου παιδὶ συμμεῖξαι O. 3. 8. ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς O. 5. 19. ἀδυμελεῖ θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν O. 7. 12. ἀδυεπής τε λύρα γλυκύς τ' αὐλός O. 10. 94. παντᾷ δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται P. 10. 39. παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος i. e. Athene P. 12. 19. πόμ' ἀοίδιμον Αἰολίσσιν ἐν πνοαῖσιν αὐλῶν N. 3. 79. ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν ἱππίων ἀέθλων κορυφάν N. 9. 8. κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς μυρίον χρόνον I. 5. 27. χαλκ]εοπ' αὐλῶν ὀμφάν[Πα. 3. 94.]γλυκὺν κατ' αὐλὸν αιθερ[Πα. 7. 11. ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς fr. 75. 18.]ἀοιδ[ὰν κ]αὶ ἁρμονίαν αὐλ[οῖς ἐ]πεφράσ[ατο (supp. Schr.) fr.

140b. 3. δελφῖνος —· τὸν μὲν — αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος fr. 140b. 17.

αὐξάνω, αὔξω] (αὐξάνοι. αὔξεις, -ει, -ομεν; αὔξῃς; αὔξων, -οντες: med. αὔξεται, -οντ(αι); αὐξομέναν. cf. ἀέξω) a. *increase* — δενδρέων δὲ νομὸν Διώνυσος πολυγαθὴς αὐξάνοι fr. 153. met., ὄφρα — αὔξῃς οὖρον ὕμνων P. 4. 3. αὔξομεν ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων, τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς i. e. *make great the sacrifice of burnt offerings to* I. 4. 62. b. met., *exalt, make to prosper* τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον O. 5. 4. αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς P. 4. 279. αὔξων δὲ πάτραν Μειδυλιδᾶν λόγον φέρεις P. 8. 38. ἀδελφεοῖσί τ' ἐπαινήσομεν ἐσλοῖς, ὅτι ὑψοῦ φέροντι νόμον Θεσσαλῶν αὔξοντες P. 10. 71. γόνον τέ οἱ φέρτατον ἀτίταλλεν ἐν ἁρμένοισι πᾶσι θυμὸν αὔξων N. 3. 58. τιμὰ δὲ γίνεται, ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων N. 7. 32. ἴστω γὰρ σαφὲς — ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων (Hartung: αὔξων — ἀστῶν codd.) I. 7. 29. c. med., *grow, rise* εἶπέ τιν' αὐτὸς ὁρᾶν — αὐξομέναν πεδόθεν πολύβοσκον γαῖαν O. 7. 62. met., ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται P. 8. 93. γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος ὀρνύντος αὔξεται P. 10. 10. αὔξεται δ' ἀρετά (codd.: αὔξηται metr. gr. Turyn: ἀίσσει e fine versus huc transtulit Fel. Vogt, qui αὔξεται delevit) N. 8. 40. νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορίᾳ σὺν ἀοιδᾷ N. 9. 48. ψυχὰς — ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξοντ' i. e. *arise* fr. 133. 5. d. frag.]αὔξεις[Παρθ. 2. 93.]αὐξανε[(Snell: αὔξοιη[G-H.) fr. 140a. 79 (53).

αὔρα] *breeze* νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν O. 2. 72. ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι O. 7. 95. ψυχρᾶν ὁπότ' εὔδιανὸν φάρμακον αὐρᾶν Πελλάνα φέρε (τὴν χλανίδα. Σ.) O. 9. 97. σὺν Νότου δ' αὔραις P. 4. 203.

Αὐσόνιος] *Ausonian* i. e. Italian. ὑπὲ]ρ Αὐσονία[ς (ἁλὸς supp. Wil.: i. e. Adriatic) fr. 140b. 6.

ἀϋτά] *cry* a. *musical sound*]γάρ σε λιγυσφαράγων κλυτᾶν ἀυτά, Ἑκαβόλε, φορμίγγων fr. 140a. 60 (34). ἐρεθίζομαι πρὸς ἀυτά[ν (Lobel: e Plutarcho ἀοιδάν subst. G-H.) fr. 140b. 14. b. *battle-cry* i. e. *rush of war* ἂν κίνδυνον ὀξείας ἀυτᾶς N. 9. 35.

αὐταρχέω] *be absolute ruler* Εὐξαντίου — [Κρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν Πα. 4. 37.

αὖτε] 1. adversative, *again* a. opposed to μέν. θεὸν — ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος P. 2. 89. (ἄρουραι) τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν, τόκα δ'αὖτ' ἀναπαυσάμεναι σθένος ἔμαρψαν N. 6. 11. ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον δεξάμενοι στεφάνων, νῦν αὖτε Ἰσθμοῦ δεσπότᾳ — Φυλακίδα νικῶντος (Hermann: αὖτ' ἐν codd.) I. 6. 5. b. opposed to a previous time. ἐκ προτέρων μεταμειψάμενοι καμάτων ἔστασαν ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ P. 3. 96.

2. progressive, in question. ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ· τίνα βάλλομεν ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀιστοὺς ἱέντες; O. 2. 90.

3. frag. τοι δ' αυτ[dub. ?fr. 338. 9.

αὐτίκα] *at once, suddenly* ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων O. 1. 47. θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες ποινὰς ἔτεισαν O. 2. 57. ξείνων δ' εὖ πρασσόντων, ἔσαναν αὐτίκ' ἀγγελίαν ποτὶ γλυκεῖαν ἐσλοί O. 4. 5. ἦλθεν δ' — Ἴαμος ἐς φάος αὐτίκα O. 6. 44. ἐκέλευσεν δ' αὐτίκα O. 7. 64. ἐξ ὀνείρου δ'αὐτίκα ἦν ὕπαρ O. 13. 66. τάφε δ' αὐτίκα P. 4. 95. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς — ἔννεπεν P. 4. 241. αὐτίκα δ' ἐκ μεγάρων Χίρωνα προσήνεπε φωνᾷ P. 9. 29. "Ἵνα οἱ χθονὸς αἶσαν αὐτίκα συντελέθειν ἔννομον δωρήσεται" P. 9. 57. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ' ἀγῶνος P. 9. 114. ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα

θαητὰν ἐς αἴγλαν παῖς Διὸς ὠδῖνα φεύγων — μόλεν N. 1. 35. ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος N. 4. 44. αὐτίκα γὰρ ἦλθε Λήδας παῖς διώκων N. 10. 65. ὣς ἦρα εἰπὼν αὐτίκα ἕζετ' I. 6. 55. "Ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Χίρωνος αὐτίκ' ἀγγελίαι" I. 8. 41.]αδαυτικ[dub. P. Oxy. 2445. fr. 28.

αὖτις] (αὖθις v. l. O. 1. 66, P. 4. 273, cf. N. 3. 56) **a.** *again, once more.* προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος O. 1. 66. ἐπὶ χώρας αὖτις ἔσσαι P. 4. 273. ἐμὲ δ' οὖν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι καὶ παλαιὰν δόξαν ἑῶν προγόνων P. 9. 104. ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός N. 4. 70. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν i. e. from the dead N. 8. 44. νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε Πότμος συγγενὴς εὐαμερίας I. 1. 39. **b.** *further, and again* (Cheiron reared Jason, then Asklepios) νύμφευσε δ' αὖτις ἀγλαόκολπον Νηρέος θύγατρα (Boeckh: αὖθις codd.) N. 3. 56.

αὐτόθεν] *hence, from this point* τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν (i. e. from their exploits at Troy. contra Schadewaldt, 313², "von Aigina aus") N. 3. 64. εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται, μακρά μοι αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις ("von hier aus", Bischoff, Gnomen, 77n. 4.) N. 5. 20.

αὐτόθι] *here, in this place* ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυχὰς ἔχοντες κρέσσονας ἄνδρες i. e. in this city of Aigina N. 9. 32.

αὐτόμᾰτος] *spontaneous, unprompted* μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ P. 4. 60. αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων πίνοντες ἐπλάζοντο fr. 166. 4.

αὐτόρῠτος] *flowing of its own accord* υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου ἔμμεναι P. 12. 17.

αὐτός] (-ός, -οῦ, -ῷ, -όν; -ῶν, -οῖς, -ούς: -ά, -ᾶς, -ᾷ, -άν; -αῖς: -ό acc.; -ῶν)

ἐμός] (ἐμόν, -ῶν; -ά, -ᾶς, -ᾷ, -άν, -ά, -ᾶν, -αῖς; -ον nom., acc., -ῶν.) *my, our* referring normally to both chorus and Pindar, but occasionally to the chorus alone Πα. 2. 29 e. g., and apparently to Pindar alone P. 3. 78, P. 10. 56, e. g. ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν O. 6. 84. ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος O. 6. 105. πόθι φρενὸς ἐμᾶς γέγραπται O. 10. 3. ὁ μέλλων χρόνος ἐμὸν καταίσχυνε βαθὺ χρέος O. 10. 8. ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι (ὅτι ἐγειτνία τῇ Πινδάρου οἰκήσει Μητρὸς θεῶν ἱερὸν καὶ Πανός, ὅπερ αὐτὸς ἱδρύσατο. Σ, but v. Fränkel, Hermes 1961, 392 on Kallistratos) P. 3. 78. τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν P. 3. 109. τὸ δ' ἐμὸν γαρύει ἀπὸ Σπάρτας ἐπήρατον κλέος (ἀπὸ τοῦ χοροῦ ἢ ἀπὸ τοῦ ποιητοῦ. Σ, but possibly both. cf. O. 6. 84) P. 5. 72. ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ P. 8. 34. 'Αλκμᾶνα στεφάνοισι βάλλω — γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον (reference unknown) P. 8. 58. 'Εφυραίων ὄπ' ἀμφὶ Πηνειὸν γλυκεῖαν προχεόντων ἐμὰν P. 10. 56. ἐμὰν ποιπνύων χάριν τόδ' ἔζευξεν ἅρμα Πιερίδων P. 10. 64. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι; N. 3. 27. κεῖνος ἀμφ' 'Αχέροντι ναιετάων ἐμὰν γλῶσσαν εὑρέτω κελαδῆτιν N. 4. 85. Αἰακὸν — ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ (ἐᾷ Hermann: "quo sensu Aeacus Thebanorum πολίαρχος dici potuerit

ignoramus." Puech: cf. v. 61 ξεινός εἰμι) N. 7. 85. τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ N. 7. 102. ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δό- ξαν — κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων (κατὰ τὴν ἐμὴν δόκησιν. Σ.) N. 11. 24. μᾶτερ ἐμά, — χρύσασπι Θήβα I. 1. 1. ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς i. e. to Thrasyboulos of Akragas I. 2. 48. τὸ δ' ἐμόν, οὐκ ἄτερ Αἰακιδᾶν, κέαρ ὕμνων γεύεται I. 5. 19. ματρὸς δὲ ματέρ' ἐμᾶς ἔτεκον ἔμπαν a chorus of Abderitans sing of their founding city Teos Πα. 2. 29. ἦλθον ἔταις ἀμαχανίαν ἀλέξων τεοῖσιν ἐμαῖς τε τιμαῖς Πα. 6. 11.]ἐμὸν τ[Πα. 10. 17.]νας ἐμᾶς διψῶντ'α[Παρθ. 2. 76. μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερος ὀμφά fr. 152. ὤνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει fr. 205. 3. in direct speech, "ποθέω στρα- τιᾶς ὀφθαλμὸν ἐμᾶς" O. 6. 16. "ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ — τιμάν" P. 4. 106. "εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ, θυμῷ θέλων ἀρᾶν ἄκουσας" I. 6. 42. "τὸ μὲν ἐμόν, Πηλέι γέρας θεόμορον ὀπάσσαι γάμου Αἰακίδᾳ" (τοῦτο ἰσοδυναμεῖ τῷ κατὰ ἐμὲ ἢ κατὰ τὴν ἐμὴν γνώμην. Σ.) I. 8. 38. "ἐμὰν ματέρα λιπόντες καὶ ὅλον οἶκον" Πα. 4. 44.

ἐμπάγνυμι] *fix in* ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἐᾷ πρόσθε καρδίᾳ P. 2. 91.

ἔμπᾰλιν] prep. c. gen., *opposite, contrary to* πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν, ἔμπαλιν μὲν τέρψιος O. 12. 11. ἀλλ' ἔσται χρόνος οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω P. 12. 32.

ἔμπᾱν, ἔμπᾱς, ἔμπᾰ] *nevertheless* esp. after neg. τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν P. 4. 86. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει (καίπερ τοιούτῳ ἄχει πληγείς, καθ' ὃ οὐκ ἂν τις φωνὴν ἀφείη, ἀλλ' ἐκσταίη, ὅμως ἀνεβόησε. Σ paraphr.) P. 4. 237. πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται. ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων (but Σ explain ὁμοίως, in equal propor- tions) P. 5. 55. ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ N. 4. 36. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις N. 6. 4. "ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν παρ- δίδωμ'" N. 10. 82. σαφὲς οὐχ ἕπεται τέκμαρ. ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνο- μεν N. 11. 44. νεόπολίς εἰμι. ματρὸς δὲ ματέρ' ἐμᾶς ἔτεκον ἔμπαν πολεμίῳ πυρὶ πλαγεῖσαν Πα. 2. 29.

ἐμπεδόμοχθος] *of unending pain* ἀπά- λαμον βίον τοῦτον ἐμπεδόμοχθον (sc. of Tantalos) O. 1. 59.

ἔμπεδον] *constantly* ὧν θαλίαις ἔμπεδον εὐφαμίαις τε μάλιστ' Ἀπόλλων χαίρει P. 10. 34. ἑ]ορταὶ ἔμπεδο[ν (supp. Lobel.) Θρ. 4. 15.

ἔμπεδος] *constant, lasting* λυγρόν τ' ἔρα- νον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν P. 12. 14. οὐκ ἔχω εἰπεῖν τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον ὤρεξε pr. N. 7. 57. μή μοι μέγας ἕρπων κἀμοὶ ἐξοπίσω χρόνος ἔμπεδος (proleptic c. ἕρπων) Πα. 2. 27. "λίαν μοι [δέο]ς ἔμπεδον εἴη κεν" pr. Πα. 4. 49.

ἐμπεδοσθενής] *steadfast and strong* εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραι διαπλέκοις εὐδαίμον' ἐόντα N. 7. 98.

ἐμπείρων] *experienced* γλυκὺ δὲ πόλεμος ἀπείροσιν, ἐμπείρων δέ τις ταρβεῖ προσ- ιόντα νιν (πεπειραμένων Eustath.) fr. 110.

ἐμπιπίσκω] *give to drink*]ἐνέπῖσε κε- κραμέν' ἐν αἵματι fr. 111. 1.

ἐμπίτνω] (ἐμπίπτων: aor. ἔμπετες, ἔμπεσε; ἐμπεσεῖν.) a. *fall upon* c. dat. τέτρα- σι δ' ἔμπετες ὑψόθεν σωμάτεσσι of a wrestler P. 8. 81. βαρὺ δέ σφιν Ἀχιλεὺς ἔμπεσε, χαμαὶ καταβαὶς ἀφ' ἁρμάτων (Hermann: ἔμπεσ' Ἀχιλεὺς codd.) N. 6. 51. b. *attack* (with words) εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον, ἄλλοισι δ' ἐμπίπτων γελᾷ (ἐμπίτνων coni. Schr., "nam πίπτω non est apud P.") I. 1. 68. c. *light upon*, i. e. *be exposed to*

c. dat. αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν N. 7. 73.

ἐμπνέω] *blow upon* abs. οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν I. 2. 40. met., c. dat. & acc. πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος (sc. Alkimedon, by his victories) O. 8. 70.

ἐμπολά] *merchandise* τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται P. 2. 67.

ἔμπρακτος, -ον] *practicable, possible* (cf. Forssman, 111f., Strömberg, Gk. Prefix Studies, 118ff.) τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν P. 3. 62.

ἐμπρέπω] *be distinguished* τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει (sc. Αἴγινα) P. 8. 28.

ἔμπῦρα] (τά) *burnt sacrifices* Οὐλυμπία — ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου O. 8. 3. αὔξομεν ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων, τοὺς Μεγάρα τέκε οἱ (= 'Ηρακλεῖ) I. 4. 63.

ἐμφᾰνής] *manifest* ἵστασιν ἄλγος ἐμφανές (sc. οἱ ἄγαν ἐν πόλεσι φιλοτιμώμενοι) fr. 210.

ἐμφλέγω] *light up* ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος O. 10. 74.

ἔμφρων] *sensible* ὥστ' ἔμφρονι δεῖξαι μαθεῖν Πατρόκλου βιατὰν νόον O. 9. 74.

ἐμφῠής] *inborn* τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος O. 11. 19.

ἐμφύλιος] *of one's own kin* ἥρως ὅτι ἐμφύλιον αἷμα πρώτιστος — ἐπέμειξε θνατοῖς i. e. Ixion, by the murder of his father in law, Deioneus P. 2. 32.

ἐν] (in crasis κἀν I. 4. 25, I. 6. 59 coni., but καὶ ἐν P. 9. 40: repeated 13 times O. 2. 43, O. 6. 55, I. 5. 30 etc.: follows noun governed 7 times O. 13. 44, P. 9. 69, Παρθ. 2. 7, etc.: governs only the second of two nouns P. 4. 130, O. 7. 12: ἐνί P. 6. 18, Θρ. 7. 3, fr. 163: joined with ἐπί N. 5. 2, παρά N. 9. 34.)

A. prep. c. dat. **1.** of time. **a.** of point of time, *in, at, on* δεῖ σάμερον ἐλθεῖν ἐν ὥρᾳ O. 6. 28. κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους O. 6. 32. νῦν ἐν καὶ τελευτᾷ O. 7. 26. [κἀν (Mosch.: ἐν καὶ codd. vulgo: καὶ cod. unus) P. 1. 35] ἀλλ' ἐν ἕκτᾳ (sc. ἀμέρᾳ) P. 4. 132. τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι ἵκεο Δωρίδα νᾶσον Αἴγιναν N. 3. 2. νιν ἐρειδόμενον ναυαγίαις ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ I. 1. 37. τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει I. 4. 65. "ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας" I. 8. 44. ἐν ζαθέῳ με δέξαι χρόνῳ Πα. 6. 5. ἀγῶνα Λοξίᾳ καταβάντ' εὐρὺν ἐν θεῶν ξενίᾳ Πα. 6. 61. τῷδ' ἐν ἄματι τερπνῷ Πα. 15. 1. 'Υμέναιον, ὃν ἐν γάμοισι χροιζόμενον [Μοῖρα] σύμπρωτον λάβεν (Welcker: ἐργάμοισι cod.) Θρ. 3. 7. "ἦν διακρῖναι ἰδόντ' (οὐ) πολλὸς ἐν καιρῷ χρόνος" fr. 168. 6. **b.** *during, within, in the course of* ἐν ἀμέρᾳ O. 1. 6. ἐν παντὶ χρόνῳ O. 6. 36. ἐν χειμερίᾳ νυκτὶ O. 6. 100. ἐν δὲ μιᾷ μοίρᾳ χρόνου O. 7. 94. ἐν μικρῷ — χρόνῳ O. 12. 12. ἐν ὀρφναῖσι P. 1. 23. ἐν δ' αὖτε χρόνῳ P. 3. 96. ἐν δαιτὸς δὲ μοίρᾳ P. 4. 127. ἁθρόαις πέντε — νύκτεσσιν ἐν θ' ἁμέραις P. 4. 130. [ἐν—χρόνῳ (Chaeris: ἂν codd.) P. 4. 258] ἐν δὲ χρόνῳ P. 4. 291, P. 8. 15. ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται P. 8. 92. τέκε — ἐν μόναις ὠδῖσιν 'Αλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν P. 9. 85. ἕποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἁμέραις P. 10. 18. ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ N. 3. 16. ἐν δὲ πείρᾳ τέλος διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται N. 3. 70. ἀπάλαιστος ἐν λόγῳ ἕλκειν N. 4. 94. ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα ἔργῳ N. 7. 52. ἤ τιν' ἄγλωσσον μὲν ἦτορ δ' ἄλκιμον, λάθα κατέχει ἐν λυγρῷ νείκει (Hermann e Σ: κατέχει τε, κατέχειν codd.) N. 8. 25. ἐν πολυφθόροις ἀμέραις (Boeckh: πολυφθόροις ἐν codd.) N. 8. 31. χαίρω δὲ πρόσφορον ἐν μὲν ἔργῳ κόμπον ἱείς N. 8. 49. codd.) ἐν πολέμῳ N. 9. 36. ἐν ἁλικίᾳ πρώτᾳ N. 9. 42. ἐν τελεταῖς δὶς 'Αθαναίων

μιν ὀμφαὶ κώμασαν N. 10. 34. φθιμένου — Κάστορος ἐν πολέμῳ N. 10. 59. "παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν καμάτου μεταλαμβάνειν" N. 10. 78. ἐν δὲ χειμῶνι πλέων I. 2. 42. ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ I. 4. 16. ὀψίᾳ ἐν νυκτὶ I. 4. 36. τόλμᾳ γὰρ εἰκὼς θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων ἐν πόνῳ I. 4. 47. καὶ νῦν ἐν Ἄρει μαρτυρήσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ (bis) I. 5. 48—9. "Αἴαντα, λαῶν ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου" I. 6. 54. ἐν χρόνῳ δ' ἔγεντ' Ἀπόλλων fr. 33b = fr. 147 Schr. ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον Πα. 9. 3.]βαρβιτίξαι θυμὸν ἀμβλὺν ὄντα καὶ φωνὰν ἐν οἴνῳ[fr. 124d. ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πακτίδος fr. 125. 2. μηδ' ἀμαύρου τέρψιν ἐν βίῳ fr. 126. 1. ἀτὰρ εὐδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν fr. 131 b. 3. πενταετηρὶς ἑορτὰ — ἐν ᾇ πρῶτον εὐνάσθην fr. 193. c. *in the space of* πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ P. 1. 82. βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' P. 3. 43. τὸν Ἀργείων τρόπον εἰρήσεταί που κἀν βραχίστοις (Heyne: που κέν, πα κ' ἐν codd.) I. 6. 59. d. *phrases* τὸν ἅπαντα χρόνον ἐν σχερῷ ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' (ἐν om. codd.: supp. Hermann: ἐνσχερῶ Dindorf: *in a line, uninterruptedly*) N. 1. 69. ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι (ἐνσχερῷ Heyne) N. 11. 39. ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι (ἐνσχερῷ Fr. Portus i. e. 100 feet broad without interruption) I. 6. 22. ὥστ' ἐν τάχει — τινὰ Νηρείδων πράξειν ἄκοιτιν *soon* N. 5. 35. [ἀλλ' ἐν ἀμείβοντι (Musur.: ἐναμείβοντι codd.) N. 11. 42.]

2. of place. a. ἐν — Πέλοπος ἀποικίᾳ. O. 1. 24. ἐν βάσσαις Κρονίου Πέλοπος O. 3. 23. ἐν Πίσᾳ O. 6. 5. ἐν Ὀλυμπίᾳ O. 6. 26. ἐν Ὀλυμπιάδι O. 10. 16. ἐν Πίσᾳ O. 10. 43 ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου Γᾶς ἀέθλοις ἔν τε καὶ πᾶσιν ἐπιχωρίοις P. 9. 101. ἐν δὲ Πυθῶνι O. 2. 39. ἐν Δελφοῖσιν O. 13. 43. Πυθιάδος δ' ἐν δρόμῳ P. 1. 32. ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι P. 3. 27. ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ P. 6. 8. Κρισαίαις ἐνὶ πτυχαῖς P. 6. 18. Πυθῶνος ἐν γυάλοις P. 8. 63. ἐν Πυθιάδι P. 8. 84. ἐν Πυθῶνι — ἀγαθέᾳ P. 9. 71. ἀγῶνί τε Κίρρας, ἐν τῷ Θρασυδᾷος ἔμνασεν P. 11. 13. ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα νικῶν P. 11. 15. Καφισίδος ἐν τεμένει P. 12. 27. ἐν Πυθίοισί τε νικᾶν N. 2. 9. ἐν ἀγαθέᾳ — Πυθῶνι N. 6. 34. ἐν Πυθίοισι δὲ δαπέδοις κεῖται N. 7. 34. ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων N. 11. 23. ἐν Κρίσᾳ I. 2. 18. χόρτοις ἐν λέοντος O. 13. 44. Νεμεαίου ἐν πολυυμνήτῳ Διὸς ἄλσει N. 2. 5. ἐν Νεμέᾳ N. 2. 23. ἐν βαθυπεδίῳ Νεμέᾳ N. 3. 18. κοίλᾳ λέοντος ἐν βαθυστέρνου νάπᾳ I. 3. 12. ἐν Νεμέᾳ I. 6. 3. "θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ" I. 6. 48. κλεινᾷ τ' ἐν Ἰσθμῷ O. 7. 81. ἐν Κορίνθου πύλαις O. 9. 86. ἐν Ἰσθμιάδεσσιν O. 13. 33. ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν O. 13. 40. ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς N. 2. 21. Ὀρσοτριαίνα — ἐν ἀγῶνι βαρυκτύπου N. 4. 87. ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδι N. 6. 39. τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχὼν N. 10. 27. Κορίνθου τ' ἐν μυχοῖς N. 10. 42. ἐν βάσσαισιν Ἰσθμοῦ I. 3. 11. ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά I. 5. 17. cf. (Κόρινθον) ἐν τᾷ γὰρ Εὐνομία ναίει O. 13. 6. ἐν ἄστει Πειράνας O. 13. 61. ἐν Θήβαισι O. 6. 16. τά τ' ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις O. 7. 84. ἐν Θήβαις O. 13. 107. ἐν ἑπταπύλοις — Θήβαις P. 3. 90, P. 8. 39. "ἐν Κάδμου πύλαις" P. 8. 47. Θήβαις τ' ἐν ἑπταπύλοις N. 4. 19. ἐν Θήβαις N. 10. 8. ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς Οἰνεΐδαι κρατεροί, ἐν δὲ Θήβαις Ἱπποσόας Ἰόλαος γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει I. 5. 30—3. ἐν ἑπταπύλοισι Θήβαις I. 8. 16. ἐ]ν ἑπταπύλοισι —[(sc. Θήβαις) fr. 169. 47. κρανααῖς ἐν Ἀθάναις O. 7. 82. ἐν Ἀθάναις O. 9. 88. κρανααῖς ἐν Ἀθάναισι O. 13. 38, N. 8. 11. ταῖς λιπαραῖς ἐν Ἀθάναις I. 2. 20. ἅ τε

κάν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν ἔν τ' Ἀδραστείοις ἀέθλοις (Boeckh: κεἰν, κὴν codd.) I. 4. 25. ἐν ταῖς ἱεραῖς Ἀθάναις οἰχνεῖτε fr. 75. 4. ἐν — Σικελίᾳ O. 1. 12. ἐν Ἄργει O. 7. 83. ἐν Μεγάροισιν O. 7. 86. ἐν Μαραθῶνι O. 9. 89. ἐν Σπάρτᾳ P. 1. 77. ἐν Φθίᾳ P. 3. 101. "ἐν δὲ Νάξῳ" P. 4. 88. Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ P. 5. 70. ἐν Μεγάροις (ἐν secl. byz.) P. 8. 78. ἐν Ἄργει P. 9. 112. τῶν δ' ἐν Ἑλλάδι τερπνῶν P. 10. 19. κλυταῖς ἐν Ἀμύκλαις P. 11. 32. ἀειδ' ἐν Παλίῳ (Pauw: ἀείδει Παλίῳ codd.) N. 5. 22. ἐν Τροίᾳ N. 2. 14. ποντίᾳ ἔν ποτε Κύπρῳ N. 8. 18. ἐν Κέῳ ἀμφιρύτᾳ I. 1. 8. ἐν Φυλάκᾳ I. 1. 59. ἀλλ' ἐν Οἰνώνᾳ I. 5. 34. ἐν Ἐπιδαύρῳ I. 8. 68.]ν ἐν Ἄργει μεγάλῳ[Δ. 1. 7. ἐν Ἀρίμοις ποτέ fr. 93. ἐν ἀιόνεσσιν Ὀγχη[στοῦ —] — ἔν τε Πίσᾳ Παρθ. 2. 46—9. ἐν δ' ἄρα καὶ Τενέδῳ fr. 123. 13. Μαιναλίαισιν ἐν δειραῖς O. 9. 59. ἐν Παλίου σφυροῖς P. 2. 45. "Διὸς ἐν Ἄμμωνος θεμέθλοις" P. 4. 16. "Τριτωνίδος ἐν προχοαῖς λίμνας" P. 4. 20. Ἄπολλον, τεᾷ, Καρνήι', ἐν δαιτὶ P. 5. 80. ἐν μυχοῖσι Πιερίδων P. 6. 49. μυχῷ τ' ἐν Μαραθῶνος P. 8. 79. Πίνδου κλεενναῖς ἐν πτυχαῖς P. 9. 15. Αἰγίνᾳ τε γὰρ — Νίσου τ' ἐν λόφῳ P. 9. 91. τελεταῖς ὡρίαις ἐν Παλλάδος P. 9. 98. ἐν πεδίῳ Φλέγρας N. 1. 67. Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ N. 5. 46. ἐν γυάλοις Θεράπνας N. 10. 56. ζαθεᾶς Πάρου ἐν γυάλοις fr. 140a. 63 (37). ἐν Κόλχων δόμοις fr. 172. 7. ἐν δρόμοισι O. 1. 21. ἐν δρόμοις O. 1. 94. ἐν ἀέθλοις ἐν μάχαις τε O. 2. 43—4. Αἶαν, τεόν τ' ἐν δαιτί, Ἰλιάδα, νικῶν ἐπεστεφάνωσε βωμόν O. 9. 112. ἱεροῖς ἐν ἀέθλοις O. 13. 15. νικαφόροις ἐν ἀέθλοις — καὶ θοαῖς — ἐν μάχαις P. 8. 26. ἔν τ' ἀέθλοισιν ἀριστεύων N. 11. 14. ἔν τ' ἀέθλοισι I. 1. 18. ἔν τε γυμνοῖσι σταδίοις — ἔν τ' ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις I. 1. 23. ὠκυδινάτοις ἐν ἁμίλλαισι I. 5. 6. ἔν τ' ἀγωνίοις ἀέθλοισι I. 5. 7.]ἐν δαιτί τε πα[Πα. 13a. 21. ἐν οἴκῳ O. 6. 48. μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις P. 2. 33. ἐν θαλάμῳ P. 3. 11. τείχει — ἐν ξυλίνῳ P. 3. 38. "ἐν λέχεσιν" P. 4. 51. "πολυχρύσῳ ποτ' ἐν δώματι" P. 4. 53. ἄλλοις — ἐν τείχεσιν" P.4.268."ἐν δώμασι" P. 4. 113. θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ Λιβύας P. 9. 69. ἐν μεγάρῳ N. 1. 31. Φιλύρας ἐν δόμοις N. 3. 43. ἐν λέκτροις Ἀκάστου N. 5. 30. Ἀμφιτρύωνος ἐν θυρέτροις I. 7. 6. ἐν μεγάροις Δ. 2. 8. ἐν τᾷδε Διὸς ἀρχᾷ O. 2. 58. ἐν Οὐλύμπῳ O. 13. 92. ἐν οὐρανῷ O. 14. 10. ἐν αἰνᾷ Ταρτάρῳ P. 1. 15. χρυσέαις ἐν ἕδραις P. 3. 94. "δώμασιν ἐν χρυσέοις" P. 9. 56. ὀλβίοις ἐν δώμασι N. 1. 71. "οὐρανοῦ ἐν χρυσέοις δόμοισιν" N. 10. 88. ἐν Ὀλύμπῳ fr. 33c. 5. ἐν καὶ θαλάσσᾳ O. 2. 28. ἐν πελάγει O. 7. 56. ἁλμυροῖς δ' ἐν βένθεσιν O. 7. 57. ἐν πόντῳ — ἐν χέρσῳ τε O. 12. 3—4. "ἐν θαλάσσᾳ καὶ ποταμοῖς" P. 9. 47. ἐν χέρσῳ N. 1. 62. ἐν πελάγει N. 3. 23. ἐν δ' Εὐξείνῳ πελάγει N. 4. 49. ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ N. 9. 43. ἐν πόντῳ I. 5. 5. ἐν πεδίῳ I. 8. 54. ἐν πόντῳ I. 9. 7. πελάγει δ' ἐν πολυχρύσοιο πλούτου fr. 124. 6. ἀκύμονος ἐν πόντου πελάγει fr. 140b. 16. ἐν πόντῳ P. Oxy. 2622. 13 ad ?fr. 346. ἐν ναυσὶ κοίλαις O. 6. 10. ἐν Μοισᾶν δίφρῳ O. 9. 81. ἐν ναυσὶν P. 3. 68. ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ N. 5. 2. ἐν ναυσὶν I. 6. 30. κελεύθῳ τ' ἐν καθαρᾷ O. 6. 23. ἀλλ' ἐν κέκρυπτο γὰρ σχοίνῳ βατιᾷ τ' ἐν ἀπειρίτῳ (v. κρύπτω) O. 6. 55. πτολιπόρθοις ἐν μάχαις O. 8. 35. οὐλίῳ — ἐν Ἄρει O. 9. 76. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ O. 10. 51. ἐν ἅπαντι κράτει O. 10. 82. ἐν ἀλκᾷ O. 13. 55. οἵαις ἐν πολέμοισι μάχαις P. 1. 47. Ἰξίονα — ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον P. 2. 22. χρυσὸς ἐν χερσὶν φανεὶς P. 3. 55. ἐν ὄρει P. 3. 90 ἐν πολέμῳ P. 3. 101. ἐν ἀργεννόεντι μαστῷ P. 4. 8. ἐν ἀγορᾷ P. 4. 85. ἐν πρύμνᾳ P. 4. 194. ἐν μέσσοις P. 4. 224. ἐν ἀλλοδαπαῖς — ἀρούραις P. 4. 254. πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός P. 10. 67. χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ N. 1. 25. παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις

N. 9. 34. δρυὸς ἐν στελέχει ἡμένους i. e. *inside* N. 10. 61. καὶ ξενίου Διὸς ἀσκεῖται θέμις αἰενάοις ἐν τραπέζαις N. 11. 8. πατρίδι — ἐν ᾇ καὶ τὸν ἀδείμαντον Ἀλκμήνα τέκεν παῖδα I. 1. 12. πατρωίαις ἐν ἀρούραις Πα. 6. 106. ⟨ἐν⟩ [τεμέ]νει φίλῳ (supp. Zenodot) Πα. 6. 120. χρηστήριον[—] ἐν ᾧ Τήνερον — ἔτεκεν Πα. 9. 41. ἐρατειναῖς ἐν εὐναῖς (add. Boeckh: ἐν om. codd.) fr. 122. 7. φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι (coni. Boeckh: ἐν cod.) Θρ. 7. 3. ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες fr. 210. **b.** *at, before* met., τὸ δ' ἐν ποσί μοι τράχον ἴτω τεὸν χρέος P. 8. 32. μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν (τουτέστι θεωρῆσαι Σ.) N. 8. 43.

3. ***in, contained in, surrounded by*** **a.** of clothing, simm. χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον O. 4. 22. ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων O. 6. 8. "σπαργάνοις ἐν πορφυρέοις" P. 4. 114. Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις P. 10. 13. ἐπεὶ ἐν χαλκέοις ὅπλοις Τηλεβόας ἔναρεν N. 10. 14. τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα I. 6. 37. cf. ὑφ' ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς (*harnessed to*) fr. 234. 2. **b.** *contained in* μονόψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος N. 10. 6. καρπὸς ἐλαίας ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις N. 10. 36. **c.** of light and darkness. ἐν ὄρφνᾳ O. 1. 71. O. 13. 70. ἐν σκότῳ O. 1. 83. ἐν καθαρῷ O. 10. 45. φάει δὲ — ἐν καθαρῷ P. 6. 14. σφόδρα δόξομεν δαίων ὑπέρτεροι ἐν φάει καταβαίνειν N. 4. 38. νεκρὸν ἵππον στυγέοισι λόγῳ κείμενον ἐν φάει, κρυφᾷ δὲ (Heyne: φασι codd.) fr. 203. 2. met., ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν αἵματος πρὸ φίλας πάτρας ἀμύνεται I. 7. 27. **d.** met., εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ' ἐν ἀμαχανίᾳ ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν πιαινόμενον P. 2. 54. ἔστι δ' ἐν εὐτυχίᾳ πανδοξίας ἄκρον N. 1. 10. τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ P. 4. 75.

4. of feelings, thoughts. ἐν θυμῷ πιέσαις χόλον — ὀξείᾳ μελέτᾳ O. 6. 37. ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος O. 10. 63. εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων P. 1. 89. αὐτὰν ἐν φρασὶ καιομέναν P. 4. 219. ὄφρα — ἐν φρασὶ πάξαιθ', ὅπως σφίσι μὴ κοίρανος — μόλοι N. 3. 62.

5. *among* **a.** ζώει μὲν ἐν Ὀλυμπίοις O. 2. 25. Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται O. 2. 78. φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαὶ O. 4. 26. τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν O. 8. 53. τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα — ἐπέθηκ'; O. 13. 20. οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις P. 2. 43. τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον, τὰ δ' ἐν πεζομάχαισι P. 2. 65. ἐν ἀγαθοῖς P. 2. 81. ἐν ἀνθρώποισι P. 3. 21. σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις ἔσσομαι P. 3. 107. "τρίταισιν δ' ἐν γοναῖς" P. 4. 143. κεῖνος γὰρ ἐν παισὶν νέος, ἐν δὲ βουλαῖς πρέσβυς P. 4. 281—2. ἔν τε σοφοῖς — πολίταις P. 4. 295. ἐν τεσσαράκοντα γὰρ πετόντεσσιν ἀνιόχοις ὅλον δίφρον κομίξαις P. 5. 49. θάρσος τε ταvύπτερος ἐν ὄρνιξιν αἰετὸς ἔπλετο P. 5. 112. ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας P. 5. 114. "καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς αἰδέοντ'" P. 9. 40. βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν ἀκοὰ σοφοῖς P. 9. 77. εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι P. 9. 119 θατητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις P. 10. 58. πέφνεν τε ματέρα θῆκέ τ' Αἴγισθον ἐν φοναῖς P. 11. 37. εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου οὐ φαίνεται P. 12. 28. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις N. 1. 34. παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών N. 3. 32. ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον ἐν παλαιτέροισι N. 3. 72—3. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς N. 3. 80. ἐν δὲ μέσαις (sc. Μοίσαις) φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων N. 5. 23. ἔν τε δαμόταις ὄμματι δέρκομαι λαμπρόν N. 7. 65. ἀρετὰ — ἐν σοφοῖς

ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε N. 8. 41. ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι καὶ παῖδες θεῶν N. 9. 27. Τυνδαρίδας δ' ἐν 'Αχαιοῖς ὑψίπεδον Θεράπνας οἰκέων ἕδος I. 1. 31. γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν 'Ασωποδώρου πατρὸς αἶσαν I. 1. 34. ἄμμι δ' ἔοικε — καὶ σέθεν, 'Αμφιτρύων, παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν καὶ τὸ Δάματρος κλυτὸν ἄλσος 'Ελευσῖνα καὶ Εὔβοιαν, ἐν γναμπτοῖς δρόμοις (*when we talk of* Farnell) I. 1. 57. 'Αοσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις I. 4. 24. αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι I. 5. 59. φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν (ἀνδράσιν ἀεθληταῖσιν coni. Heyne) I. 6. 72. εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις I. 8. 31. Ἄρτεμις — ζεύξαισ' ἐν ὀργαῖς Βακχίαις φῦλον λεόντων α[Δ. 2. 20. νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται fr. 105b. 1. νέφεσσι δ' ἐν χρυσέοις 'Ολύμποιο καὶ κορυφαῖσιν ἵζων Πα. 6. 92. **b.** *between* οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ P. 1. 27. καταίνησάν τε κοινὸν γάμον γλυκὺν ἐν ἀλλάλοισι μεῖξαι P. 4. 223. ἐπεὶ τετραόροισιν ὧθ' ἁρμάτων ζυγοῖς ἐν τεμένεσσι δόμον ἔχει τεοῖς N. 7. 94. **c.** after verbs of mixing. νῦν δ' ἐν αἱμακουρίαις ἀγλααῖσι μέμικται (sc. Πέλοψ: *is part of*) O. 1. 90. ἔν τ' 'Ωκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ Λαμνιᾶν τ' ἔθνει γυναικῶν (sc. 'Αργοναῦται: zeugma, *they knew*) P. 4. 251. ἵν' ἀθανάτοις Αἰνησιδάμου παῖδες ἐν τιμαῖς ἔμιχθεν *enjoyed* I. 2. 29.]ἐνέπισε κεκραμέν' ἐν αἵματι (ἐν del. Heringa: κεκραμένον coni. Zuntz) fr. 111. 1, cf. Δ. 2. 20.

6. *in (keeping with)* **a.** ἐν δίκᾳ τε καὶ παρὰ δίκαν O. 2. 16. βουλαῖς ἐν ὀρθαῖσι 'Ραδαμάνθυος O. 2. 75. ἐν δίκᾳ (ἐνδίκας coni. Snell) O. 6. 12. τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι O. 7. 69. πόλιν — 'Υλλίδος στάθμας 'Ιέρων ἐν νόμοις ἔκτισσε P. 1. 62. θέλοντι δὲ — αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ Δωριεῖς P. 1. 64. οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις P. 2. 43. σὲ δ' ἐν τούτῳ λόγῳ χρησμὸς ὤρθωσεν P. 4. 59. "τᾶν ἐν δυνατῷ φιλοτάτων" P. 4. 92. σὲ δ' ἐρχόμενον ἐν δίκᾳ P. 5. 14. τό γ' ἐν ξυνῷ πεποναμένον εὖ μὴ — κρυπτέτω i. e. *in the common good* P. 9. 93. θεόθεν ἐραίμαν καλῶν δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ P. 11. 51. αἰδέομαι μέγα εἰπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον N. 5. 14. ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων N. 6. 15. τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών, τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν 'Αδραστείῳ νόμῳ (cf. P. 2. 43) N. 10. 28. ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ I. 2. 38. ἐν ξυνῷ κεν εἴη συμπόταισίν τε γλυκερὸν — κέντρον fr. 124. 2. cf. ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς *(in a public position)* O. 13. 49. **b.** *in* of musical terms. Λυδῷ γὰρ 'Ασώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον (ἐν ante τρόπῳ del. Schr. metri causa) O. 14. 17—8. ἐν Αἰολίδεσσι χορδαῖς P. 2. 69. πόμ' ἀοίδιμον Αἰολίσσιν ἐν πνοαῖσιν αὐλῶν (ἐμπνοαῖσιν coni. Turyn) N. 3. 79. esp. *to the accompaniment of, amidst* ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς O. 5. 19. κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς O. 6. 7. ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἀδυμελεῖ θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν O. 7. 12. τὸν ('Αρκεσίλαν) ἐν ἀοιδᾷ νέων πρέπει χρυσάορα Φοῖβον ἀπύειν P. 5. 104. κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς μυρίον χρόνον I. 5. 27. ἐν δ' ἐρατεινῷ μέλιτι καὶ τοιαῖδε τιμαὶ καλλίνικον χάρμ' ἀγαπάζοντι I. 5. 54.]ἀοιδαῖς ἐν εὐπλε[κεσσι Πα. 3. 12. ⟨ἐν ἀοιδᾷ⟩ supp. Snell e Σ pap. Πα. 14. 20.

7. instrumental *in, with, by means of* τετραορίας ἐλελίχθονος, εὐάρματος 'Ιέρων ἐν ᾇ κρατέων P. 2. 5. καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον ἐν Ἄρει P. 5. 85. τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι (ἐν om. codd.: supp. Tricl.) P. 11. 46. ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν N. 11. 28.

κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν N. 8. 26. esp. with χείρ. οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ O. 2. 63. ἀγαναῖσιν ἐν χερσὶ ποικιλανίους ἐδάμασσε πώλους P. 2. 8. ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον N. 1. 52. ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσιν ἐπαινεῖσθαι χρεὼν N. 11. 17. χερσίν τ' ἐν μαλακαῖσιν δρπακ' ἀγλαὸν δάφνας ὀχέοισα Παρθ. 2. 7.

8. *upon, into* following verbs of movement. ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις νόστον ἔχθιστον O. 8. 68. ἐν καρδίαις ἀνδρῶν ἔβαλον Ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ' O. 13. 16. ὠπυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν P. 1. 74. ἐν δ' ἀφύκτοισι γυιοπέδαις πεσὼν P. 2. 41. καί τί οἱ φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι ἀμέτεροι τίθεν (om. codd.: supp. Mosch.) P. 3. 64. "ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας — σπέρμα" (cf. I. 1. 4) P. 4. 42. ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ μαινάδ' ὄρνιν P. 4. 215. τιθεὶς ὕβριν ἐν ἄντλῳ P. 8. 12. "νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι" P. 9. 63. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ' ἀγῶνος (πρὸς coni. Boeckh) P. 9. 114. Νίκας ἐν ἀγκώνεσσι πίτνων ποικίλων ἔψαυσας ὕμνων N. 5. 42. [πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντι (coni. Fennel, Lobel: δοκέοντα codd.) N. 7. 31.] ἦ μὰν ἀνόμοιά γε δᾴοισιν ἐν θερμῷ χροὶ ἕλκεα ῥῆξαν N. 8. 28. ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν N. 10. 70. χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας I. 2. 26. ἐν ὕπνῳ γὰρ πέσεν (sc. φάμα παλαιά) I. 4. 23. μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων I. 8. 6. ἐπεὶ δ' ἄλκιμον νέκυν ἐν τάφῳ πολυστόνῳ θέντο Πηλείδαν Πα. 6. 99. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς fr. 109. 1. ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἑνὶ σφίσιν αὐτοῖς fr. 163. φά[τναις] ἐν λιθίναις βαλ[fr. 169. 21, cf. N. 3. 62.

9. *in respect of* [ἐν ἄλλοισι δ' ἄλλοι μεγάλοι (ἐν om. codd., add. V: ἐπ' byz.) O. 1. 113.] ἕπεται δ' ἐν ἑκάστῳ μέτρον O. 13. 47. ἐν ἡρωίαις ἀρεταῖσιν οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ O. 13. 51, cf. I. 1. 57. γόνον τέ οἱ φέρτατον ἀτίταλλεν ἐν ἁρμένοισι πᾶσι θυμὸν αὔξων (om. codd.: supp. Er. Schmid) N. 3. 58. μή μοι κραναὰ νεμεσάσαι Δᾶλος, ἐν ᾇ κέχυμαι I. 1. 4. ἐν ἔργμασιν δὲ νικᾷ τύχα, οὐ σθένος fr. 38. ἀγλαΐζεται δὲ καὶ μουσικᾶς ἐν ἀώτῳ O. 1. 15.

10. = σύν, *with the aid of* ἐν τίν κ' ἐθέλοι, Γίγαντας ὃς ἐδάμασσας, εὐτυχῶς ναίειν (σὺν σοί. Σ.) N. 7. 90.

11. *in the hands of, in the power of* ἔλπομαι μέν, ἐν θεῷ γε μὰν τέλος O. 13. 104. ἐν δ' ἀγαθοῖσι κεῖται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες P. 10. 71. πὰν δὲ τέλος ἐν τὶν ἔργων N. 10. 30.

12. dub. ex. οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς, καὶ λιθίνοις ὁπότ' ἐν δίσκοις ἵεν (ἐν add. metr. causa Hermann, edd. vulgo: ὁπότε codd.: ὁπόταν Trypho ap. Eustath.: ποτ' ἀνὰ Ammonius: v. ἐνίημι) I. 1. 25. [νῦν αὖτ' ἐν Ἰσθμοῦ δεσπότᾳ (codd.: ἐν del. Hermann) I. 6. 5.]

13. frag.]εν ὀρθῷ δρόμῳ fr. 1a. 5.] ἐν χρ[Πα. 13a. 25.]ἐν κλ[Πα. 13c. 4.]ἐν δασκίοισιν πατὴρ fr. 177c.

14. in tmesis. ἐν δ' ἀρετὰν ἔβαλεν (v. ἐμβάλλω) O. 7. 44. ἐν δ' ἕσπερον ἔφλεξεν (v. ἐμφλέγω) O. 10. 74.

B. adv. *dabei* **a.** *there* ἐν δὲ φίλων παρεόντων θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς O. 7. 5. ἐν δὲ Μοῖσ' ἀδύπνοος ἐν δ' Ἄρης ἀνθεῖ O. 13. 22. **b.** *too, besides* Μοῖσά τοι κολλᾷ χρυσόν, ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ N. 7. 78. ἐν δὲ μηνὸς πρῶτον τύχεν ἆμαρ (contra Radt, "Präposition in tmesi mit τύχεν") Πα. 2. 75. σεμνᾷ μὲν κατάρχει Ματέρι πὰρ μεγάλᾳ ῥόμβοι τυπάνων, ἐν δὲ κέχλαδεν — ἐν δὲ — ἐν δ' Δ. 2. 10—5.

C. ἐν prep. c. acc. v. ἐς B.

ἐναγώνιος] **a.** *taking part in games* ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων παῖς ἐναγώνιος (sc. Ἀλκιμίδας) N. 6. 13. **b.** *presiding over games* ἐναγώνιος Ἑρμᾶς P. 2. 10.

ἐναίρω] *slay* κάπρους τ' ἔναιρε (sc. Ἀχιλλεύς) N. 3. 47. ἐπεὶ ἐν χαλκέοις

ὅπλοις Τηλεβόας ἔνᾶρεν (sc. 'Αμφιτρύων) N. 10. 15. γέρονθ' ὅτι Πρίαμον πρὸς ἑρκεῖον ἤνᾶρε βωμὸν ἐπενθορόντα (sc. Νεοπτόλεμος) Πα. 6. 114.

ἐναίσιμος?] *propitious* Δαμαίνας πα[ῖ, ἐ]να[ισίμ]ῳ νῦν μοι ποδὶ στείχων ἀγέο Παρθ. 2. 66.

ἐνᾶλίγκιος] *like* c. dat., c. acc. respect, "υἱὸν — χεῖρας Ἄρεϊ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν" I. 8. 37.

ἐνάλιος] v. ἐννάλιος.

ἐναλλάξ] *alternately* μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας (sc. Διόσκουροι) N. 10. 55.

ἔναλος] *of the sea* πολλοῖς μὲν ἐνάλου, ὀρείου δὲ πολλοῖς ἄγρας ἀκροθινίοις (expectes ἐνναλίου) ?fr. 357.

ἐνᾶμείβω] *change, vary* intrans. δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον, ἀλλ' ἐναμείβοντι (ἐν ἀμείβοντι coni. Musurus) N. 11. 42.

ἔναντα] *against, in opposition* τοὶ δ' ἔναντα στάθεν N. 10. 66.

ἐναντίος] a. *opposite, otherwise* τὸ δ' ἐναντίον ἔοικεν N. 5. 31. b. *opposite, standing opposite* †λοιγὸν ἀμύνων† ἐναντίῳ στρατῷ (λοιγὸν ἀμφιβαλὼν coni. A. W. Mair) I. 7. 28. c. ἐναντίον, prep. c. gen., *face to face with* οὐ φίλων ἐναντίον ἐλθεῖν fr. 229.

ἐναργής] *that all may see* ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα O. 7. 42. n. pl. pro subs., ἐναργέα τ' ἔμ' ὥστε μάντιν οὐ λανθάνει fr. 75. 13. cf. P. Oxy., 2624, fr. 1. 10.

ἐνᾶρίζω] *slay* φαεννᾶς υἱὸν εὖτ' ἐνάριξεν 'Αόος ἀκμᾷ ἔγχεος ζακότοιο (Tricl.: ἐνάριζεν codd.) N. 6. 52.

ἐνᾶρίμβροτος, -ον] *man-slaying* ἐναρίμβροτον ἀναμείναις στράταρχον Αἰθιόπων Μέμνονα P. 6. 30. μάχας ἐναριμβρότου I. 8. 53.

ἐναρμόζω] *fit to, blend with* Μοῖσα δ' οὕτω ποι παρέστα μοι νεοσίγαλον εὑρόντι τρόπον Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ ἀγλαόκωμον O. 3. 5. ἐθέλω ἢ Καστορείῳ ἢ 'Ιολάοι' ἐναρμόξαι μιν (= 'Ηρόδοτον) ὕμνῳ I. 1. 16.

ἔνᾰτος] *ninth*]ἐνάτα[(cf. Σ pap.: ἐννα]τηρίδος, ἐνναετ[ηρίς: v. Snell, Hermes 1938, 439) Πα. 10. 3. ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰς πάλιν (v. Markovitch, Rh. M. 1964, 365) fr. 133. 2.

'Ενδαΐς] daughter of Cheiron, wife of Aiakos, mother of Telamon and Peleus. 'Ενδαΐδος ἀριγνῶτες υἱοὶ N. 5. 12.

ἐνδαίω] met., *kindle (in someone)* τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα ναὸς 'Αργοῦς (ἐνέδαιεν Turyn: ἔδαιεν v. l.) P. 4. 184.

ἐνδείκνυμι] *mark out* ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος 'Αελίου O. 7. 58.

ἔνδῐκος, -ον] *just, righteous* [ἐνδίκας ἀπὸ γλώσσας (coni. Snell: ἐν δίκᾳ codd.) O. 6. 12] σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν ἔνδικόν τ' 'Αρκεσίλᾳ P. 5. 103.

ἔνδοθεν] *(from) within* οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν P. 2. 74.

ἐνδομᾰ́χας] *fighting within its home* τεάκεν ἐνδομάχας ἅτ' ἀλέκτωρ συγγόνῳ παρ' ἑστίᾳ ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν O. 12. 14.

ἔνδον] 1. adv., *within* φιάλαν — ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ O. 7. 2. εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον *within his home* I. 1. 67. ἀδεία δ' ἔνδον μιν ἔκνιξεν χάρις *within his heart* I. 6. 50. 2. prep. a. c. gen. πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας O. 2. 84. πολιᾶς εἰπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν — γαῖαν O. 7. 62. τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας, τὸ δ' οἰκέοντας ἔνδον 'Ολύμπου P. 11. 64. b. c. dat. τράφε λιθίνῳ 'Ιάσον' ἔνδον τέγει N. 3. 54. ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι N. 7. 44.

[ἔνδοξος, v. l. for εὔδοξος q. v. N. 7. 8, fr. 172. 6.**]**

ἐνδῦκέως] *faithfully* τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως δέκονται P. 5. 85.

ἔνειμι] *be, lie in* c. dat. ὀνομακλύτα γ' ἔνεσσι Δωριεῖ μεδέοισα πόντῳ νᾶσος (sc. Αἴγινα) Πα. 6. 123.

ἕνεκα] prep. c. gen., *because of* Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου γεγωνητέον O. 2. 5. τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοι οἱ πάλιν i. e. *therefore* O. 1. 65.

ἕνεκεν] (v. οὕνεκεν, εἵνεκεν: ἕκατι) prep. c. gen., *because of, thanks to* τεᾶς — πυγμαχίας ἕνεκεν κόσμον — ἀδυμελῆ κελαδήσω O. 11. 12. τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοίσας, ἀεθλοφόρου λήματος ἕνεκεν — δέδορκεν φάος N. 3. 83. Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων ἕνεκεν N. 6. 34. φλέγεται δ' ἀρεταῖς μυρίαις ἔργων θρασέων ἕνεκεν N. 10. 3. τῶνδ' ἀνδρῶν ἕνε[κε]ν μερίμνας σώφρονος Παρθ. 2. 62. ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον ἔχει μελιτόεσσαν εὐδίαν ἀέθλων γ' ἕνεκεν (γ' om. codd. nonnulli: *as far as games can give it*) O. 1. 99.

ἐνελαύνω] *drive into, implant* c. acc. & dat. ὁπόταν τις ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ P. 8. 9.

ἐνέπω] v. ἐννέπω.

ἔνερθε] *below* τὸν — κρύψαν ἔνερθ' ὑπὸ γᾶν διφρηλάτα 'Αμφιτρύωνος σάματι P. 9. 81.

ἐνέχω] pass., *be held fast* met., *be possessed of* "νῦν ἀρείονος ἐνέχεται ὄρνιχος ἀγγελίᾳ Ἄδραστος ἥρως" P. 8. 49.

ἔνθα] **a.** rel. conj., *where* παρὰ Κρόνου τύρσιν. ἔνθα μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν O. 2. 70. ('Ιστρίαν) ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ δέξατ' O. 3. 26. ('Αλφεὸν) ἔνθα τραφεῖσ' — γλυκείας πρῶτον ἔψαυσ' 'Αφροδίτας O. 6. 35. πέτραν ἀλίβατον Κρονίου. ἔνθα οἱ ὤπασε θησαυρὸν O. 6. 65. νομόν, ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς O. 7. 33. (νᾶσος) ἔνθα 'Ρόδῳ ποτὲ μιχθεὶς τέκεν O. 7. 71. (Αἴγιναν) ἔνθα Σώτειρα — ἀσκεῖται Θέμις O. 8. 21. (Λοκρῶν) ἔνθα συγκωμάξατ' O. 11. 16. (Πυθῶνι) ἔνθα ποτὲ — χρῆσεν P. 4. 4. (ἐπ' 'Αξείνου στόμα) ἔνθ' — ἔσσαντ' — τέμενος P. 4. 204. ἐς Φᾶσιν — ἔνθα — βίαν μεῖξαν P. 4. 212. Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων. ἔνθα καὶ — ἐπεδείξαντο P. 4. 253. ὁδόν, ἔνθα πρυμνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανὼν P. 5. 93. ὀμφαλὸν — Πυθιόνικος ἔνθ' — ὕμνων θησαυρὸς — τετείχισται P. 6. 5. "Διὸς ἔξοχον ποτὶ κᾶπον —. ἔνθα νιν ἀρχέπολιν θήσεις" P. 9. 54 (ἐν Πυθῶνι) ἔνθα νικάσαις ἀνέφανε Κυράναν P. 9. 73. 'Αμφιτρύωνος σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος κεῖτο P. 9. 82. ἐπ' αὐλείαις θύραις — ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται N. 1. 21. Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει N. 4. 46. (Νεμέᾳ) ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων N. 4. 76. ('Ισθμὸν) ἔνθα μιν εὔφρονες ἶλαι — δέκονται N. 5. 38. Αἴτναν, ἔνθ' ἀναπεπταμέναι ξείνων νενίκανται θύραι N. 9. 2. ἀμφ' ἀκταῖς 'Ελώρου, ἔνθ' 'Αρείας πόρον ἄνθρωποι καλέοισι (ἔνθα 'Ρείας ΣΥΡ·) N. 9. 41. (ἀέθλων) Οὐλία παῖς ἔνθα νικάσαις N. 10. 24. ἀέθλων. ἔνθα λευκωθεὶς κάρα μύρτοις I. 4. 69. προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος I. 7. 35. (Οἰνοπίαν) δῖον ἔνθα τέκες Αἰακὸν I. 8. 21. (Δᾶλος) ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν fr. 33d. 9. ἰήιε, Δάλι' Ἄπολλον. Λατόος ἔνθα με παῖδες εὐμενεῖ δέξασθε νόῳ Πα. 5. 44. κρημνόν, ἔνθα — λέγο[ντι] Ζῆνα καθεζόμενον κορυφαῖσιν ὕπερθε φυλάξαι Πα. 12. 8. (Θῆβαι)] ἔνθα ποθ' 'Αρμονίαν φάμα — Κάδμον — [λαχεῖν] Δ. 2. 27.]εοι μοῖρ' ἔνθα[Θρ. 7. 11. (Λακεδαίμων) ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί fr. 199. 1. ἔνθα ποῖμναι κτιλεύονται fr. 238. 'Ορχομενῶ —. ἔνθα ποτε[?fr. 333a. 9. **b.** *whither* (δῶμα Διὸς) ἔνθα δευτέρῳ χρόνῳ ἦλθε καὶ Γανυμήδης O. 1. 43. μαντίων θῶκον, ὦ παῖδες 'Αρμονίας, ἔνθα καὶ νυν ἐπίνομον ἡρωίδων στρατὸν ὁμαγερέα καλεῖ συνίμεν P. 11. 7, cf. O. 11. 16. **c.** *then* ἔνθ' 'Αλεξίδαμος — παρθένον κεδνὰν — ἄγεν

P. 9. 121. d. introducing indirect quest., *where* δέρμα λαμπρὸν ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι P. 4. 242.

ἐνθάδε] *here* (sc. on earth.) θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες ποινὰς ἔτεισαν O. 2. 57. τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω (v. l. ἐνθένδε) Θρ. 7. 2.

ἔνθεν] *from there* νᾶσον. ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον P. 4. 259. (Θηράνδε) πολύθυτον ἔρανον ἔνθεν ἀναδεξάμενοι P. 5. 78. τύμβῳ σχεδὸν πατρωίῳ. ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀίδα, ξεστὸν πέτρον N. 10. 67. ἔνθεν μὲν αρ[Πα. 13a. 22. ἔνθεν μὲν τριπόδεσσί τε καὶ θυσίαις[fr. 59. 11. (Ῥόδον) ἔνθεν δ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται (ἐν δ', ἔνθ' vv. ll.) fr. 119. 2. ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοὶ fr. 130. 1.

ἐνθρῴσκω] *leap into* c. dat., met. πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν P. 3. 37.

ἐνιαυτός] *year* "εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτούς" P. 4. 104. τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι P. 10. 63. ἔρχεται δ' ἐνιαυτῷ ὑπερτάταν[Πα. 15. 9. pro pers., ὁ παντελὴς Ἐνιαυτὸς Ὧραί τε Θεμίγονοι Πα. 1. 5.

ἐνίημι] a. *provoke* ἐνῆκεν καὶ ἔπειτ[—]λος τῶνδ' ἀνδρῶν ἕνεκεν μερίμνας σώφρονος ἐχθρὰν ἔριν οὐ παλίγγλωσσον Παρθ. 2. 61. b. dub., *hurl* λιθίνοις ὁπότ' ἐν δίσκοις ἴεν (Hermann: ὁπότε codd.: ὁπόταν Trypho ap. Eustath.: ποτ' ἀνὰ Ammonius) I. 1. 25.

ἐνιπά] *reproach* ὀρθᾷ χερὶ ἐρύκετον ψευδέων ἐνιπὰν ἀλιτόξενον O. 10. 6.

ἐνίπτω] *announce, utter* ἀδείας ἐνίπτων ἐλπίδας P. 4. 201.

ἐν(ν)άλιος] (Schr.: ἐνάλιος passim codd.: εἰνάλιος byz.) *of, by, in the sea* ἐνναλία τ' Ἐλευσὶς O. 9. 99. ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βαθὺ σκευᾶς ἑτέρας P. 2. 79. "φέρομεν νώτων ὕπερ γαίας ἐρήμων ἐννάλιον δόρυ" P. 4. 27. Ποσειδάωνος — ἐνναλίου i. e. as god of the sea P. 4. 204. ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν, ὡς ὅτ' ἄκατον ἐνναλίαν P. 11. 40. ἐνναλίᾳ Σερίφῳ P. 12. 12. "πεύθομαι δ' αὐτὸν — ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ" (Thiersch: -ία codd.: -ίᾳ Σ.) P. 4. 39.

ἐννέα] *nine* ἐννέ[α Μοί]σαις (supp. Lobel) Πα. 12. 2.

ἐν(ν)έπω] *say, tell* a. abs. ὣς ἔννεπεν O. 1. 86. ὣς ἤνεπε N. 10. 79. ὣς φάτο Κρονίδαις ἐννέποισα θεά (Tricl.: ἐνεπ. codd.) I. 8. 45. b. followed by direct speech ἔννεπε δ' — εὐθὺς Ἀπόλλων O. 8. 41. c. c. acc., *tell of* ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν κόσμον Ὀλυμπίᾳ O. 8. 82. μαθὼν δέ τις ἀνερεῖ, εἰ πὰρ μέλος ἔρχομαι ψάγιον δαρον ἐννέπων (i. e. cogn. acc. *utter*) N. 7. 69. d. c. (acc. &) inf. κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν παντὶ θυμῷ σύν τε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν P. 9. 96. βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν (byz.: ἔννεπεν codd.) N. 1. 69. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς ὁ θνατὸς αἰών, φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον N. 3. 75. e. c. indir. quest. δέρμα λαμπρὸν ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι P. 4. 242. f. c. ὅτι & ind. ἔννεπε κρύφα τις — ὅτι — τάμον O. 1. 47. g. *call* c. dupl. acc. ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς N. 6. 59. ἦν ὅτε σύας Βοιώτιον ἔθνος ἔνεπον fr. 83. h. ο]ὐκ ἐννέπει[fr. 60b. 15.

ἔννομος] a. *traditional* ἀγῶνές τ' ἔννομοι Βοιωτίων O. 7. 84.]ἐννόμων θ[(sed aliter legisse videtur Zenodotus) Πα. 6. 183. b. *lawful* "ἵνα οἱ χθονὸς αἶσαν αὐτίκα συντελέθειν ἔννομον δωρήσεται" pr. P. 9. 57.

Ἐννοσίδας] *Earth-shaker* epith. of Poseidon "Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα" P. 4. 33. ἀνέρες, Ἐννοσίδα γένος Euphamos and Periklymenos P. 4. 173. "τρέω τοι πόλεμον Διὸς Ἐννοσίδαν τε βαρύκτυπον" Πα. 4. 41.]Ἐννοσίδα[fr. 60a. 6.

ἐννύχιος] *in the night* κοῦραι — μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι P. 3. 79.

]ήλασαν ἐννύχιον κρυφα[Πα. 18. 10.]εννυχιαιλα[P. Oxy. 2447, fr. 19. 1.]ˊννυχι[P. Oxy. 2446. fr. 31. 8.

ἐννῦχος, -ον] *nightly* ἢ ἑτέρῳ λέχει δαμαζομέναν ἔννυχοι πάραγον κοῖται; P. 11. 25.

ἐνοπά] *cry* met. *sound* "καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ⟨◡◡?⟩ ἦδ' ὀστέων στεναγμὸν βαρύν" of Herakles devouring the oxen of Koronos fr. 168. 5.

ἐνόπ'λιος] n. pl. pro adv., *in armour* ἀναβαὶς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν sc. Bellerophon mounted on Pegasos: "er übte das Waffenspiel" Mezger O. 13. 86.

ἐνόρκιος] *sealed by oath* αὐδάσομαι ἐνόρκιον λόγον O. 2. 92.

[**ἐνορούω,** *leap in* ἐνόρουσε (coni. Christ: ἐπ-, ἐσόρουσε, ὄρουσε codd.) O. 8. 40]

ἐνσκίμπτω] *hurl upon* αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον (ἐνέσκηψεν v. l.) P. 3. 58.

[**ἐνσχερώ,** coni. Dindorf: ἐν σχερῷ codd.]

ἐντᾰνύω] *stretch out* met., *drive* ὀρθὰς δ' αὔλακας ἐντανύσαις ἤλαυν' (sc. βόας) P. 4. 227.

ἐντέλλω] *enjoin, bid* Ὑπεριονδίας μέλλον ἔντειλεν φυλάξασθαι χρέος παισὶν φίλοις O. 7. 40.

ἐντῐθημι] *instil* ἐνέθηκε δὲ Παλλὰς ἀμ[Πα. 8. 82.

ἐντολά] *instruction* ταὶ δὲ Χίρωνος ἐντολαί fr. 177c.

ἔντος] (ἐντέων, ἔντεσι(ν), ἔντεσσιν, ἔντεα) pl., *equipment* **a.** *armour* χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον O. 4. 22. "μολόντα — βαιοῖς σὺν ἔντεσιν ποτὶ πολὺν στρατόν" Πα. 2. 74. **b. α.** *harness* ἱππείοις ἐν ἔντεσσιν μέτρα O. 13. 20. βοέους (v. l. βοέοις) δήσαις ἀνάγκᾳ (-ας v. l., -αις Σ) ἔντεσιν αὐχένας P. 4. 235. **β.** *equipage* of a chariot κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν P. 5. 34. σπεῦδεν ὅμιλος ἱκέσθαι χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν (τοῖς πεζοῖς καὶ τοῖς ἱππεῦσιν. Σ.) N. 9. 22. **c.** ships' gear, *sails* (but cf. O. 7. 12) ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός N. 4. 70. **d.** *musical instrument* παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος, ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον P. 12. 21. **c.** gen., defining, ἀδυμελεῖ — φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν O. 7. 12.

ἐντρᾰπελος] *shameful* cf. van Groningen on Theogn. 400. μὴ δολωθῇς, ὦ φίλε, κέρδεσιν ἐντραπέλοις (v. l. εὐτραπέλοις: εὐτράπλοις Bücheler: locus metri causa varie temptatus v. Körte, GGA, 1901, 969.) P. 1. 92. οὔτε ἔργον οὔτ' ἔπος ἐντράπελον κείνοισιν εἰπὼν (codd.: ἐκτράπελον Heyne e Σ.) P. 4. 105.

[**ἐντυγχάνω:** ἐν δὲ μηνὸς πρῶτον τύχεν ἆμαρ Πα. 2. 75, v. ἐν B, τυγχάνω.]

ἐντῡνω, ἐντῡω] (impf. ἔντυ', ἔντυεν, ἔντυνεν) **a.** *equip, make ready* ἔντυνεν βασιλεὺς ἀνέμων Ζήταν Κάλαΐν τε P. 4. 181. **b.** *urge on: impel* μιν — ἔντυ' ἀνάγκα πατρόθεν O. 3. 28. c. inf., ὡς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν P. 9. 66. οὕνεκεν ἐν πολέμῳ κεῖνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου N. 9. 36.

Ἐνῡάλιος] Wargod, Ares. **a.** Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν O. 13. 106. ἐν δ' ὁ παγκρατὴς κεραυνὸς ἀμπνέων πῦρ κεκίνη[ται τό τ'] Ἐνυαλίου ἔγχος Δ. 2. 16. χαλκοθώρ]ακος Ἐνυαλίου [◡◡ —]ἔκπαγλον υἱον[fr. 169. 12. Ἐν]υαλίου[P. Oxy. 1792. fr. 34. **b.** *war* οὕνεκεν ἐν πολέμῳ κεῖνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου N. 9. 37. "Αἴαντα, λαῶν ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου" I. 6. 54.

ἐνύπνιον] *dream* ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι κελήσατό μιν O. 13. 79.

ἕξ] *six* λαγέτας ἓξ — υἱούς O. 1. 89. βωμοὺς ἓξ διδύμους ἐγέραρεν O. 5. 5. τὰ δ' ὑπ' ὀφρύϊ Παρνασσίᾳ ἓξ O. 13. 107. ἐπεὶ στεφάνους ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων (ἐξώπασεν Aristarchus) I. 1. 11. χρύσεαι δ' ἓξ ὑπὲρ αἰετοῦ ἄειδον Κηληδόνες Πα. 8. 70.

ἐξάγω] *bring out of, rescue* ἄλλον ἀλλοίων ἀχέων ἔξαγεν P. 3. 51.

ἐξαείρω] med. *win for oneself* Πέλοψ ἐξάρατο κάλλιστον ἕδνον O. 9. 10.

ἐξαίρετος, -ον] a. *chosen, choice* ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον O. 9. 26. ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι — Διός O. 10. 24. ἐξαίρετον γόνον ἰδὼν κάλλιστον ἀνδρῶν P. 4. 122. ἔτι καὶ Πυθῶθεν 'Ολυμπιάδων τ' ἐξαιρέτοις 'Αλφεοῦ ἔρνεσι φράξαι χεῖρα I. 1. 65. Τήνερον εὐρυβίαν θεμίτ[ων ◡ —] ἐξαίρετον προφάταν Πα. 9. 42. ἐμὲ δ' ἐξαίρετο[ν] κάρυκα σοφῶν ἐπέων Μοῖσ' ἀνέστασ' 'Ελλάδι Δ. 2. 23. b. *exceptional* ἀνὴρ ἐξαίρετον ἕλε μόχθον P. 2. 30. ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον ὀλβίοις ἐν δώμασι N. 1. 70.

ἐξαιρέω] *take out* ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ O. 1. 26. ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει, ὅ τι κε σὺν Χαρίτων τύχᾳ γλῶσσα φρενὸς ἐξέλοι βαθείας N. 4. 8.

ἐξαίφνας] *suddenly* ἀλλὰ Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας ἄντλον ἑλεῖν O. 9. 52.

ἑξάκις] *six times* Αἰγίνᾳ τε νικῶνθ' ἑξάκις O. 7. 86.

ἐξαλλάσσω] *change utterly* αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξ/άλλαξεν I. 3. 18.

ἐξᾰνίημι] *bear* (of women in labour) τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;" P. 4. 99.

ἐξᾰνίσταμι] med., intrans., *migrate from* c. gen. "τότε γὰρ μεγάλας ἐξανίστανται Λακεδαίμονος 'Αργείου τε κόλπου καὶ Μυκηνᾶν" P. 4. 49.

ἐξᾰπᾰτάω] *deceive* βροτῶν φάτις — δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι (φάτιν ΣΥΡ·) O. 1. 29.

ἐξᾰπίνας] *of a sudden* ἐξαπίνας εἰ μὴ θεὸς ἀγεμόνεσσι κυβερνατὴρ γένηται P. 4. 273.

ἑξάρῐθμος] *six in number* ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν Διός, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος †βωμῷ† ἑξάριθμον ἐκτίσσατο (sc. 'Ηρακλέης: "de sex unius viri laboribus velut Herculis, quam de sex certaminum generibus vv. 64 seqq. equidem intellegere mallem." Schroeder: πόνων coni. Christ: others refer to the six double altars of Olympia, v. 49) O. 10. 25.

ἐξαρκέω] *satisfy, be generous* ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς O. 5. 24. εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις ἐξαρκέων N.1.32.

ἐξάρχω] *begin* (a song) ἀδυμελεῖ δ' ἐξάρχετε φωνᾷ N. 2. 25.

ἐξαυδάω] *utter* καὶ τόδ' ἐξαύδασ' ἔπος (sc. Ζεύς) N. 10. 80.

ἐξεῖπον] *declare fully* πάντα δ' ἐξειπεῖν — ἀφαιρεῖται βραχὺ μέτρον ἔχων ὕμνος I. 1. 60.

ἐξελέγχω] *test* a. *ascertain* ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν N. 10. 46. b. *prove, be the proof of* ὅ τ' ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον Χρόνος O. 10. 53.

ἐξέλκω] *drag out* met., *deliver* c. acc. & gen. 'Ελλάδ' ἐξέλκων βαρείας δουλίας P. 1. 75.

ἐξενέπω] *proclaim, tell* ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν O. 8. 20. τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ' ἐπειγόμεναι N. 4. 33.

ἐξερεθίζω] *rouse to anger* τὰν ('Ησυχίαν) οὐδὲ Πορφυρίων μάθεν, παρ' αἶσαν ἐξερεθίζων P. 8. 13.

ἐξερείπω] *strike off* εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει ἐξερείψειεν μεγάλας δρυός (Thiersch: ἐξερείψαι κε codd.: ἐξερείψῃ κεν Bergk: ἐξερείψῃ μὲν Hermann) P. 4. 264.

ἐξερωτάω] *ask* "κούρας δ' ὁπόθεν γενεὰν ἐξερωτᾷς, ὦ ἄνα;" P. 9. 44.

ἑξέτης] *six years old* σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν, ἑξέτης τὸ πρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον (sc. 'Αχιλλεύς) N. 3. 49.

ἐξευρίσκω] a. *explore* Οὔλυμπόνδ' ἔβα ('Ηρακλέης), γαίας τε πάσας καὶ βαθύκρημνον πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ I. 4. 56. b. *look for* κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον

ἐξευρεῖν fr. 234. 4. c. *seek, devise* ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον P. 1. 60. νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον ἅπας κίνδυνος N. 8. 20. **d.** *find, win* Ἰσθμιάδος τε νίκας ἄποινα καὶ Νεμέᾳ ἀέθλων ὅτι κράτος ἐξεῦρε I. 8. 5.

ἐξεύχομαι] *boast* c. acc. & inf. τοῖσι μὲν ἐξεύχετ' ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν O. 13. 61.

ἐξηκοντάκι] *sixty times* ἀλαθής τέ μοι ἔξορκος ἐπέσσεται ἐξηκοντάκι δὴ ἀμφοτέρωθεν ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ O. 13. 99.

ἐξίημι] *loose* ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ ἱστίον ἀνεμόεν i. e. the sails of generosity P. 1. 91.

ἐξικνέομαι] (ἐξῑκόμαν, ἐξίκετ', ἐξίκετο, ἐξῑκέσθαν; ἐξίκηται; ἐξῑκέσθαι.) **a.** *come* abs. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ ἐξικέσθαν sc. Lynkeus and Idas N. 10. 64. **b.** *come out, appear* ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος ἐξικόμαν κε P. 3. 76. ἀμνάμονες δὲ βροτοί, ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν I. 7. 19. **c.** *end a journey with, in* c. acc. τὰ μακρὰ δ' εἴ τις παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν I. 7. 44. ὁ δ' ἄρα γέροντα ξένον Στροφίον ἐξίκετο, νέα κεφαλά, Παρνασσοῦ πόδα ναίοντ' P. 11. 35. Μολοσσίδα γαῖαν ἐξίκετ' Πα. 6. 110. met. εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον (sc. δρῦς) P. 4. 266.

ἐξίσταμι] Et. Gud., 486. 2 de Steph.: ἐξεστακὼς παρὰ Πινδάρῳ (Boeckh: -ηκώς codd.) fr. 299.

ἐξοπίσω] *afterwards* μή μοι μέγας ἕρπων κάμοι ἐξοπίσω χρόνος ἔμπεδος i. e. *hereafter* Πα. 2. 27. ἐκέλευσεν — νεῦσαι — μιν — ἐᾷ κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι i. e. *thereafter* O. 7. 68.

ἔξορκος] *under oath* met. ἀλαθής τέ μοι ἔξορκος ἐπέσσεται — ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ (i. e. *sealed by oath*: contra Wil., 370[3]) O. 13. 99.

ἔξοχος] (ἔξοχον, -οι; -α acc.: -ώτερος: -ώτατοι; -ώταται; -ώτατα acc.) **a.** *standing out, jutting* βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον N. 4. 52. **b.** *outstanding, supreme* περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις ἔξοχον O. 6. 51. "Διὸς ἔξοχον ποτὶ κᾶπον" P. 9. 53. Διὸς ὑψίστου προφάταν ἔξοχον ὀρθόμαντιν Τειρεσίαν N. 1. 60. ὅσσα δ' ἀμφ' ἀέθλοις, Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται pr. N. 2. 18. ἐν δὲ πείρᾳ τέλος διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται i. e. *of those things in which a man is superior* N. 3. 71. τὰ δ' αὐτὸς ἀντιτύχῃ, ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι ("das wünscht jeder als das Vornehmste zu nennen" Schadewaldt, 268[1]) N. 4. 92. ἐπεί σφιν Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν N. 6. 47. Σκύριαι δ' ἐς ἄμελξιν γλάγεος αἶγες ἐξοχώταται pr. fr. 106. 4. **c.** n. pl. pro prep. c. gen. ὁ δὲ χρυσὸς — διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου O. 1. 2. Αἴγιναν — ἔνθα — ἀσκεῖται θέμις ἔξοχ' ἀνθρώπων *more than among all other men* Sandys O. 8. 23. φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων P. 5. 26. **d.** adv., ἐξόχως, *especially* υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων O. 9. 69.

ἐξυφαίνω] **a.** *weave to an end* met. τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες P. 4. 275. **b.** *weave out, create* met. ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος N. 4. 44.

ἔξω] **a.** *to the outside, outwards* τὰ καλὰ τρέψαντες ἔξω P. 3. 83. **b.** prep. c. gen., *outwith* καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν ἔξω φρενῶν O. 7. 47. ἔλπομαι μὴ χαλκοπάρᾳον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν ἔξω P. 1. 44. ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν; P. 11. 39. γλῶσσα δ' οὐκ ἔξω φρενῶν *his words are at one with his thoughts* I. 6. 72. ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι στηθέων ἔξω (Mitscherlich: ἔξωθεν codd.) fr. 124. 6.

ἔοικα] (ἔοικε(ν); εἰκώς, -ότ(α), εἰκός nom., ἐοικότ(α) nom., acc.)

1. *seem* (videor) τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤδη πάροιθε λελέχθαι i. e. *I believe I have* O. 13. 102.

2. impersonal, *it befits, is fitting* a. c. inf. only. ταύταν σκότει κρύπτειν ἔοικεν fr. 42. 6. b. c. acc. & inf. ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν N. 4. 32. c. c. dat. & inf. ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν — κελαδῆσαι I. 1. 52.

3. part., ἐοικώς, *fitting* a. ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά O. 1. 35. παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον O. 4. 27. τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ P. 2. 29. χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν P. 3. 59. ἔστι δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι N. 2. 10. εἰ δ' ἐὼν καλὸς ἔρδων τ' ἐοικότα μορφᾷ ἀνορέαις ὑπερτάταις ἐπέβα παῖς Ἀριστοφάνεος N. 3. 19. τὶν δ' ἐοικότα καιρὸν ὄλβου δίδωσι N. 7. 58. μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων I. 5. 24. b. *likely, probable* ἐοικότα γὰρ καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν P. 1. 34. c. *like, similar to* c. dat. τόλμᾳ γὰρ εἰκὼς θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων ἐν πόνῳ (sc. Μέλισσος) I. 4. 45.

ἐόλει] (pf. of εἴλω Schwyz.; cf. K. B. 2. 413: of εἱλέω Frisk.) *troubles, causes to waver* (cf. Σ Ap. Rhod. 3. 471.) πῦρ δέ νιν οὐκ ἐόλει (Boeckh: αἰόλλει codd., Σ.) P. 4. 233.

ἑορτά] (-ά, -άν; -αί, -αῖς.) *festival* καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος ἀντιθέοισιν νίσεται O. 3. 34. βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις in Olympia O. 5. 5. εὖτ' ἂν δὲ — Ἡρακλέης — πατρὶ ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε at Olympia O. 6. 69. φοινικόπεζαν ἀμφέπει Δάματρα λευκίππου τε θυγατρὸς ἑορτὰν (sc. Ἱέρων) O. 6. 95. πενταετηρίδ' ὅπως ἄρα ἔστασεν ἑορτὰν at Olympia O. 10. 58. ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες the chief games in Aigina were the Delphinia consecrated to Apollo Delphinios and Artemis Delphinia, Farnell P. 8. 66. Ἄδραστος — νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν the Pythia at Sikyon N. 9. 11. πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις at Olympia N. 11. 27.]ες ἑορτ[ά (supp. Snell.) fr. 59. 4. φιλοφροσύναι [ἑ]ορταὶ ἔμπεδο[ν (supp. Lobel) Θρ. 4. 15. πενταετηρὶς ἑορτὰ βουπομπός the Pythian festival, on the first day of which was a sacrifice fr. 193.

ἐρευνάω] *find* εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν O. 13. 113. ἰδίᾳ τ' ἐρεύνασε τεναγέων ῥοάς (sc. Ἡρακλέης) N. 3. 24. ὅστις ἄνευθ' Ἑλικωνιάδων βαθεῖαν — ἐρευνᾷ σοφίας ὁδόν Πα. 7B. 20. οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί (sc. ἀνήρ: Boeckh: ἐρευνᾶσαι Stob. codd., Clem. Alex.) fr. 61. 4. ἐρευνασάτω μεγαλάνορος Ἡσυχίας τὸ φαιδρὸν φάος (ἐρευνάσατο v. l.) fr. 109. 2.

ἐρέφω] (ἐρέφοντ(α): impf. ἤρεφε, ἔρεφον: aor. ἔρεψαν.) **a.** lit. *cover, roof with* c. acc. & dat. κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα (sc. Ἀνταῖον) σχέθοι (sc. Ἡρακλέης) I. 4. 54. **b.**

cover ὅτε — λάχναι νιν μέλαν γένειον ἔρεφον O. 1. 68. and so *crown*, δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν 'Ισθμιάδεσσιν φανέντα O. 13. 32. βοτάνα τέ νιν ποθ' ἁ λέοντος νικάσαντ' ἤρεφε (Hermann: ἔρεψε codd.) N. 6. 43.

'Ερεχθεῖδαι] *children of Erechtheus, Athenians* κλειναῖς ⟨τ'⟩ 'Ερεχθειδᾶν χαρίτεσσιν ἀραρὼς ταῖς λιπαραῖς ἐν 'Αθάναις I. 2. 19.

'Ερεχθεύς] king of Athens. πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ 'Ερεχθέος ἀστῶν, "Απολλον, οἳ τεὸν δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν i. e. the Alkmaionidai P. 7. 10.

ἐρέω] (ἐρέω, -εῖ: fut. pass. εἰρήσεται; aor. pass. ῥηθέν. Ϝερ- P. 4. 142, fr. 42. 2. the act. is used as fut. of λέγω.) **a.** abs. *I shall speak* "εἰδότι τοι ἐρέω" P. 4. 142. "εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι, ἐρέω" P. 9. 51. **b.** c. acc. καὶ Νεμέᾳ γὰρ ὁμῶς ἐρέω ταύταν χάριν O. 8. 57. [ἐρέω codd., contra met.: ἄρα Wil.: ἀπὸ Stone) P. 1. 77.] μάντευμα — πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος P. 4. 74. λεγόμενον ἐρέω P. 5. 108. τοῦτό γέ τοι ἐρέω fr. 42. 2. [ῥηθὲν (codd.: del. Bothe) fr. 121. 3.] **c.** followed by indirect. quest. [μαθὼν δέ τις ἂν ἐρεῖ, εἰ πὰρ μέλος ἔρχομαι (codd., Snell: ἀνερεῖ Gildersleeve) N. 7. 68.] **d.** pass., impers. τὸν 'Αργείων τρόπον εἰρήσεταί που κἂν βραχίστοις I. 6. 59.

ἐρῆμος] **a.** *barren, deserted* of places. ἐρήμας δι' αἰθέρος O. 1. 6. αἰθέρος ψυχρῶν ἀπὸ κόλπων ἐρήμου (ἐρήμων coni. Hermann) O. 13. 88. "νώτων ὕπερ γαίας ἐρήμων" P. 4. 26. **b.** *abandoned* of people. ἅμα δ' ἐκαίοντ' ἐρῆμοι sc. the Apharetidai N. 10. 72. **c.** met., *barren, useless* "μακάρων τ' ἐπιχώριον τεθμὸν πάμπαν ἐρῆμον ἀπωσάμενος" pr. Πα. 4. 47.

ἐρημόω] **a.** *deprive of* c. acc. dupl. τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις εὐφροσύνας μέρος P. 3. 97. c. acc. & gen. τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν I. 4. 17. **b.** *leave barren* c. acc. ἑὸν ἐρημώσαισα χῶρον sc. δρῦς, viz. by being felled P. 4. 269.

ἐριαύχην] v. ῥιψαύχην.

'Ερίβοια] wife of Telamon, mother of Aias. "νῦν σε νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι παῖδα θρασὺν ἐξ 'Εριβοίας ἀνδρὶ τῷδε (= Τελαμῶνι) — τελέσαι" I. 6. 45.

'Εριβόας] *loud shouting* epith. of Dionysos. τὸν κισσοδαῆ θεόν, τὸν Βρόμιον, τὸν 'Εριβόαν τε βροτοὶ καλέομεν fr. 75. 10.

ἐριβ'ρεμέτας] *loudly roaring* τόλμᾳ γὰρ εἰκὼς θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων I. 4. 46.

ἐρίβ'ρομος, -ον] *loudly roaring* ἐρίβρομοι λέοντες O. 11. 20. ὀμφαλὸν ἐριβρόμου χθονὸς ἐς νάιον προσοιχόμενοι prob. a reference to the volcanic nature of the area P. 6. 3. ἐριβρόμου νεφέλας P. 6. 11. πόντον ἐρίβρομον ?fr. 351.

ἐρίγδουπος, -ον] *resounding* ἐν δὲ Ναΐδων ἐρίγδουποι στοναχαὶ Δ. 2. 12.

ἐρίζω] (ἐρίζει, -οντι; -ίζειν: fut. ἐρίξω: aor. ἔριξε, ἔρισαν: med. ἐρίζεται; -όμενοι, -όμεναι.) *struggle, contest* abs., ἐν δρόμοις Πέλοπος ἵνα ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος θρασύπονοι O. 1. 95. καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ N. 5. 39. καὶ γὰρ ἐριζόμεναι νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι I. 5. 4. Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδὰν γάμῳ (Benedictus: ἔρισας cod.) I. 8. 27. c. acc. cogn., ὅσσα τ' ἔριξε λευκωλένῳ ἄκναμπτον 'Ηρᾳ μένος ἀντερείδων Πα. 6. 87. οὐ ψεῦδος ἐρίξω ?*strive in falsehood* fr. 11. c. dat., ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει (sc. φθόνος) N. 8. 22. Πανελλάνεσσι δ' ἐριζόμενοι δαπάνᾳ χαῖρον ἵππων I. 4. 29. c. πρός, ἀντία, *against*, οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς P. 4. 285. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν P. 2. 88.

ἐρικ'λάγκτας] *loud sounding* ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον P. 12. 21.

ἐρῖκῦδής] *illustrious* ἐρικυδέα τ' ἔσχον Δᾶλον Πα. 5. 39.

Ἐρῑνύς] (ἡ) *Fury* ἰδοῖσα δ' ὀξεῖ' Ἐρινὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον i. e. the family of Oidipous O. 2. 42.

ἐρίπ'λευρος, -ον] *strong ribbed* ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ κέντρον αἰανὲς of oxen P. 4. 235.

ἐρίπ'να] *crag* ἐρίπν]αις (supp. e Σ Snell) Πα. 5. 21.

ἐρίς] (ἔρις, ἔριδα, ἔριν.) *struggle* πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν N. 8. 51. χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων (i. e. ἡ πρὸς τοὺς κρείττονας ἔρις. Σ.) N. 10. 72. met., οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι, ῥήματα πλέκων *he would vie in praising* met. from wrestling N. 4. 93. frag., ἐνῆκεν καὶ ἔπειτ[—]λος τῶνδ' ἀνδρῶν ἕνεκεν μερίμνας σώφρονος ἐχθρὰν ἔριν οὐ παλίγγλωσσον Παρθ. 2. 63.

ἐρισφάρᾰγος] *loud thundering* ἐρισφαράγ[ου] — πατ[ρός (i. e. Zeus: supp. Lobel) fr. 6a. d, = fr. 15 Schr.

Ἐρίτῑμος] acc. to Σ ad loc., son of Terpsias and nephew of Ptoiodoros, q. v., cf. P. Oxy. 2623, fr. 21a. 7. Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί (e Σ Er. Schmid: ἐρίτιμοι codd.) O. 13. 42.

ἔρῐφος] *kid* ἐρίφων μεθομηρεον ?Pan. fr. 47.

Ἐρῐφύλα] sister of Adrastos, daughter of Talaos, whose sons gave her as wife to Amphiareus, whose death she caused: v. fr. 182. ἀνδροδάμαντ' Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν, δόντες Οἰκλεΐδᾳ γυναῖκα N. 9. 16.

Ἐριχθόνιος] king of Athens. Harpokration, s. v. Αὐτόχθονες· ὁ δὲ Πίνδαρος — φησὶν Ἐριχθόνιον — ἐκ γῆς φανῆναι fr. 253.

ἑρκεῖος] *of Zeus Herkeios, of the household* πρὸς ἑρκεῖον — βωμόν Πα. 6. 114.

ἕρκος] (ἕρκος, nom., acc.: ἑρκέων, ἕρκεσιν.) a. *net* κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων N. 3. 51. b. met., *confines* ἀβάπτιστος εἶμι φελλὸς ὡς ὑπὲρ ἕρκος ἅλμας (τῇ τῆς θαλάσσης ἐπιφανείᾳ. Σ.) P. 2. 80. γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις (v. ἄγγος) N. 10. 36.]α φυγόντα καὶ μέλαν ἕρκος ἅλμας[(ἕρκος add. Π[a]) Δ. 1. 16. ὁ δ' ἄφαρ πλεκτόν τε χαλκὸν ὑπερη[. .]. ε τραπεζαν προβάτων ἀλυσιωτὸν διερκέων (δι' ἑρκέων Snell, i. e. *stalls*) fr. 169. 29. c. *bulwark* παῖδα ποντίας Θέτιος βιατάν, πιστὸν ἕρκος Ἀχαιῶν Πα. 6. 85. ἀγωνίας δ' ἕρκος οἷον σθνος P. 5. 113.

ἑρμᾱνεύς] *interpreter* ἐς δὲ τὸ πὰν ἑρμανέων χατίζει (Schr.: ἑρμηνέων codd., def. Forssman, 126: sc. βέλη, *my poetic arrows*) O. 2. 85.

Ἑρμᾶς] (-ᾶς, -ᾶ, -ᾷ, -ᾶν.) herald of the gods, patron of festivals, conductor of souls to Hades. θεῶν κάρυκα — Ἑρμᾶν O. 6. 79. Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις — Ἀγγελίας O. 8. 81 ὅ τ' ἐναγώνιος Ἑρμᾶς P. 2. 10. Ἑρμᾶς χρυσόραπις P. 4. 178. "κλυτὸς Ἑρμᾶς" P. 9. 59. (Διόσκουροι) ἀγώνων μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν N. 10. 53. ὅσ' ἀγώνιος Ἑρμᾶς Ἡροδότῳ ἔπορεν ἵπποις I. 1. 60. Ὀλυμπόθεν δέ οἱ χρυσόρραπιν ὦρσεν Ἑρμᾶν (sc. Ζεύς) Δ. 4. 37.

ἔρνος] (ἔρνει, ἔρνος; ἔρνεσι(ν), ἔρνεα.) a. *garland* pl., κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις ἔρνεα πρῶτος ⟨ἔνεικεν⟩ ἀπ' Ἀλφεοῦ N. 6. 18. ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν N. 11. 29. (στεφάνων) τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας I. 1. 29. εἴη μιν — ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα I. 1. 66.]εὐανθέος ἔρνεσ[Πα. 7B. 6. b. met., *offspring* χρυσαλακάτου ποτὲ Καλλίας ἀδὼν ἔρνεσι Λατοῦς N. 6. 37. κεῖνον ἅψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ — ἔρνεϊ Τελεσιάδα I. 4. 45. c. met., *shoot, nursling* χαῖρ' ὦ θεοδμάτα, λιπαροπλοκάμου παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος, πόντου θύγατερ (Δᾶλε sc.) fr. 33c. 2.

ἔρομαι] *ask about* c. acc. dupl. βασιλεὺς δ' — ἅπαντας ἐν οἴκῳ/εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι O. 6. 49.

ἑρπετόν] *animal* ἀπὸ Ταυγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 3. met., *monster*, κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν δεινοτάτους ἀναπέμπει of an eruption of Etna P. 1. 25.

ἕρπω] (ἕρπει; ἕρποι; ἕρπων, -όντων, -όντεσσιν: impf. ἕρπε.) a. *move* ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι φέρον O. 7. 52. πρὶν μὲν ἕρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων *issued as counterfeit* Δ. 2. 1. εἰ δὲ δαίμων γενέθλιος ἕρποι *comes* O. 13. 105. b. *advance, continue* in temporal sense. "θνατῶν φρένες — τραχεῖαν ἑρπόντων πρὸς ἔπιβδαν" P. 4. 140. (ἀρετὰν) εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει N. 4. 43. τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, εἴ τις εὖ εἴπῃ τι (ἕρποι v. l.) I. 4. 40. μή μοι μέγας ἕρπων κάμοι ἐξοπίσω χρόνος ἔμπεδος Πα. 2. 26. c. in tmesis. ποτὶ χρόνος ἕρποι (v. ποτιέρπω) N. 7. 68.

ἐρυθ'ρός] *red* πόντῳ τ' ἐρυθρῷ the Red Sea P. 4. 251.

ἐρύκω] *restrain, put a stop to* ὀρθᾷ χερὶ ἐρύκετον ψευδέων ἐνιπὰν ἀλιτόξενον O. 10. 6. ἔρυξαν ([κα]τέσχον Σ.) fr. 6d.]ẹρụκẹṿ[fr. 140a. 55 (29). c. inf., *prevent from* τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ' ἐπειγόμεναι N. 4. 33.

Ἔρυτος] an Argonaut, son of Hermes and Antianeira. πέμψε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον, τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον (Er. Schmid: Εὔρυτον codd.) P. 4. 179.

ἐρύω] *draw, remove* ἔν τε δαμόταις ὄμματι δέρκομαι λαμπρὸν — βίαια πάντ' ἐκ ποδὸς ἐρύσαις N. 7. 67.

ἔρχομαι] (ἔρχομαι, -εται, -οντ(αι); ἐρχόμενον, [-ομένοις]: impf. ἤρχετο: aor. ἦλθον, -ες, -ε(ν), ἦλθ', ἤλθον; ἔλθῃς, -ῃ; ἔλθ', ἐλθέ; ἐλθών, -όντος, -όντα, -όντες, -όντεσσιν, -όντας; ἐλθεῖν; ἤλυθον, -ε(ν), -ον: Dor. causal aor. ἔλευσεν.) *go, come* 1. of people. a. c. ἐγγύς, παρά, πρός, ὑπό, ἀπό, ἐκ, ἐς· ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς O. 1. 71. πὰρ εὐδείελον ἐλθὼν Κρόνιον O. 1. 111. δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν O. 3. 27. Ζεῦ, — ἱκέτας σέθεν ἔρχομαι O. 5. 19. πρὸς Πιτάναν — δεῖ σάμερον ἐλθεῖν sc. in the course of my song. O. 6. 28. ἦλθεν δ' ὑπὸ σπλάγχνων — Ἴαμος O. 6. 43. εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν Ἡρακλέης — κτίσῃ O. 6. 67. τιμῶντες δ' ἀρετὰς ἐς φανερὰν ὁδὸν ἔρχονται O. 6. 73. ἔκτανεν — Λικύμνιον ἐλθόντ' ἐκ θαλάμων Μιδέας O. 7. 29. μαντεύσατο δ' ἐς θεὸν ἐλθὼν O. 7. 31. ἦλθον τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις O. 9. 83. ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοί O. 13. 60. μελαντειχέα νῦν δόμον Φερσεφόνας ἔλθ', Ἀχοῖ (codd.: ἴθι byz.) O. 14. 21. [ἀνδράσι — ἐς πλόον ἐρχομένοις (v. l. ἀρχομένοις) P. 1. 34.] φαντὶ δὲ — μεταβάσοντας ἐλθεῖν ἥροας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν P. 1. 52. τόδε — φέρων μέλος ἔρχομαι P.2.4. ἐλθόντος γὰρ — ξένου—ἀπ' Ἀρκαδίας P. 3. 25. "ξείνοις — ἐλθόντεσσιν εὐεργέται δεῖπν' ἐπαγγέλλοντι" P. 4. 30. "Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών" P. 4. 44. καὶ κασίγνητοί σφισιν ἀμφότεροι ἤλυθον P. 4. 125. "ἐλθόντας πρὸς Αἰήτα θαλάμους" P. 4. 160. Ζηνὸς υἱοὶ — ἦλθον P. 4. 172. σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι ἤλυθον P. 4. 204. ἐς Φᾶσιν δ' ἔπειτεν ἤλυθον P. 4. 212. ἡρώων ὅσοι γαμβροί σφιν ἦλθον P. 9. 116. ἤλυθε νασιώταις λίθινον θάνατον φέρων P. 10. 47. ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει N. 5. 45. ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἐέθλων παῖς ἐναγώνιος N. 6. 11. Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάῃ N. 10. 49. αὐτίκα γὰρ ἦλθε Λήδας παῖς διώκων N. 10. 66. Ζεὺς δ' ἀντίος ἤλυθέ οἱ N. 10. 79. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων I. 6. 57. ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν Ζηνός I. 7. 46. Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο I. 9. 3.

ἦλθον ἔταις ἀμαχανίαν ἀλέξων τεοῖσιν Πα. 6. 9. ἁλὸς ἐπὶ κῦμα βάντες [ἦ]λθον ἄγγελοι ὀπίσω Πα. 6. 100. πιστὰ δ' Ἀγασικλέει μάρτυς ἤλυθον ἐς χορὸν Παρθ. 2. 39. καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν fr. 172. 5. οὐ φίλων ἐναντίον ἐλθεῖν fr. 229. fig., ἐπεὶ οἱ τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς ἦλθον N. 6. 24. **b.** c. dat. ἦλθε καὶ Γανυμήδης Ζηνὶ O. 1. 44. Ζεὺς πατὴρ ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ P. 3. 99. φίλοισι γὰρ φίλος ἐλθὼν N. 4. 22. ὅτε Λαομέδοντι πεπρωμένοι' ἤρχετο μόροιο κάρυξ (expectes ἄρχετο, Snell) fr. 140a. 67. c. c. acc. οὐκ ἔμειν 'ἐλθεῖν τράπεζαν νυμφίαν P. 3. 16. "τάνδε — νᾶσον ἐλθόντες" P. 4. 52. καί ῥ' ἦλθον Πελία μέγαρον P. 4. 134. ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν ἀέθλων καὶ πατρωίαν πόλιν P. 5. 52. ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς I. 2. 48. καί τοί ποτ' Ἀνταίου δόμους Θηβᾶν ἄπο Καδμειᾶν μορφὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν (v. l. καίτοι πότ', i. e. ποτί) I. 4. 53. c. acc. cogn., ἀπ' Ἄργεος ἤλυθον δευτέραν ὁδὸν Ἐπίγονοι P. 8. 41. **d.** met. σὲ δ' ἐρχόμενον ἐν δίκᾳ *walking in the path of justice* P. 5. 14. μαθὼν δέ τις ἀνερεῖ εἰ πὰρ μέλος ἔρχομαι ψάγιον δαρον ἐννέπων i. e. *go out of tune, be discordant* N. 7. 69.

2. of things, **a.** c. dat. pers. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῶν O. 1. 100. φάμεν Ἐμμενίδαις Θήρωνί τ' ἐλθεῖν κῦδος O. 3. 39. ἦλθε δέ οἱ—μάντευμα P. 4. 73. κείνοις δ' ὑπέρτατον ἦλθε φέγγος Πα. 2. 68. **b.** c. prep. ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις — πομπαῖον ἐλθεῖν οὖρον P. 1. 34. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται P. 3. 105. λαμπραὶ δ' ἦλθον ἀκτῖνες P. 4. 198. χειμέριος ὄμβρος, ἐπακτὸς ἐλθὼν ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος P. 6. 10. μὴ κόρος ἐλθὼν κνίσῃ P. 8. 32. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ P. 8. 96. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες πολυπόνων ἀνδρῶν N. 1. 32. ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα N. 7. 30.

3. ἔλευσα, Dor. causal aor., *I made to come, brought* τὸ μὲν ἔλευσεν (sc. Περσεύς) Δ. 4. 39. but v. λεύω.

4. fragg. ἔρχεται δ' ἐνιαυτῷ Πα. 15. 9.]εων ἐλθὲ φίλαν δὴ πολεα[(Π[s]: φθον Π.) Δ. 3. 9.]ηλυθο[ν P. Oxy. 1792 fr. 8.

Ἐρχομενός] (Ὀρχομεν- passim codd.) a city of Boeotia, where the Graces were especially worshipped: the inhabitants were Minyai. ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι Χάριτες Ἐρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι (Cavedoni: Ὀρχομ- codd.) O. 14. 4. γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν — Ἐρχομενοῖό τε πατρῴαν ἄρουραν (Schr.: Ὀρχομ- codd.) I. 1. 35. δαιτίκλυτ[ον] πόλιν ἐς Ὀρχομενῶ διώξιππον (Pindarice Ἐρχομενοῦ expectes?) ?fr. 333a. 8.

ἔρως] (ἔρως, -ωτος, -ωτι; -ωτες, -ώτων.) **a.** *passion, love* (v. von der Mühll, M. H., 1964, 169.) ἀγαπατὰ δὲ — τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι. οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπρίας δώρων N. 8. 5. ἔρως γὰρ ἔχεν (sc. αὐτούς) I. 8. 29.]τ' ἔρωτος ἀνταμοιβὰν ἐδάσσατο[Δ. 4. 42. ματέρ' ἐρώτων οὐρανίαν — Ἀφροδίταν fr. 122. 4. χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι, θυμέ, σὺν ἀλικίᾳ fr. 123. 1. εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν fr. 127. 1. χάριτάς τ' Ἀφροδισίων ἐρώτων fr. 128. 1. **b.** *desire, longing* καὶ γὰρ ἑτέροις ἑτέρων ἔρωτες ἔκνιξαν φρένας (A. W. Mair: ἔρως ἔκνιξε codd.: ἔρως ὑπέκνιξε Boeckh) P. 10. 60. οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες N. 3. 30. ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι N. 11. 48.

ἐς, εἰς, ἐν] (following noun governed, P. 4. 44, P. 6. 4., P. 9. 55, I. 7. 41. fr. 162, ?fr. 333a. 8.)

1. a. *to, towards, into.* **α.** generally, lit. & met. ἐς ἀφνεὰν ἱκομένους μάκαιραν Ἱέρωνος ἑστίαν O. 1. 10. ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον ἐς ἔρανον φίλαν

τε Σίπυλον O. 1. 38. ὕδατος — πυρὶ ζέοισαν εἰς ἀκμὰν μαχαίρᾳ τάμον (e Σ Mommsen: ἐπ' codd.) O. 1. 48. ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων ἐς Ἆλιν O. 1. 78. ῥοαὶ δ' — ἐς ἄνδρας ἔβαν O. 2. 34. ὁμόκλαρον ἐς ἀδελφεὸν — ἄνθεα — ἄγαγον O. 2. 49. ἐς γαῖαν πορεύειν O. 3. 25. ἐς ταύταν ἑορτὰν — νίσεται O. 3. 34. ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν O. 5. 14. φέρειν γῆρας εὔθυμον ἐς τελευτάν O. 5. 22. ἦλθεν δ' — Ἴαμος ἐς φάος O. 6. 44. δεῦρο πάγκοινον ἐς χώραν ἴμεν O. 6. 63. μαντεύσατο δ' ἐς θεὸν ἐλθὼν O. 7. 31. πλόον εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν O. 7. 33. ἐς Ἴστρον ἐλαύνων O. 8. 47. [βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν ἐς ἄγυιαν θνᾳσκόντων (v. l. πρός) O. 9. 34.] εἰς Ἀίδα σταθμὸν ἀνὴρ ἵκηται O. 10. 92. ἀλλά νιν ὕβρις εἰς ἀυάταν ὑπεράφανον ὦρσεν P. 2. 28. εὖναι δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν ἔβαλον P. 2. 35. εἰς Ἀίδα δόμον — κατέβα P. 3. 11. πέμψεν κασιγνήταν — ἐς Λακέρειαν P. 3. 34. ἤλυθεν ἐς λέχος P. 3. 99. "Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθὼν" P. 4. 44. ἐς εὐδείελον χθόνα μόλῃ P. 4. 76. ἐς δ' Ἰαολκὸν ἐπεὶ κατέβα P. 4. 188. ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι P. 4. 207. ἐς Φᾶσιν δ' ἔπειτεν ἤλυθον P. 4. 211. ἀπόλεμον ἀγαγὼν ἐς πραπίδας εὐνομίαν P. 5. 67. ὀμφαλὸν ἐριβρόμου χθονὸς ἐς νάιον προσοιχόμενοι P. 6. 4. "ἐπὶ λαὸν ἀγείραις νασιώταν ὄχθον ἐς ἀμφίπεδον" P. 9. 55. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν κεν εὕροις ἐς Ὑπερβορέων ἀγῶνα θαυμαστὰν ὁδόν P. 10. 30. μόλεν Δανάας ποτὲ παῖς — ἐς ἀνδρῶν μακάρων ὅμιλον P. 10. 46. ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων θησαυρὸν (Tric.: εἰς codd.) P. 11. 4. θαητὰν ἐς αἴγλαν παῖς Διὸς — μόλεν N. 1. 35. ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν N. 1. 42. καὶ ἐς Αἰθίοπας — ἔπαλτο (sc. ὄνυμ' αὐτῶν) N. 6. 49. εἰς Ἐφύραν ἵκοντο N. 7. 37. φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω N. 7. 62. κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι, τὰν νεοκτίσταν ἐς Αἴτναν, — ὄλβιον ἐς Χρομίου δῶμ' N. 9. 2—3. καί ποτ' ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀνδρῶν N. 9. 18. φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι N. 9. 21. ὁ δ' ὄλβῳ φέρτατος ἵκετ' ἐς κείνου γενεάν i. e. *into relationship with him* N. 10. 14. εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον N. 11. 3. σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς τάνδ' ἐς εὔνομον πόλιν I. 5. 22. τὸν (= Τελαμῶνα) χαλκοχάρμαν ἐς πόλεμον ἄγε — σύμμαχον ἐς Τροίαν I. 6. 27. ἀνὰ δ' ἄγαγον ἐς φάος οἵαν μοῖραν ὕμνων I. 6. 62. Ἄδραστον ἐξ ἀλαλᾶς ἀμπεμψας — ἐς Ἄργος ἵππιον (Er. Schmid: εἰς codd.) I. 7. 11. ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν I. 7. 45. σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν I. 8. 21. "Ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Χίρωνος αὐτίκ' ἀγγελίαι" I. 8. 41. ἐς Τροία[ν Πα. 6. 75. μή μιν εὔφρον' ἐς οἶκον μήτ' ἐπὶ γῆρας ἱξέμεν βίου Πα. 6. 115. ἀγ]λαάν τ' ἐς αὐλὰν Πα. 7. 3. ἀγλαὸν ἐς φάος ἰόντες δίδυμοι παῖδες Πα. 12. 15.]δ' εἰς [Ἀ]χέροντα[Πα. 22c. 9. μάρτυς ἤλυθον ἐς χορὸν Παρθ. 2. 39. τεὸν δεῦτ' ἐς ἄλσος fr. 122. 18. δαιτίκλυτ[ον] πόλιν ἐς Ὀρχομενῶ διώξιππον ?fr. 333a. 8. *up to*, φαεννὸν ἐς αἰθέρα μιν πεμφθεῖσαν ἐᾷ κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι O. 7. 67. πίτναν τ' ἐς αἰθέρα χεῖρας ἁμᾶ (εἰς coni. Er. Schmid) N. 5. 11. ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰς πάλιν fr. 133. 2. πιτνάντες θοὰν κλίμακ' οὐρανὸν ἐς αἰπὺν fr. 162. *down into*, βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν O. 10. 37. πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα P. 1. 24. τὸν οὔτε χειμέριος ὄμβρος — οὔτ' ἄνεμος ἐς μυχοὺς ἁλὸς ἄξοισι P. 6. 12. "χθόνα τοί ποτε καὶ στρατὸν ἀθρόον πέμψαν κεραυνῷ τριόδοντί τε ἐς τὸν βαθὺν Τάρταρον" Πα. 4. 44. πρόφασις — ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον fr. 228. *into* (a vehicle) τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων N. 9. 4. ἐς δίφρον Μοισᾶν ἔβαινον I. 2. 2. β.

of journeying, *upon* ἐς φανερὰν ὁδὸν ἔρχονται O. 6. 73. ἐς πλόον ἀρχομένοις (v. l. ἐρχομένοις) P. 1. 34. ἕκαλος ἔπειμι γῆρας ἐς τε τὸν μόρσιμον αἰῶνα I. 7. 41. γ. sc. δόμους, *to the home of* εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων I. 2. 34. b. *towards, in the direction of* δᾶμον γεραίρων τράποι σύμφωνον ἐς ἡσυχίαν P. 1. 70. δαίμων δ' ἕτερος ἐς κακὸν τρέψαις P. 3. 35. καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ δεικνύναι *publicly* fr. 42. 4. ἀπήμονα εἰς ὄλβον τινὰ τράποιο Θήβαις, ὦ πότνια, πάγκοινον τέρας i. e. *turn this omen into some manner of prosperity for Thebes* Πα. 9. 9. εὖτ' ἂν ἴδω παίδων νεόγυιον ἐς ἥβαν *look upon* fr. 123. 12. c. *with a view to, with the object of, for* "φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι — ἐς χάριν τέλλεται" O. 1. 75. ὀπᾷ τε κοινὸν λόγον φίλαν τείσομεν ἐς χάριν O. 10. 12. εὐώνυμον ἐς δίκαν τρία ἔπεα διαρκέσει N. 7. 48. νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον ἅπας κίνδυνος N. 8. 21. ἀλλ' Αἰακίδαν καλέων ἐς πλόον I. 6. 36. Σκύριαι δ' ἐς ἄμελξιν γλάγεος αἶγες ἐξοχώταται fr. 106. 4. d. *with regard to, in reference to* ἐς δὲ τὸ πὰν ἑρμανέων χατίζει O. 2. 85. (αἶνον) ποτ' ἐς Ἀμφιάρηον φθέγξατ' O. 6. 13.]κυριώτερο[⟨εἰς σοφίας λόγον⟩ (supp. Snell ex Aristide.) fr. 260. 7. ἄμαχοί (τινες) εἰς σοφίαν (si quidem recte hoc frag. Pindaro tribuitur, certe alia erat forma verborum apud P.) ?fr. 353. e. of time, *for, during.* ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται P. 3. 105. τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι P. 10. 63. ἐς δὲ τὸν λοιπὸν χρόνον ἥροες ἁγνοὶ πρὸς ἀνθρώπων καλέονται fr. 133. 5. f. dub. & frag. "δοιὰ βοῶν θερμὰ δ' εἰς ἀνθρακιὰν στέψαν" (πρὸς coni. Schr.: δὶς Turyn) fr. 168. 2.]μενος οὔ κεν ἐς ἄπλακ[Πα. 18. 6.]τ' ἐς αὐτὸν[Δ. 4f. 6.

2. ἐν, a Doric form of ἐς. a. *to, towards* Κρισαῖον λόφον ἄμειψεν ἐν κοιλόπεδον νάπος θεοῦ P. 5. 38. δεῦτ' ἐν χορόν, Ὀλύμπιοι fr. 75. 1. b. *into* ξεστὸν ὅταν δίφρον ἐν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ σθένος ἵππιον P. 2. 11. μιν ἐν πέλ[α]γ[ο]ς ῥιφθεῖσαν (ἀν Π⁸, i. e. ἀνὰ: πέλ[α]γ[ο]ς Wil.: πελ[ά]γε[ι G-H.) Πα. 7B. 46. c. dub., *upon* πέσε δ' (sc. κῦμ' Ἀίδα) ἀδόκητον ἐν καὶ δοκέοντα (codd.: δοκέοντι Fennel, Lobel: cf. ἐν 8.) N. 7. 31. d. *in regard to* δῶρα καὶ κράτος ἐξέφαναν ἐγ γένος αὐτῷ (Wil.: ἐς γενεὰς codd.: ἐγγενὲς e Σ Ritterhuius: ἐς γένος Fulvius Orsinus) N. 4. 68. ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει P. 2. 86. θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος fr. 108a. 2.

ἐσάλλομαι] *leap into* c. acc. γλαυκοὶ δὲ δράκοντες, — πύργον ἐσαλλόμενοι O. 8. 38.

ἐσέρχομαι] *enter* τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός P. 4. 120. c. acc., παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο, — δώματ' ἐσελθών P. 10. 32. ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν N. 10. 16.]ἐσελθὼν μεγα[Herakles entering the palace of Diomedes fr. 169. 18.

ἐσθάς] *garment* ἐσθὰς δ' ἀμφοτέρα μιν ἔχεν, ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις, ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους P. 4. 79. γυίων ἀέθλοις ἐπεδείξαντο κρίσιν ἐσθᾶτος ἀμφίς (codd.: ἰν' coni. Kayser: cf. Simonides, fr. 547 PMG) P. 4. 253.

ἐσλός] (ἐσλοῦ, -όν; -οί, -ῶν, -οῖσ(ι), -οῖσιν, -ούς: -όν -ῶν, -οῖσ(ι), -οῖσιν, -ά. ἐσλ- O. 2. 19, O. 13. 100, P. 3. 66, N. 4. 95; codd. often offer a v. l. ἐσθλ-.)

1. adj., *good, noble* a. of people. ἀδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ O. 13. 100. ἰατῆρά τοί κέν μιν πίθον καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσι i. e. men like Hieron P. 3. 66. ἄγγελον ἐσλὸν ἔφα (sc. Ὅμηρος) τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν P. 4. 278. ἀδελφεοῖσί τ' ἐπαινήσομεν ἐσλοῖς (Wil.: ἀδελφεούς τ' — ἐσθλοὺς codd.) P. 10. 69. ἐσλοῦ Πέλοπος N. 2. 21. ἐσλὸν Τήλεφον I. 5. 41. ἔδοξ' ἦρα καὶ ἀθανάτοις, ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις

θεᾶν διδόμεν (Calliergus: ἐς λόγον γε cod.) I. 8. 60. πιστὰ δ' Ἀγασικλέει μάρτυς ἤλυθον ἐς χορὸν ἐσλοῖς τε γονεῦσιν Παρθ. 2. 40. b. of things, *noble* ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνᾴσκει O. 2. 19. ἐσλὰ δ' ἐπ' ἐσλοῖς ἔργα θέλει δόμεν O. 8. 84. τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη P. 4. 175. εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ I. 5. 13.

2. subs., a. *the noble* ἀπονέστερον ἐσλοὶ δέκονται βίοτον O. 2. 63. ἐσλῶν καλοῖς ἔργοις (Aristarchus: ἐσλὸν κακοῖς codd.) O. 2. 97. ξείνων δ' εὖ πρασσόντων ἔσαναν αὐτίκ' ἀγγελίαν ποτὶ γλυκεῖαν ἐσλοί O. 4. 5. λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν ἀντίον (Aristarchus: ἐσλός codd.) N. 1. 24. ἕπεται δὲ λόγῳ δίκας ἄωτος, "ἐσλὸν αἰνεῖν" (v. l. ἐσλός: ἀντὶ τοῦ ἐσλοὺς Σ.) N. 3. 29. μαλακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος N. 4. 95. χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν I. 3. 7. πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι (Sylburg: δὲ ὅλοισιν codd.) fr. 121. cf. N. 8. 22. b. of things, *blessing, success* τὸ δ' αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῶν O. 1. 99. ἐσλὰ δ' ἐπ' ἐσλοῖς ἔργα θέλοι δόμεν O. 8. 84. ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ O. 12. 12. ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις P. 1. 84. ἐν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι P. 3. 81. εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ P. 8. 73. τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν P. 9. 89. χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις N. 5. 47. ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει (? m. pl.) N. 8. 22. ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι N. 9. 6. βραχύ μοι στόμα πάντ' ἀναγήσασθ' ὅσων Ἀργεῖον ἔχει τέμενος μοῖραν ἐσλῶν N. 10. 20.

ἔσοδος] a. *access, avenue* met. ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι, τετόλμακε P. 5. 116. b. dub., *entry* (into competition). Ἐλέλιχθον, ἄρχεις ὃς ἱππιᾶν ἐσόδων (Bowra: ὀργαῖς πάσαις ὃς ἱππείαν ἔσοδον codd.: ἱππικὰς ἁμίλλας Σ paraphr.) P. 6. 50.

ἔσοπτρον] *mirror* met. ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἐνὶ σὺν τρόπῳ, εἰ — εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς N. 7. 14.

ἐσοράω] *look upon* (cf. fr. 123. 11.) ἣν δ' ἐσορᾶν καλός O. 8. 19. "υἱὸν εἰσιδέτω θανόντ' ἐν πολέμῳ" I. 8. 36.

[**ἐσορούω,** *leap up to* εἰς δ' ἐσόρουσε βοάσαις (v. l. ἀν-, ἐπ- όρουσε: ἐνόρουσε coni. Christ) O. 8. 40.]

ἑσπέρα] (Ϝεσπ- I. 8. 44.) *evening* ἄκρᾳ σὺν ἑσπέρᾳ P. 11. 10. "ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας" I. 8. 44. gen., *at evening* ἤδη γὰρ αὐτῷ — διχόμηνις ὅλον χρυσάρματος ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα O. 3. 20. "πεύθομαι δ' αὐτὰν — ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ ἑσπέρας ὑγρῷ πελάγει σπομέναν" P. 4. 40.

ἕσπερος, ἑσπέριος] *evening* ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος O. 10. 73. παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς P. 3. 19. παρὰ Κασταλίαν τε Χαρίτων ἑσπέριος ὁμάδῳ φλέγεν (sc. Καλλίας) N. 6. 38.

ἐσσυμ-, v. σεύω.

ἑστία] (-ίᾳ, -ίαν, -ία.) a. *home, hearth* ἐς ἀφνεὰν ἱκομένους μάκαιραν Ἱέρωνος ἑστίαν O. 1. 11. τεά κεν ἐνδομάχας ἅτ' ἀλέκτωρ συγγόνῳ παρ' ἑστίᾳ ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν O. 12. 14. εὐδίαν ὃς — τεὰν καταιθύσσει μάκαιραν ἑστίαν P. 5. 11. ἀγῶνί τε Κίρρας ἐν τῷ Θρασυδᾷος ἔμνασεν ἑστίαν τρίτον ἔπι στέφανον πατρῴαν βαλών P. 11. 13. τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν I. 4. 17.]νος τι' ἑστίαν[Παρθ. 2. 107. b. Hestia, goddess of the hearth. παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία, Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας N. 11. 1.

ἐστρίς] *three times* ὅσοι δ' ἐτόλμασαν ἐστρὶς — ἀπὸ πάμπαν ἀδίκων ἔχειν ψυχάν (v. von Fritz, Phronesis, 1957,

85) O. 2. 68. σε χαίρειν ἐστρὶς αὐδάσαισα (Boeckh: εἰς τρίς) P. 4. 61.

ἐσχᾰτιά] *highest point, extremity, extreme* πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται οἴκοθεν Ἡρακλέος σταλᾶν O. 3. 43. μέλανος ἂν ἐσχατιὰν καλλίονα θανάτου ⟨στείχοι⟩ (supp. Wil.: ἐν codd.) P. 11. 56. ἐσχατιαῖς ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυραν θεότιμος ἐών (v. l. ἐσχατιάς) I. 6. 13.

ἔσχᾰτος] (-ον; -ων, -οις: -ας; -αισ(ιν); -ον nom., acc.) a. *the end of, limit of* ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον P. 10. 28. κιόνων ὕπερ Ἡρακλέος — ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτούς N. 3. 22. Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας ἔσχατον Νείλου κέρας (join with κέρας) fr. 201. 2. b. extreme, i. e. *supreme* ὅστις ἁμιλλᾶται πέρι ἐσχάτων ἀέθλων κορυφαῖς N. 10. 32. ἀνορέαις δ' ἐσχάταισιν οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις I. 4. 11. προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐπίσιν I. 7. 36. c. *final, at the last* ἁ δ' Ὑμέναιον (sc. ὕμνει), ὃν ἐν γάμοισι χροϊζόμενον [Μοῖρα] σύμπρωτον λάβεν, ἐσχάτοις ὕμνοισιν (Hermann, Schneidewin: ἔσχατον ὕμνον cod.: i. e. at the end of his life, opp. to σύμπρωτον) Θρ. 3. 9. d. subs., *summit, crown* τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι O. 1. 113.

ἔσω, εἴσω] *within* εἴσω κατέσταν i. e. within Pelias' palace P. 4. 135. χέρσον ἔσω fr. 6a. f.

ἑταίρα] *companion* ὑμεναίων, ἅλικες οἷα παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς companions of the bride P. 3. 18. ἐφίλησεν — οὔτε δείπνων †οἰκουριᾶν μεθ' ἑταιρᾶν τέρψιας P. 9. 19.

ἑταῖρος, ἕτᾰρος] (ἑταιρον; -οι, -ων, -οις, -ους: ἑτάρων.) *companion* ὄτρυνον νῦν ἑταίρους, Αἰνέα members of the chorus O. 6. 87. κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις O. 9. 4. πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα ὤρεγον χεῖρας (Mosch.: ἕταροι codd.) P. 4. 239. φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων P. 5. 26. εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας (τοὺς συμπρυτανεύοντας αὐτῷ Σ.) N. 11. 4. Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν μυρίων ἑτάρων ἐς Ἄργος (Er. Schmid: ἑταίρων codd.) I. 7. 11. ἑ]ταίρους[(supp. Lobel) Πα. 14. 22. κενεοφρόνων ἑταῖρον ἀνδρῶν (sc. φθόνον) fr. 212.

ἔτας] *kinsman* ἦλθον ἔταις ἀμαχανίαν ἀλέξων τεοῖσιν ἐμαῖς τε τιμαῖς (ἔταις Π, cf. Latte, Hermes, 1931, 34: i. e. the kinsmen of Pytho, viz. the Delphians.) Πα. 6. 10.

ἔτειος] *yearly* καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων γίνεται I. 4. 67.

ἕτερος] (ἕτερος, -ῳ, -ον; -οι, -ων, -οισ(ι): -ας; -αι, -αις: -α nom.) a. *another, any other* ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον O. 7. 86. ἢ ἑτέρῳ λέχει δαμαζομέναν ἔννυχοι πάραγον κοῖται; P. 11. 24. ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία ⟨πλεόνων⟩ ταμίαν στεφάνων N. 6. 25. pro subs., *another, others*, ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ' P. 2. 52. εἰ δέ τις ἤδη — λέγει ἑτερόν τιν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον P. 2. 60. ὃς ἀνέχει τότε μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος P. 2. 89. πολλοῖσι δ' ἅγημαι σοφίας ἑτέροις P. 4. 248. Ὥρα πότνια, — τὸν μὲν ἡμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις N. 8. 3. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον (sc. ἕτεροι μὲν χρυσὸν εὔχονται) N. 8. 37. b. *the other, remainder of* ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβάπτιστος εἶμι φελλὸς ὣς P. 2. 80. ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες Ἀΐδαν βασιλέες ἱεροὶ ἐντί P. 5. 96. c. as euphemism, *bad* δαίμων δ' ἕτερος ἐς κακὸν τρέψαις (ὁ κακοποιός Σ.) P. 3. 34. Ὥρα πότνια — τὸν μὲν ἡμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις (σκληραῖς Σ.) N. 8. 3. d. repeated in same clause, *one — another* καὶ γὰρ ἑτέροις ἑτέρων ἔρωτες ἔκνιξαν φρένας (byz.: ἑτέροισιν

codd.) P. 10. 60. τέχναι δ' ἑτέρων ἕτεραι N. 1. 25. εἴργει δὲ πότμῳ ζυγένθ' ἕτερον ἕτερα N. 7. 6. cf. N. 8. 3. [v. dub. τὰν δ' ἐπ' αὐχένι στρέφοισαν ἕτερον κάρα (nullo sensu: secl. Schr.: τέρεν coni. Galavotti) *fr. 107a. 6.*]

ἐτήτῠμος, -ον] *genuine* ὅ τ' ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον Χρόνος O. 10. 54. φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω N. 7. 63.

ἔτι] a. *hereafter* ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει O. 2. 14. ὀφείλει δ' ἔτι — θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον N. 2. 6. εἴη μιν — ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα I. 1. 65. b. *still, yet* with verbs. εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χίρων P. 3. 63. καὶ ζώων ἔτι νεαρὸν κατ' αἶσαν υἱὸν ἴδη τυχόντα στεφάνων Πυθίων P. 10. 25. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἁλίῳ σὸς πατὴρ ἐθάλπετο N. 4. 13. εἰ δὲ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν N. 4. 80.]υἱὸν ἔτι τέξει Πα. 10. 21. ἀέ]ξετ' ἔτι, Μοῖσαι, θάλος ἀοιδᾶν[Δ. 1. 14. c. *even* with comparative. ἔτι γλυκυτέραν O. 1. 109. ἔτι καὶ μᾶλλον P. 10. 57. ὅμως Θήβαν ἔτι μᾶλλον ἐπασκήσει fr. 194. 5. d. c. neg. *no longer* ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ παῖδες N. 9. 14. οὐκ ἔστι πρόσωθεν θνατὸν ἔτι σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν N. 9. 47. ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον fr. 131b. 2. e. fragg. μνᾶμ' ἔτι του[Πα. 13c. 13. ἔτι δ' ἀνδρ[Πα. 21. 21.

ἑτοῖμος] (-ος, -ον.) a. of people. α. *ready, close at hand* ὃν πατὴρ ἔχει μέγας ἑτοῖμον αὐτῷ πάρεδρον O. 2. 76. β. *ready, eager* νιν αἰνέω, μάλα μὲν τροφαῖς ἑτοῖμον ἵππων O. 4. 14. κάρυξ ἑτοῖμος ἔβαν N. 4. 74. b. of things, *ready to hand, prepared* ἑτοῖμον ἀνεφρόντισεν γάμον i. e. that was readily available O. 1. 69. Ἁγησία, τὶν δ' αἶνος ἑτοῖμος O. 6. 12. Ξενοκράτει ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ P. 6. 7.

ἔτος] (τό: ἔτεϊ, ἐτέων: Fετ- O. 2. 93, fr. 133. 2.) *year* ἑκατόν γε ἐτέων O. 2. 93. δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν N. 11. 40.]τό οἱ ἔτει θανατο[Πα. 22. 10. ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰς πάλιν fr. 133. 2.

ἔτῠμος] *true* ὁ μὰν πλοῦτος — ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ἀνδρὶ φέγγος O. 2. 55. Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων P. 1. 68. adv., -ως, *in truth*, εἰ δ' ἐτύμως — ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις O. 6. 77.

εὖ] (ἠὺ coni. O. 5. 16.) *well* a. εὖ νιν ἔγνωκεν P. 4. 287. "εὖ καθορᾷς" P. 9. 49. τό γ' ἐν ξυνῷ πεποναμένον εὖ μὴ — κρυπτέτω P. 9. 93. εὖ οἶδ' ὅτι N. 4. 43. ὁ δ' εὖ φράσθη N. 5. 34. εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους N. 11. 3. τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, εἴ τις εὖ εἴπῃ τι I. 4. 41. b. α. εὖ πράσσω, *prosper* ξείνων δ' εὖ πρασσόντων, ἔσαναν — ἐσλοί O. 4. 4. εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι O. 11. 4. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν P. 2. 73. β. εὖ τυγχάνω, *succeed* ἠὺ δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν (Hermann: εὖ δ(ὲ) ἔχοντες codd.: εὖ δὲ τυχόντες Boeckh) O. 5. 16. χρὴ πρὸς μακάρων τυγχάνοντ' εὖ πασχέμεν (τὸ εὖ κοινόν. Σ.) P. 3. 104. γ. εὖ πάσχω, *be successful* τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων P. 1. 99, cf. P. 3. 104. εὐανθεῖ σὺν ὄλβῳ εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ I. 5. 13. ἔραμαι — ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις ἐξαρκέων N. 1. 32. δ. εὖ ἀκούω, *have a good reputation* εὖ δ' ἀκούειν δευτέρα μοῖρ' P. 1. 99, cf. N. 1. 32. [c. dub. εὐζωᾶς (codd.: εὐζοίας Schr.) P. 4. 131.]

εὐᾱγής] *conspicuous* εὐαγέα πέτραν (εὐαυγέα Π[8]: i. e. Delos) Πα. 7B. 47.

εὐαγκής] *with beautiful glens* Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ N. 5. 46.

εὐᾱγορέω] *praise formally* ὅς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν,

εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται (ἐγκωμιασθεὶς Σ.) I. 1. 51.

εὐᾱγορία] *praise* ὁ δὲ καλόν τι πονήσαις εὐαγορίαισι φλέγει Πα. 2. 67.

εὐάγων] *of successful contests* ἕπεται δὲ (ἐπέβα coni. Wil.), Θεαῖε, ματρώων πολύγνωτον γένος ὑμετέρων εὐάγων τιμά N. 10. 38.

Εὐάδνα] daughter of Poseidon and Pitana, mother of Iamos by Apollo. Πιτάναν —, ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται παῖδα ἰόπλοκον Εὐάδναν τεκέμεν O. 6. 30. παῖδα τὸν Εὐάδνα τέκοι O. 6. 49.

εὐάεθλος, -ον] *of good athletes* Λάμπωνος εὐαέθλου γενεᾶς ὕπερ I. 6. 3.

εὐαίνητος] *much praised* εὐαίνητος Ὀρφεύς P. 4. 177.

εὐαλάκατος] *with fine distaff* εὐαλάκ[Πα. 7. a. 4.

εὐᾱμερία] *good weather* met., *prosperity* νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε Πότμος συγγενὴς εὐαμερίας (sc. αὐτόν) I. 1. 40.

εὐάμπυξ] *with beautiful headband* εὐάμπυκες — Μοῖσαι Δ. 1. 13.]ευαντυκιεν[Πα. 13a. 20.

εὔαν] Heliodor. ap. Σ Dion. Thr. 540. 27 Hilg.: μόνον τὸ εὔαν θηλυκὸν παρὰ Πινδάρῳ (at εὐνάν coni. Dindorf, cll. Choerobosco, Gr. Gr. iv. 1. 315, 27 Hilg., τὸ εὐνάν, εὐνᾶνος, ὃ παρατίθενταί τινες ὡς θηλυκὸν νομίζοντες τὴν γυναῖκα σημαίνειν) fr. 303, cf. Hesych., s. v.

εὔανδρος, -ον] *of fine men* ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν zeugma, *make the land flourish with men* P. 1. 40. (Αἴγινα) τὰν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν θέσσαντο N. 5. 9.

εὐάνθεμος, -ον] *of blooming* πρὸς εὐάνθεμον δ' ὅτε φυὰν λάχναι νιν μέλαν γένειον ἔρεφον O. 1. 67.

εὐανθής] a. *flowery, covered in flowers* εὐανθὴς Μετώπα O. 6. 84. εὐανθέα δ' ἀναβάσομαι στόλον P. 2. 62. πόρε, Λοξία, τεαῖσιν ἁμίλλαισιν εὐανθέα καὶ Πυθόϊ στέφανον I. 7. 50.]εὐανθέος ἔρνεσ[Πα. 7B. 5. b. met., *full flowering; noble, generous* εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων P. 1. 89. εὐανθεῖ σὺν ὄλβῳ I. 5. 12. εὐανθέ' ἀπέπνευσας ἁλικίαν I. 7. 34. παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος pregnant, *in full flower* Θρ. 7. 7.

εὐᾱνορία] pl., *hosts of noble men* αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς δαιδάλλειν O. 5. 20.

εὐάνωρ] *with noble men* ἐν εὐάνορι — Πέλοπος ἀποικίᾳ O. 1. 24. Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ O. 6. 80. μέλιτι εὐάνορα πόλιν καταβρέχων O. 10. 99. Ἀχάρναι δὲ παλαίφατον εὐάνορες N. 2. 17. Ἥρας τὸν εὐάνορα λαὸν N. 10. 36.

εὐάρμᾰτος, -ον] *with splendid chariot* εὐάρματος Ἱέρων P. 2. 5. εὐάρματον πόλιν Cyrene P. 4. 7. εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος I. 2. 17. εὐάρματε — Θήβα fr. 195.

εὐᾱχής] *sweet sounding* εὐαχέα — ὕμνον P. 2. 14.

Εὔβοια] (-α, -ας, -αν.) where various athletic festivals were held, v. Σ, O. 13. 159 Dr., I. 1. 84 Dr. ἅ τ' Εὔβοια (sc. μαρτυρήσει ὅσα ἐνίκησε) O. 13. 112. σέθεν, Ἀμφιτρύων, παῖδας προσειπεῖν — καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα καὶ Εὔβοιαν, ἐν γναμπτοῖς δρόμοις I. 1. 57. Εὔ]βοιαν ἕλον καὶ ἔνασσαν (sc. οἱ ἀπ' Ἀθηνῶν Ἴωνες) Πα. 5. 35. Εὐ]βοίας επ[(supp. Lobel) Θρ. 4. 19.

εὐβουλία] *good counsel, wisdom* τὸ δ' εὐβουλίᾳ τε καὶ αἰδοῖ ἐγκείμενον αἰεὶ θάλλει Πα. 2. 50.

εὔβουλος, ον] *of good counsel, wise* χρύσεαι παῖδες εὐβούλου Θέμιτος O. 13. 8. Νηρέος εὐβούλου P. 3. 92. εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις I. 8. 31. εὔβουλον Θέμιν οὐρανίαν fr. 30. 1.

εὐδαιμονία] *good fortune* τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται P. 3. 84. φαντί γε μὰν οὕτω κ' ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι P. 7. 21. τυχεῖν δ' ἕν' ἀδύνατον εὐδαιμονίαν ἅπασαν ἀνελόμενον N. 7. 56.

εὐδαίμων] (-ων, -ονος, -ονι, -ον(α); -όνων) *fortunate, happy* πότμῳ σὺν εὐδαίμονι O. 2. 18. τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας

P. 4. 276. εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς P. 10. 22. εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραι διαπλέκοις εὐδαίμον' ἐόντα N. 7. 100. Πηλέος — ἐυδαίμονος γαμβροῦ θεῶν I. 6. 25. ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν fr. 33d. 10. εὐ]δαιμόνων βρομιάδι θοίνᾳ πρέπει[Δ. 1. 11. εὐδαιμόνων δραπέτας οὐκ ἔστιν ὄλβος fr. 134.

εὐδείελος, -ον] *sunny* παρ' εὐδείελον ἐλθὼν Κρόνιον O. 1. 111. ἐς εὐδείελον χθόνα P. 4. 76.

εὔδενδρος] *well wooded* ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος O. 8. 9. cf. παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου (διὰ τὰ τῶν ἐλαιῶν φυτά, ἅπερ Ἡρακλῆς ἐξ Ὑπερβορέων κομίσας ἐνεφύτευσε τῇ γῇ. Σ.) N. 11. 25. πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος P. 4. 73. εὔδ]ενδροι (supp. Lobel) Δ. 4. h. 4.

εὐδία] (-ίᾳ, -ίαν; -ίαις.) cf. εὐαμερία, *good weather*, met., *tranquillity* pl., *days of calm* ὁ νικῶν δὲ — ἔχει μελιτόεσσαν εὐδίαν O. 1. 98. Κάστορος, εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν καταιθύσσει μάκαιραν ἑστίαν P. 5. 10. ἀλλὰ νῦν μοι Γαιάοχος εὐδίαν ὄπασσεν ἐκ χειμῶνος I. 7. 38. τὸ δ' εὐβουλίᾳ τε καὶ αἰδοῖ ἐγκείμενον αἰεὶ θάλλει μαλακαῖς ε[ὐ]δίαι[ς Πα. 2. 52. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς fr. 109. 1.

εὐδῐᾱνός] *warm* ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνᾳ φέρε O. 9. 97.

ἐΰδμᾱτος, -ον] *well built* ὄχθαις ἔπι μηλοβότου ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν P. 12. 3.

εὐδοξία] *glory* σὺν εὐδοξίᾳ μετανίσεαι P. 5. 8. συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει N. 3. 40. εὐδοξίας δ' ἐπίχειρα δε[Πα. 14. 31.

εὔδοξος, -ον] (-ος, -ῳ, -ον; -ων, -οις: -οις, -α.) *glorious* of people, things. εὔδοξον Ἱπποδάμειαν O. 1. 70. κόλποις παρ' εὐδόξοις Πίσας (Bergk: εὐδόξοιο codd.) O. 14. 23. εὔδοξον ἅρματι νίκαν P. 6. 17. εὐδόξῳ Μίδᾳ P. 12. 5. εὔδοξος ἀείδεται Σωγένης pr. N. 7. 8. εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων I. 2. 34. εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου I. 3. 1. Κλεάνδρῳ τις ἀλικίᾳ τε λύτρον εὔδοξον, ὦ νέοι, καμάτων — ἀνεγειρέτω κῶμον I. 8. 1. καὶ τέκ' εὔδοξο[ν (supp. Bury) Δ. 2. 30. καὶ τὸν Ἰάσονος εὔδοξον πλόον (byz.: ἔνδοξον cod. unus; om. alter) fr. 172. 6. εὔδ]οξα Μοίσαις[(supp. Snell) fr. 215b. 8.

εὕδω] (εὕδεις, -ει.) *slumber* "εὕδεις, Αἰολίδα βασιλεῦ;" O. 13. 67. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός P. 1. 6. met., ἀλλὰ παλαιὰ γὰρ εὕδει χάρις I. 7. 17. εὕδει δὲ (sc. ἁ ψυχὰ) πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν fr. 131b. 3.

εὐειδής] *of fine appearance* ἄλοχον εὐειδέα θέλων ἑκάτερος ἑὰν ἔμμεν I. 8. 28.

εὐεργεσία] pl., *acts of kindness* καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται (sc. Λάμπων i. e. towards his guests) I. 6. 70.

εὐεργέτας] adj., *munificent* φίλοις ἄνδρα μᾶλλον εὐεργέταν πραπίσιν O. 2. 94. pro subs., *benefactor*, "ξείνοις — εὐεργέται δεῖπν' ἐπαγγέλλοντι" P. 4. 30. τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι P. 2. 24. ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι P. 5. 44. ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν γείτον' ἀμειβομένοις εὐεργέταν ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι pr. I. 1. 53.

εὐερκής] *beautifully enclosed* Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος (sc. μαρτυρήσει ὅσα ἐνίκησε) O. 13. 109. "ἐμὰν ματέρα λιπόντες καὶ ὅλον οἶκον εὐερκέα" P. 4. 45.

εὐζοία] *good living* δραπὼν — ἱερὸν εὐζοίας ἄωτον (Schr.: εὐζῴας Bergk: εὖ ζωᾶς codd.) Πα. 4. 131.

εὐήρᾱτος, -ον] *well loved* ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων σταθμῶν O. 5. 9. σὺν δὲ φιλοφροσύναις εὐηράτοις O. 6. 98. ῥίζαν ἀπείρου τρίταν εὐήρατον (i. e. Λιβύαν) P. 9. 8. εὐηρ[ατ (supp. Blass) ?fr. 333a. 14.

εὐθαλής] *flourishing* met. καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα υἱὸς εὐθᾶλεῖ

συνέμειξε τύχᾳ P. 9. 72. εὐ]θαλέος ὑγιε[ίας Πα. 6. 181.

εὔθρονος, -ον] *on splendid thrones* εὐθρόνοις Κάδμοιο κούραις (εὔφρονος Π.) O. 2. 22. "εὐθρόνοις Ὥραισι" P. 9. 60. εὐθρόνου Κλεοῦς N. 3. 83. Ἀφροδίτας εὐθρόνου I. 2. 5.]εὐθρονω[Θρ. 2. 2.

εὐθύγλωσσος] *of straightforward speech* εὐθύγλωσσος ἀνὴρ P. 2. 86.

εὐθῦμάχας] *fighting fairly* εὐθυμάχαν — πελώριον ἄνδρα (the boxer, Diagoras) O. 7. 15.

Εὐθῦμένης] probably maternal uncle to Pytheas and Phylakidas, cf. N. 5. 43, Severyns, Bacchylide, 42ff. τὺ δ' Αἰγίναθε δίς, Εὐθύμενες, — ποικίλων ἔψαυσας ὕμνων N. 5. 41. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων Εὐθυμένει τε I. 6. 58.

εὐθῡμία] *joy* ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει I. 1. 63. πρὶν ὀδυνηρὰ γήραος σ[— μ]ολεῖν, πρίν τις εὐθυμίᾳ σκιαζέτω νόημ' Πα. 1. 2. pl., *moments of joy*, εὐθυμιᾶν τε μέτα καὶ πόνων O. 2. 34. pro pers., τί ἔρδων φίλος σοί τε, καρτερόβρεντα Κρονίδα, φίλος δὲ Μοίσαις, Εὐθυμίᾳ τε μέλων εἴην fr. 155.

εὔθῡμος, -ον] *cheerful* φέρειν γῆρας εὔθυμον ἐς τελευτάν O. 5. 22.

εὐθύνω] *set on a straight path* Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον O. 13. 28. εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι P. 1. 46. "Ἱππόταις εὔθυνε λαοῖς δίκας" P. 4. 153. εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα, οὖρον ἐπέων εὐκλέα N. 6. 28.

εὐθύπ'νοος] *with unswerving blasts* εὐθυπνόου Ζεφύροιο πομπαὶ N. 7. 29.

εὐθῡπομπός] *guiding straight* πατρίαν εἴπερ καθ' ὁδὸν νιν εὐθυπομπὸς αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις N. 2. 7.

εὐθῡπορέω] a. *travel straight along* c. acc. ὕβριος ἐχθρὰν ὁδὸν εὐθυπορεῖ O. 7. 90. ε]ὐθυπορήσαν[τ (supp. Bowra, Zuntz) Πα. 13. b. 10. b. causal, *hold, direct straight* αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι (of boxing) I. 5. 60.

εὐθύς] adj. a. *straight, straightforward* εὐθὺν δὲ πλόον καμάτων ἐκτὸς ἐόντα δίδοι O. 6. 103. ναῶν πλόον εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν (v. l. εὐθῦν(αι), εὔθυν(ε). Σ.) O. 7. 33. στάδιον μὲν ἀρίστευσεν εὐθὺν τόνον ποσσὶ τρέχων O. 10. 64. ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμβον O. 13. 93. χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ N. 1. 25. εὐθεῖα δὴ (ἐστι) κέλευθος ἀρετὰν ἑλεῖν fr. 108a. 2. b. *correct: upright, straightforward* τόλμα τέ μοι εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν O. 13. 12. κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών P. 3. 28. πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ N. 10. 12.

εὐθύς] a. *at once, straightway* adv. ἔννεπε δ' — εὐθὺς Ἀπόλλων O. 8. 41. κελήσατό μιν — θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ O. 13. 82. ἀναβαὶς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν O. 13. 86. ἂν δ' εὐθὺς ἁρπάξαις P. 4. 34. μῆτιν ἐὰν εὐθὺς ἀμείβετο P. 9. 39. εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον N. 1. 54. εὐθὺς δ' ἀπανάνατο νύμφαν N. 5. 33. b. *directly* τάχα δ' εὐθὺς ἰὼν P. 4. 83. "ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Χίρωνος αὐτίκ' ἀγγελίαι" (εὐθὺ coni. Hermann) I. 8. 41.

εὐθύτομος, -ον] *straight cut* εὐθύτομον τε κατέθηκεν Ἀπολλωνίαις ἀλεξιμβρότοις πεδιάδα πομπαῖς ἔμμεν ἱππόκροτον σκυρωτὰν ὁδόν (εὐθύτονον c Σ coni. Er. Schmid) P. 5. 90.

εὔιππος, -ον] *with splendid horses* εὐίππων — Τυνδαριδᾶν O. 3. 39. Ἀμαζόνας εὐίππους O. 8. 47. εὐίππου Φλεγύα θυγάτηρ P. 3. 8. εὐίππου βασιλῆι Κυράνας P. 4. 2.

εὔκαρπος, -ον] *fruitful* εὐκάρποιο γαίας μέτωπον P. 1. 30. ἀριστεύοισαν εὐκάρπου χθονὸς Σικελίαν N. 1. 14. Θραικίαν γαῖαν ἀμπελόεσσάν τε καὶ εὔκαρπον Πα. 2. 26.]ν εὐκάρπ[ου (supp. Snell, qui χθον]ὸς ex alio frag. papyri add.) fr. 215b. 12.

εὐκλεής] (εὐκλέϊ, -έ(α), -εᾶ coni.: -έων, -έας.) *glorious* εὐκλέας ὀιστοὺς ἱέντες O. 2. 90. οἷς — αἰδοία ποτιστάξῃ χάρις

εὐκλέα μορφάν O. 6. 76. παρ' εὐκλέι Δίρκᾳ (byz.: εὐκλεεῖ codd., cf. Wil., Verskunst, 59) O. 10. 85. πάνδοκον ναὸν εὐκλέα διανέμων P. 8. 62. "δέξεται εὐκλέα νύμφαν" P. 9. 56. ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον, εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων (Er. Schmid: εὐκλέα codd: -εέα scribebam" Schr., cf. Παρθ. 2. 38) P. 12. 24. τόν, ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ (Calliergus: εὐκλεεῖ codd., cf. O. 10. 85) N. 2. 24. ὃς τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ (Mosch.: -εεῖ codd., cf. O. 10. 85.) N. 3. 68. πῶς δὴ λίπον εὐκλέα νᾶσον N. 5. 15. εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα, οὖρον ἐπέων εὐκλέα N. 6. 29. νᾶσον εὐκλέα τάνδε κοσμεῖν N. 6. 46. εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν I. 3. 7. ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν εὐκλέων ἔργων I. 4. 23. ε]ὐκλέα — χάριν Πα. 2. 103. πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν fr. 75.5.

εὐκλεΐζω] *make famous* Αἰγίνᾳ τε γάρ, φαμί, Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι (sc. Τελεσικράτη; εὐκλέιξας coni. Hermann) P. 9. 91.

ἐυκτήμων] *wealthy* προγόνων ἐυκτήμονα ζαθέαν ἄγυιαν N. 7. 92.

εὔκυκ'λος, -ον] *in a splendid circle* εἶδεν δ' εὔκυκλον ἕδραν, τὰν οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι δῶρα καὶ κράτος ἐξέφαναν N. 4. 66.

εὐλογία] *praise* ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς O. 5. 24. οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος N. 4. 5. ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι I. 3. 3. ὔμμε τ' — τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν — ῥαινέμεν εὐλογίαις I. 6. 21.

εὔμαλλος, -ον] *of fine wool* φέρε δ' εὔμαλλον μίτραν I. 5. 62.

εὐμᾰρής] *easy* c. inf. παύροις δὲ πράξασθ' εὐμαρές P. 3. 115. οὐκέτι πρόσω ἀβάταν ἅλα κιόνων ὕπερ Ἡρακλέος περᾶν εὐμαρές N. 3. 21. συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας N. 11. 33.

εὐμᾰχᾰνία] *(poetic) capability, resource* ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν (sc. μοι) I. 4. 2. ἐπεύχομαι δ' Οὐρανοῦ τ' εὐπέπλῳ θυγατρὶ Μναμοσύνᾳ κόραισί τ' εὐμαχανίαν διδόμεν Πα. 7B. 17.

εὐμενέω] *show kindness to* c. acc. Ἄδματος ἷκεν καὶ Μέλαμπος εὐμενέοντες ἀνεψιόν P. 4. 127.

εὐμενής] *kindly* of gods, and things inspired by gods. ἐπ' εὐμενεῖ τύχᾳ O. 14. 16. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις P. 2. 25. εὐμενεῖ νόῳ of Apollo P. 8. 18. παρθένος εὐμενὴς Ἑκάτα Πα. 2. 78. Λατόος ἔνθα με παῖδες εὐμενεῖ δέξασθε νόῳ Πα. 5. 45.

εὐμενία] *good will* ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ δέξαι στεφάνωμα τόδ' P. 12. 4.

εὔμηλος, -ον] *rich in flocks* εὐμήλοιο — Ἀρκαδίας O. 6. 100.

Εὔμητις] daughter of Pindar, according to Vit. Pind. P. Oxy. 2438, 24sq. Πρ]ωτ[ο]μάχην κα[ὶ Εὔμητι]ν ὧν μνημονε[ύει ἐν τ]ῇ ᾠδῇ ἧς ἡ ἀρχή· ὁ Μοισαγέτας με (supp. Lobel) = fr. 94c.

εὐνά] (-ᾶς, -άν; -αί, αἶς) **a.** *marriage* θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς O. 7. 6. ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες I. 8. 30. **b.** *embrace, love-making* ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον O. 9. 44. Ἥρας — τὰν Διὸς εὐναὶ λάχον πολυγαθέες P. 2. 27. εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν ἔβαλον P. 2. 35. καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ P. 9. 12. "τοῦτο — αἰδέοντ', ἀμφανδὸν ἀδείας τυχεῖν τὸ πρῶτον εὐνᾶς" P. 9. 41. ὡς ἦρα νυμφείας ἐπεῖρα κεῖνος ἐν λέκτροις Ἀκάστου εὐνᾶς N. 5. 31. ἐρατειναῖς ἐν εὐναῖς μαλακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι fr. 122. 7.

εὐνάζω] **a.** *put to bed* ἑορτὰ — ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις Pindar speaks of his birth in a Pythian year fr. 193. met., οὕνεκεν οὔ σε παιηόνων ἄδορπον εὐνάξομεν (sc. Αἴγιναν) Πα. 6. 128. **b.** pass. *sleep*

with ἐλθόντος γὰρ εὐνάσθη ξένου λέκτροισιν ἀπ' Ἀρκαδίας (sc. Κορωνίς) P. 3. 25.

εὐνάν?] v. εὔαν.

εὔνοια?] v. λατερπής.

εὐνομία] *concord, love of order* ἀπόλεμον ἀγαγὼν ἐς πραπίδας εὐνομίαν P. 5. 67. τὰν δὲ λαῶν γενεὰν δαρὸν ἐρέπτοι σώφρονος ἄνθεσιν εὐνομίας Πα. 1. 10. pro pers., Θέμις θυγάτηρ τέ οἱ σώτειρα — μεγαλόδοξος Εὐνομία O. 9. 16. ἐν τᾷ γὰρ Εὐνομία ναίει κασιγνήτα τε — Δίκα καὶ — Εἰρήνα O. 13. 6.

εὔνομος, -ον] *well ordered, harmonious* τὸν εὐνομώτατον ἐς ἔρανον O. 1. 37. μοῖραν δ' εὔνομον αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν N. 9. 29. τάνδ' ἐς εὔνομον πόλιν (Aigina) I. 5. 22.

Εὐξάντιος] son of Minos and Dexithea (Bacch. 1. 118), king of Keos. λόγον ἄνακτος Εὐξαν[τίου] ἐπαίνεσα [Κρητ]ῶν μαινομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν, πολίων δ' ἑκατὸν πεδέχειν μέρος ἕβδομον Πασιφάας ⟨σὺν⟩ υἱοῖσι Πα. 4. 35. cf. Σ Πα. 4. 60.

Εὔξεινος] (cf. ἄξεινος) *hospitable* ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς νᾶσον (sc. ἔχει: i. e. the Black sea) N. 4. 49.

Εὐξενίδας] *descended from Euxenos* Εὐξένιδα πάτραθε Σώγενες N. 7. 70.

εὔοδμος, -ον] *sweet smelling* [Δᾶλ]ον ἀν' εὔοδμον (supp. Housman) Πα. 2. 97. εὔοδμον ἐπάγοισιν ἔαρ φυτὰ νεκτάρεα fr. 75. 15.

εὐορκία] *fidelity to oaths* οἵτινες ἔχαιρον εὐορκίαις O. 2. 66.

εὐπάραος, -ον] *fair cheeked* εὐπαράου— Μεδοίσας (Bergk: εὐπαράου, codd., def. Forssman, 152) P. 12. 16.

εὔπεπ'λος, -ον] *with beautiful peplos* εὐπέπλῳ θυγατρὶ Μναμοσύνᾳ (ἐυπέπλῳ Π, sed "non nisi ante duas consonantes," not. Snell) Πα. 7B. 15.

εὐπέτᾰλος, -ον] *leafy* δάφνας εὐπετάλου Παρθ. 2. 69.

εὐπλεκής] *well woven*]ἀοιδαῖς ἐν εὐπλε[κέσσι Πα. 3. 12.

εὐπρᾱγία] *prosperity, success* πολλαὶ δ' ὁδοὶ σὺν θεοῖς εὐπραγίας O. 8. 14. νέᾳ δ' εὐπραγίᾳ χαίρω τι P. 7. 18.

εὐρησιεπής] *fluent in verse* εἴην εὑρησιεπὴς ἀναγεῖσθαι πρόσφορος ἐν Μοισᾶν δίφρῳ O. 9. 80.

Εὔριπος] the strait between Euboia and the mainland. Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας at Aulis. P. 11. 22. Εὐρίπου τε συνέτεινε χῶρον[Πα. 9. 49.

εὑρίσκω] (εὑρίσκει, -οντι; -ίσκων: fut. εὑρήσεις, -ει: aor. εὗρε(ν), -ον; εὕροις; εὑρέτω; εὑρών, -όντος, -όντι, -όντα, -όντεσσιν; εὑροῖσ(α); εὑρεῖν, εὑρέμεν. med. impf. εὑρίσκοντο: aor. εὕρετο; εὕρηται; εὑρόμενον; εὑρέσθαι.) a. in general *find* ἐπίκουρον εὑρὼν ὁδὸν λόγων O. 1. 110. Μοῖσα — παρέστα μοι νεοσίγαλον εὑρόντι τρόπον — φωνὰν ἐναρμόξαι O. 3. 4. τοῦτο δ' ἀμάχανον εὑρεῖν O. 7. 25. ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα O. 7. 89. σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν — εὗρεν θεόθεν O. 12. 8. ἐπιχώριον μάντιν ἄσμενος εὗρεν O. 13. 74. καὶ πᾶσαν κάτα Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν O. 13. 113. ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν P. 2. 64. "ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος" P. 4. 50. εὗρε παγὰν ἀμβροσίων ἐπέων P. 4. 299. ἄκουσεν Δαναόν ποτ' ἐν Ἄργει οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι — ἑλεῖν ὠκύτατον γάμον P. 9. 113. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν κεν εὕροις ἐς Ὑπερβορέων ἀγῶνα θαυμαστὰν ὁδόν P. 10. 29. κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν γλῶσσαν εὑρέτω κελαδῆτιν N. 4. 86. καὶ ταῦτα μὲν παλαιότεροι ὁδὸν ἀμαξιτὸν εὗρον N. 6. 54. χρὴ νιν (= ἀρετὰν) εὑρόντεσσιν ἀγάνορα κόμπον μὴ φθονεραῖσι φέρειν γνώμαις I. 1. 43. πέφνεν δὲ σὺν κείνῳ Μερόπων ἔθνεα καὶ τὸν βουβόταν οὔρεϊ ἴσον Φλέγραισιν εὑρὼν Ἀλκυονῆ I. 6. 33. εὑρίσκει fr. 6a. l. εὗρεν fr. 44. ταῦτα θεοῖσι μὲν πιθεῖν σοφοὺς δυνατόν, βροτοῖσιν δ' ἀμάχανο[ν εὑ]ρέμεν Πα. 6. 53. θάνατον κεροέσσᾳ εὑρέμεν ματεῖσ' ἐλάφῳ

ἥμερος, (-α), -ον] (ἅμερ- codd., hyperdorismum agnovit Schr.: v. Forssman, 41ff.) a. *calm, quiet* λίσσομαι νεῦσον, Κρονίων, ἥμερον ὄφρα κατ' οἶκον — ἀλαλατὸς ἔχῃ P. 1. 71. ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ τελέθει πρὸς γῆρας αἰὼν ἡμέρα N. 9. 44. b. *gentle, kind* τέκτονα νωδυνίας ἥμερον γυιαρκέος Ἀσκλαπιόν P. 3. 6. Ὧρα πότνια, — τὸν μὲν ἡμέροις ἀνάγκας χερσὶ βαστάζεις ἕτερον δὲ ἑτέραις (v. l. ἀμάρας.) N. 8. 3. c. dat., τρισολυμπιονίκαν ἐπαινέων οἶκον ἥμερον ἀστοῖς O. 13. 2. c. *low, soft* γαρυέμεν ἡμέρᾳ ὀπί (Benedictus: θαμερᾷ, θεμερᾷ codd.) N. 7. 83.

ἡμερόω] (ἀμερ- codd., v. Forssman, 41ff.) *pacify* πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ, ναυτιλίαισί τε πορθμὸν ἡμερώσαις (sc. 'Ηρακλέης: καθάρας ἀπὸ λῃστῶν καὶ θηρίων. Σ.) I. 4. 57, cf. Wil. on Eur., Her. 20.

ἡμίθεος] *demigod, hero,* of the Argonauts. ἡμιθέοισιν 'Ιάσονος αἰχματᾶο ναύταις P. 4. 12. ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα P. 4. 184. κεῖνος — ἡμιθέων πλόος P. 4. 211.

ἡμίονος] *mule* ἁμίλλαις, ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε O. 5. 7. ζεῦξον ἤδη μοι σθένος ἡμιόνων O. 6. 22. ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας ἵκετο σπεύδων P. 4. 94.

ἥμισυς] n. s. pro subs., *half* "ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών, ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν" (sc. τοῦ χρόνου. Σ.) N. 10. 87.

ἦρα] (= ἄρα, cf. ἦ b. α.: ἄρα codd.: ἆρα Mosch, Boeckh: ἦρα Schr.) equivalent in sense to ἄρα, occupying second position. a. marking summarization of previous thought. ὣς ἦρα θεὸς σάφα εἴπαις Ξάνθον ἤπειγεν O. 8. 46. ὣς ἦρα εἰπὼν I. 6. 55. ἔδοξ' ἦρα καὶ ἀθανάτοις ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν I. 8. 59. b. introducing expansion of previous thought: *viz.* συνέπαξε λόγον, ὣς ἦρα νυμφείας ἐπεῖρα

κεῖνος ἐν λέκτροις Ἀκάστου εὐνᾶς N. 5. 30. c. δ' ἦρα, marking realization of previous thought. (An oracle had prophesied that Jason would come.) ὁ δ' ἦρα χρόνῳ ἵκετ' P. 4. 78.

῞Ηρα] (῞Ηρα, -ας, -ᾳ, -αν.) a. family relationships. husband is Zeus: ῞Ηρας πόσιν τε (Bothe: ῞Ηραν codd.) N. 7. 95. sister of Hestia: Ἑστία, Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου ῞Ηρας N. 11. 2. mother of Eleithuia: παῖ μεγαλοσθενέος, ἄκουσον, ῞Ηρας (sc. Ἐλείθυια) N. 7. 2. mother in law of Herakles: χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς ῞Ηρας I. 4. 60. b. as patron and cult goddess. πρῶτον μὲν ῞Ηραν Παρθενίαν κελαδῆσαι (at Stymphalos) O. 6. 88. ῞Ηρας τ' ἀγῶν' ἐπιχώριον νίκαις τρισσαῖς, ὦ Ἀριστόμενες, δαμάσσας ἔργῳ (ὡς καὶ ἐν Αἰγίνῃ Ἡραίων ἀγομένων κατὰ μίμησιν τοῦ ἐν Ἄργει ἀγῶνος. Σ.) P. 8. 79. as patron goddess of the city of Argos, where was held her festival, the Heraia or Hekatombaia: Ἄργος ῞Ηρας δῶμα θεοπρεπὲς ὑμνεῖτε N. 10. 2. ἀγών τοι χάλκεος δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν ῞Ηρας ἀέθλων τε κρίσιν N. 10. 23. ἔμολεν ῞Ηρας τὸν εὐάνορα λαὸν i. e. to Argos N. 10. 36. c. epithets. χρυσόθρονον ῞Ηραν N. 1. 38. μεγαλοσθενέος — ῞Ηρας N. 7. 2. λευκωλένῳ — ῞Ηρᾳ Πα. 6. 88. cf. τελείᾳ — ματέρι N. 10. 18. d. attacked by Ixion, μαινομέναις φρασὶν ῞Ηρας ὅτ' ἐράσσατο (sc. Ἰξίων) P. 2. 27. helps the Argonauts, τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν ῞Ηρα ναὸς Ἀργοῦς P. 4. 184. cf. test., fr. 62. hates Herakles, οὐ λαθὼν χρυσόθρονον ῞Ηραν κροκωτὸν σπάργανον ἐγκατέβα N. 1. 38.]῞Ηρας ἐφετμαῖς fr. 169. 44. strives with Apollo at Troy, λευκωλένῳ ἄκναμπτον ῞Ηρᾳ μένος ἀντερείδων Πα. 6. 88. e. test., v. ἀλκυών, fr. 62. Ῥῆσος, fr. 262. ῞Ηφαιστος, fr. 283. Ἡρακλέης, fr. 291.

Ἡρακλέης] (-έης, -έος, -ἕος, -εῖ, -ῆι, -έα, -εες.) a. personalia. son of Zeus, τῷ (Ἀμφιτρύωνι) ὄψιν ἐειδόμενος ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν σπέρμ' ἀδείμαντον φέρων Ἡρακ'λέος N. 10. 17, cf. O. 10. 44, P. 9. 84, I. 7. 7. ἥρως θεός N. 3. 22. ἀνήρ I. 4. 53. son of Alkmena, σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ P. 11. 3. descendant of Alkaios, Ἡρακ'λέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν O. 6. 68, cf. Probus ad Virg., Ecl. 7. 61, initio Alcidem nominatum post Herculem — ab Hera —, quod eius imperiis opinionem famamque virtutis sit consecutus fr. 291. married to Hebe in Olympos N. 10. 18. v. also Ἀλκμήνα, Ἀμφιτρυωνιάδας, Ἥβα. b. as family hero. progenitor of the Eratidai through his son Tlepolemos, Ἡρακ'λέος εὐρυσθενεῖ γέννᾳ O. 7. 22. progenitor of the Herakleidai, ὀλβία Λακεδαίμων, μάκαιρα Θεσσαλία. πατρὸς δ' ἀμφοτέραις ἐξ ἑνὸς ἀριστομάχου γένος Ἡρακλἕος βασιλεύει P. 10. 3. Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ ἔνασσεν (sc. Ἀπόλλων) ἀλκάεντας Ἡρακ'λέος ἐκγόνους Αἰγιμιοῦ τε P. 5. 71. c. patron and founder. founder of the Olympiad Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακ'λέης ἀκρόθινα πολέμου O. 2. 3. κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας ἀτρεκὴς Ἑλλανοδίκας — Αἰτωλὸς ἀνὴρ O. 3. 11. θρασυμάχανος — Ἡρακλέης — πατρὶ ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον ἀέθλων O. 6. 68. ὕπατον δ' ἔσχεν Πίσα Ἡρακλέος τεθμόν N. 10. 33. πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις N. 11. 27. cf. O. 10. 22ff. patron of Thebes, Ἡρακ'λέος ὀλβίαν πρὸς αὐλάν N. 4. 24, cf. fr. 29. 4. patron of games, ἀγώνων μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακ'λεῖ διέποντι θάλειαν (sc. Διόσκουροι) N. 10. 53. connected with Tiryns O. 10. 31, I. 6. 28. d. his adventures and fame. fights Poseidon, Apollo, Hades, Ἡρακ'λέης σκύταλον τίναξε χερσίν O. 9. 30. kills Kteatos and Eurytos O. 10. 27ff. kills Moliones and destroys the city of Augeas, δάμασε καὶ κείνους Ἡρακλέης O. 10. 30. is defeated by Kyknos, τράπε

δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον 'Ηρακ'λέα O. 10. 16. Hera attempts to kill him, ἐγὼ δ' 'Ηρακ'λέος ἀντέχομαι προφρόνως N. 1. 33ff., cf. Πα. 20. friend and companion of the Aiakidai, τοὶ καὶ σὺν μάχαις δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι 'Ηρακλῆι πρότερον, καὶ σὺν 'Ατρείδαις (Tricl.: 'Ηρακλεῖ codd.) I. 5. 37, cf. I. 6. 27—31, fr. 172, N. 4. 25ff. 'Ηράκλεες, σέο δὲ προπράον' ἔμμεν ξεῖνον ἀδελφεόν τ' (sc. Αἰακόν) N. 7. 86. πέφνεν δὲ σὺν κείνῳ (= Τελαμῶνι) Μερόπων ἔθνεα καὶ τὸν βουβόταν — 'Αλκυονῆ, σφετέρας δ' οὐ φείσατο χερσὶν βαρυφθόγγοιο νευρᾶς 'Ηρακ'λέης I. 6. 35. cf. N. 4. 26—7, test. fr. 33a. fights Geryon and Diomedes at behest of Eurystheus O. 3. 28, fr. 81. τεκμαίρομαι ἔργοισιν 'Ηρακ'λέος fr. 169. 5. his journey to the west, κιόνων ὕπερ 'Ηρακλέος — ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτάς N. 3. 21. 'Ηρακλέος σταλᾶν O. 3. 44. v. test. fr. 256, I. 4. 12. his general fame, κωφὸς ἀνήρ τις, ὃς 'Ηρακ'λεῖ στόμα μὴ περιβάλλει P. 9. 87. τὸ πάντολμον σθένος 'Ηρακλέος — ὑμνήσομεν fr. 29. 4. for accounts of his exploits v. O. 10. 24ff., N. 1. 61ff., N. 3. 22ff., I. 6. 27ff. **e.** test. Quint., Inst., 8. 6. 71, Hercules impetum adversus Meropas qui in insula Coo dicuntur habitasse non igni nec ventis nec mari sed fulmini similem fuisse fr. 33a Snell, = fr. 50 Schr. Strabo, 2. 91. 7, ὥς φησιν ἐν τοῖς ὕμνοις Πίνδαρος οἱ μεθ' 'Ηρακλέους ἐκ Τροίας πλέοντες διὰ παρθένιον 'Έλλας πορθμόν, ἐπεὶ τῷ Μυρτῴῳ συνῆψαν, ἐς Κῶν ἐπαλινδρόμησαν Ζεφύρου ἀντιπνεύσαντος fr. 33a Snell, = fr. 51 Schr. Corp. Paroem. Gr., Supp.1, p. 61 'Ηράκλειος ψώρα· ἐπὶ τῶν 'Ηρακλείων λουτρῶν δεομένων καὶ θεραπείας. 'Αθηνᾶ γὰρ τῷ 'Ηρακλεῖ πολλαχοῦ ἀνῆκε θερμὰ λουτάρια καὶ ἀνάπαυλαν τῶν πόνων ὡς μαρτυρεῖ καὶ Πίνδαρος ἐν 'Ύμνοις fr. 51e. Σ Hom. Φ 194, 'Ηρακλῆς εἰς 'Άιδου κατελθὼν ἐπὶ τὸν Κέρβερον κ. τ. ἑ. fr. 294a, cf. titulum Δ. 2. Philostr., Imag. 2. 24, 'Ηρακλῆς εἰς τὴν τοῦ Κορωνοῦ στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον fr. 168a. Strabo, 3. 5. 5, εἰς πύλας Γαδειρίδας — ὑστάτας ἀφῖχθαι — τὸν 'Ηρακλέα (verba εἰς πύλας Γαδειρίδας Pindaro tribuuntur) fr. 256. **f.** frag.]'Ηρακλέης fr. 140a. 51 (26).]'Ηρακλέος εξα[fr. 169. 42.

'Ηρᾱκλεῖδαι] *descendants of Herakles* θελόντι δὲ Παμφύλου καὶ μὰν 'Ηρακλειδᾶν ἔκγονοι ὄχθαις ὕπο Ταυγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ Δωριεῖς i. e. the Hylleis, a Dorian tribe claiming descent from Hyllos, son of H. P. 1. 63.

'Ηρᾱκλειος, (-α), -ον] *of Herakles* ἀνορέαις δ' ἐσχάταισιν οἴκοθεν στάλαισιν ἅπτονθ' 'Ηρακλείαις I. 4. 12. ὁπότ' 'Αμφιτρύωνος ἐν θυρέτροις σταθεὶς ἄλοχον μετῆλθεν 'Ηρακλείοις γοναῖς (sc. Ζεύς) I. 7. 7.

ἠρῐνός] *of spring* ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει P. 9. 46.]πετάλοις ἠρ[Δ. 3. 19.

'Ηρόδοτος] son of Asopodoros, of Thebes, victor in Isthmian chariot race. ἀλλ' ἐγὼ 'Ηροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας I. 1. 14. πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος 'Ερμᾶς 'Ηροδότῳ ἔπορεν ἵπποις ('Ηροδότοι' ἔπορεν coni. Turyn: 'Ηροδότῳ πέπορεν Maas) I. 1. 61.

ἡρώιος, -ῷος] *of, concerning heroes* ἐν ἡρωίαις ἀρεταῖσιν οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ O. 13. 51. ἡροίαις δὲ πομπαῖς θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις (Schr.: ἡρωίαις codd.: *in honour of heroes*: γίγνεται ἐν Δελφοῖς ἥρωσι ξενία. Σ.) N. 7. 46.

ἡρωΐς] **a.** subs., *demigoddess* ἔνθα (sc. ἐν τῷ θησαυρῷ 'Ισμηνίῳ) καί νυν ἐπίνομον ἡρωίδων στρατὸν ὁμαγερέα καλεῖ συνίμεν (sc. 'Απόλλων) P. 11. 7. **b.** dub., f. adj., *of a hero* μνάσει δὲ καί τινα ναίο[ν]θ' ἑκὰς ἡρωίδος θεαρίας (but perhaps subs., cf. Plut., qu. Gr. 293c) Πα. 14. 36.

ἥρως] (ἥρως, ἥρωος, ἥρωι, ἥρωα, ἥροα, ἥρως: ἥρωες, ἥροες, ἡρώων, ἥρωσι, ἥρωας, ἥροας.) *hero*, either because a

parent is divine, or because of outstanding achievements in legendary times. No accurate distinction is observed between ἥρως and ἀνήρ, cf. P. 2. 29, 31. τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν O. 2. 2. ἥρως θεός Herakles N. 3. 22. ἥροες ἀντίθεοι (Schr.: ἥρωες codd.: Argonauts) P. 4. 58. ἥροας ἀντιθέους (Schr.: ἥρωας codd.: the Greeks at Troy) P. 1. 53. μάκαρ μὲν ἀνδρῶν μέτα ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής Battos P. 5. 95. (ἄνδρες) ἐς δὲ τὸν λοιπὸν χρόνον ἥροες ἁγνοὶ πρὸς ἀνθρώπων καλέονται fr. 133. 5. ἥρωι — Εἰλατίδᾳ. Aipytos O. 6. 33. "ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις." Aiakos O. 8. 42. Aiakidai: νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς ὑπερτάτους ἥρωας ἐν μάχαις P. 8. 27. ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων Αἰακίδας ἐγέραιρεν N. 5. 7. καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ λόγον ἐκέρδανεν I. 5. 26. Πηλέος ἀίει κλέος ἥρωος I. 6. 25. "ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας" Peleus I. 8. 45. neighbours of Aiakos: ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες N. 8. 9. the Argonauts: ἀμπνοὰν δ' ἥρωες ἔστασαν P. 4. 199. Λυδὸς ἥρως Πέλοψ O. 9. 9. εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν Amphitryon O. 9. 62. ἥρως — αἷμα πρώτιστος — ἐπέμειξε θνατοῖς Ixion P. 2. 31. 'Ασκλαπιόν, ἥροα (Schr.: ἥρωα codd.) P. 3. 7. ἥρως ἐπ' ἀκταῖσιν θορὼν Euphamos P. 4. 36. "Ἄδραστος ἥρως" P. 8. 51. ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς Adrastos N. 9. 9. βασιλεύς, ἐξ 'Ωκεανοῦ γένος ἥρως δεύτερος Hypseus P. 9. 14. ἡρώων, ὅσοι γαμβροὶ σφιν ἦλθον sons of Aigyptos P. 9. 116. θάνεν μὲν αὐτὸς ἥρως 'Ατρεΐδας Agamemnon P. 11. 31. "σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις στάξεν ἥρως" Tyndareus N. 10. 82. κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι Kastor and Iolaos I. 1. 17. ἥρωα Τήνερον Πα. 7. 13. Τροίαν, ἥρωσι μόχθον. the Greeks at Troy I. 6. 28. πέτρῳ ἥροάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν victims of Alkyoneus N. 4. 29. ἥρωες αἰδοίαν ἐμείγνυντ' ἀμφὶ τράπεζαν θαμά (Stephanus: ἥρως — ἐμίγνυτο codd. Plutarchi) fr. 187. frag.]ἥρωι[Πα. 7B. 9. ἥρωί τε βω[Πα. 13a. 1.]ἄωτος ἡρώω[ν fr. 111a. 7. ἡ]ρώων α[fr. 140a. 75 (49).

'Ησίοδος] the poet. Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων 'Ησιόδου μάλα τιμᾷ τοῦτ' ἔπος (cf. Hes., Op. 412, μελέτη δέ τε ἔργον ὀφέλλει) I. 6. 67.

ἡσυχᾷ] *quietly* τίς ἄκρον ἑλὼν ἡσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν; (Hermann: ἡσυχία(ι) codd.) P. 11. 55. θρόον ὕμνων δόνει ἡσυχᾷ N. 7. 82.

ἡσῠχία] (-ία, -ίας, -ίαν, -ίᾳ: ἀσυχ- scripsit passim Boeckh: v. Forssman, 48ff.) *peace, quiet* καὶ πρὸς ἡσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον (sc. Ψαύμιδα) O. 4. 16. δᾶμον γεραίρων τράποι σύμφωνον ἐς ἡσυχίαν P. 1. 70. ἡσυχίᾳ θιγέμεν, μήτ' ὤν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν P. 4. 296. esp., rest from toil: ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον ὀλβίοις ἐν δώμασι (sc. 'Ηρακλέα) N. 1. 70. ἡσυχία δὲ φιλεῖ μὲν συμπόσιον N. 9. 48. μόχθος ἡσυχίαν φέρει καιρῷ καταβαίνων Πα. 2. 33. pro pers., φιλόφρον 'Ησυχία, Δίκας ὦ μεγιστόπολι θύγατερ P. 8. 1. ἐρευνασάτω μεγαλάνορος 'Ησυχίας τὸ φαιδρὸν φάος fr. 109. 2. frag. ἡ]συχίαν Κέῳ[Πα. 4. 7.

ἡσῠχῐμος, -ον] *peaceful* οὐδ' ἡσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν (Mommsen: ἀσύχιμον codd.) O. 2. 32.

ἡσῠχιος, -ον] *restful* ἣ πολλάν τε καὶ ἡσύχιον βουσὶν εἰρήναν παρέχοισα πατρῴαις (v. l. ἀσύχιον) P. 9. 22.

ἤτοι] 1. = ἤ τοι, emphatic, introducing sentence. a. ἤτοι τό τε θεσπέσιον Φόρκοι' ἀμαύρωσεν γένος P. 12. 13. ἤτοι μεταΐξαις σε καὶ νῦν τεὸς μάτρως ἀγάλλει N. 5. 43. b. ἤτοι καί. ἤτοι

καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας O. 13. 84. ἤτοι καὶ ἐγὼ σκόπελον ναίων διαγινώσκομαι μὲν ἀρεταῖς Πα. 4. 21. υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν — ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν O. 12. 13. c. ἤτοι — μέν. ἤτοι Πίσα μὲν Διός O. 2. 3. d. ἤτοι — γε. ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου O. 2. 30.

2. = ἤ τοι a. in anacoluthon, alternative suppressed. ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον δαίμων, τὸ δὲ μόρσιμον οὐ παρφυκτόν, ἀλλ' ἔσται χρόνος οὗτος (others expll. ἤ τοι emphasizing σάμερον) P. 12. 29. b. ἤ — ἤτοι. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις N. 6. 5. cf. Bekker, Anec. Gr., s. v. ἤτοι· οὐκ ἄρχον, ἀλλ' ὑποτασσόμενον. Πίνδαρος Θρήνοις fr. 138, quod ad N. 6. 5 spectare censuit Boeckh, cll. Th. Mag., ecl., s. v. ἤτοι (ἐν Πινδάρῳ ἅπαξ.)

ἦτορ] (ἦτορ, ἦτορι, ἦτορ, ἦτορ.) *heart*, as seat of the thoughts and passions. εἰ δ' ἄεθλα γαρύεν ἔλδεαι, φίλον ἦτορ O. 1. 4. Ζηνὸς ἦτορ λιταῖς ἔπεισε O. 2. 79. "χεῖρες ἐὲ καὶ ἦτορ ἴσον" O. 4. 25. "μόχθου καθύπερθε νεᾶνις ἦτορ ἔχοισα" P. 9. 32. ἴυγγι δ' ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν N. 4. 35. τυφλὸν δ' ἔχει ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος N. 7. 24. ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει ἐν λυγρῷ νείκει N. 8. 24. ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν ἦτορ I. 3. 11. ἦτορι δὲ φίλῳ παῖς ἅτε ματέρι κεδνᾷ πειθόμενος κατέβαν Πα. 6. 12.

ἠύ] v. εὖ.

ἠύκομος, -ον] *with lovely hair* ἠυκόμων — Μοισᾶν O. 6. 91. ἠύκομοι — Χάριτες P. 5. 45.

ἠύπυργος] *well walled* δέξατο δ' Αἰακιδᾶν ἠύπυργον ἕδος (sc. τὸν ὕμνον: εὔπυργον codd., corr. Er. Schmid) N. 4. 12.

Θ

θάγω] *whet* met. θάξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ (Schr.: θήξα(ι)ς codd., def. Björck, Forssman; *a man could whet*) O. 10. 20.

θαέομαι] *observe* "θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς 'Αλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα" (Amphiareus prophesies) P. 8. 45. *admire*, "ταὶ δ' ἐπιγουνίδιον θασσάμεναι βρέφος αὐταῖς" (Bergk, cf. fr. 33d. 10: θακάμεναι, θηκάμεναι, θησάμεναι codd.: κατθηκάμεναι Mosch) P. 9. 62.

θαητός] (-ός, -όν; -άν; -όν, -οῖσι, -όν.) *wonderful, bewondered* θαητὸν ἀγῶνα O. 3. 36. θαητὸν μέγαρον πάξομεν O. 6. 2. θαητοῖσι γυίοις P. 4. 80. αἰσχύνοι δέ οἱ θαητὸν εἶδος (of an oak) P. 4. 264. οἳ τεὸν δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν P. 7. 12. ἐπεὶ θαητὸν εἶδος ἔπλετο of the daughter of Antaios P. 9. 108. τὸν 'Ιπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς — θαητὸν ἐν ἅλιξι θησέμεν pr. P. 10. 58. θαητὰν ἐς αἴγλαν παῖς Διὸς — μόλεν N. 1. 35. ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν — καὶ τὸ θαητὸν δέμας N. 11. 12. 'Αοσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις I. 4. 24.

θάλαμος] (-ου, -ῳ, -ον; -ων, -οις, -ους.) a. α. *chamber, hall*, pl. *mansion* κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος O. 5. 13. τοὺς δ' ἐν πολυχρύσοις θαλάμοις βιοτά (sc. εὐφραίνει) fr. 221. 3. "πρὸς Αἰήτα θαλάμους" P. 4. 160. β. esp., *bedchamber* Λικύμνιον ἐλθόντ' ἐκ θαλάμων Μιδέας (pl. pro sing.) O. 7. 29. πρὶν τελέσσαι ματροπόλῳ σὺν 'Ελειθυίᾳ, δαμεῖσα — ἐν θαλάμῳ P. 3. 11. θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ Λιβύας P. 9. 68. ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν N. 1. 42. μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις Διὸς ἄκοιτιν ἐπειρᾶτο (pl. pro sing.) P. 2. 33.

b. *inner part of a temple, sanctuary* 'Εστία, — εὖ μὲν 'Αρισταγόραν δέξαι τεὸν ἐς θάλαμον (εἰς τὸ πρυτανεῖον. Σ.) N. 11. 3. χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας (τὸ προοίμιον. Σ.) O. 6. 1. φοινικοεάνων — οἰχθέντος 'Ωρᾶν θαλάμου fr. 75. 14.

θάλασσα] (-ας, -ᾳ, -αν.) *sea* ἐν καὶ θαλάσσᾳ O. 2. 29. πολιᾶς — ἔνδον θαλάσσας O. 7. 62. 'Ιονίαν τάμνων θάλασσαν P. 3. 68. χὠπόσαι ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι — κλονέονται" P. 9. 47. πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν ὄνυμ' αὐτῶν N. 6. 48. θαλασσ[fr. 33a. ἐπῆεν γᾶν τε καὶ ⟨πᾶσαν?⟩ θάλασσαν fr. 51a. 2. Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας ἔσχατον Νείλου κέρας i. e. of lake Tanais fr. 201. μελικτὰς ὁδοιπόρους θαλάσσας fr. 340.

θαλασσαῖος] *of the sea* θαλασσαῖον — δελφῖνα P. 2. 50.

θαλάσσιος] *of the sea* θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς ὑπὸ Τροίαν N. 3. 59.

θάλεια] f. adj. *fruitful* ἀγώνων μοῖραν 'Ερμᾷ καὶ σὺν 'Ηρακλεῖ διέποντι θάλειαν N. 10. 53.

θαλερός] *blooming, buxom* θαλερὰν "Ηβαν N. 1. 71.

θαλέω] = θάλλω, q. v., for which ἐθάλησα serves as aor., N. 4. 88, N. 10. 42. [κελάρυξεν — θήλεον γάλα (codd. Plutarchi: θηλᾶν Wil.: θάλεον, -ε̮ον, Scheidewin, Bergk) •fr. 104b. 3.•]

Θαλία] a. *Festivity*, one of the Graces. ὦ πότνι' 'Αγλαΐα φιλησίμολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου παῖδες, — Θαλία τε ἐρασίμολπε O. 14. 15. b. pl., *festivity, holiday* 'Ερατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει θαλίας καὶ πόλις O. 7. 94. ἀείδετο δὲ πὰν τέμενος τερπναῖσι θαλίαις O. 10. 76. καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν (sc. πόλιν) P. 1. 38. ('Υπερβορέων) ὧν θαλίαις ἔμπεδον εὐφαμίαις τε μάλιστ' 'Απόλλων χαίρει P. 10. 34. στεφάνων καὶ θαλιᾶν τροφὸν ἄλσος 'Απόλλωνος Πα. 6. 14. dub. ex. θ̣[αλί]αν. (supp. Snell) Πα. 6. 183.

θάλλω] (θάλλει, -οντι; -ων, -οντος, -οντες, -οντας; -οισα, -οισαν: impf. ἔθαλλεν: aor. θάλησε(ν); pf. τέθᾱλεν, τεθᾱλότα.) a. *flourish, blossom* ἔντι⟨δὲ καὶ⟩ θάλλοντος ἐκ κισσοῦ στεφάνων Διο[νύσου] Θρ. 3. 3. b. causal, *make to produce* οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος O. 3. 23. c. met., *flourish, prosper* ὄγδοον θάλλει μέρος 'Αρκεσίλας P. 4. 65. παρμονίμαν θάλλοισαν εὐδαιμονίαν P. 7. 21. νιν — θῆκε δέσποιναν χθονὸς ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν (θάλλοισαν with δέσποιναν, Σ; with ῥίζαν edd.) P. 9. 8. οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ (sc. ὄλβος) I. 3. 6. τὶν δ' ἐν 'Ισθμῷ διπλόα θάλλοισ' ἀρετά I. 5. 17. θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν I. 6. 1. παρὰ δέ σφισιν εὐανθὴς πᾶς τέθαλεν ὄλβος Θρ. 7. 7. c. dat., θάλλει δ' ἀρεταῖσιν (sc. ἡ 'Οποῦς) O. 9. 16. εὑρίσκων τὰ μέσα μακροτέρῳ ὄλβῳ τεθαλότα P. 11. 53. 'Ορσοτριαίνα ἵν' ἐν ἀγῶνι βαρυκτύπου θάλησε Κορινθίοις σελίνοις (sc. Καλλικλέης) N. 4. 88. νικαφορίαις γὰρ ὅσαις †ἱπποτρόφον ἄστυ τὸ Προίτοιο θάλησεν† Κορίνθου τ' ἐν μυχοῖς N. 10. 42. (ἀρετὰς) αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος I. 4. 4. ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία *with luxuriant golden hair* I. 7. 49. τὸ δ' εὐβουλίᾳ τε καὶ αἰδοῖ ἐγκείμενον αἰεὶ θάλλει μαλακαῖς εὐδίαις Πα. 2. 52. Αἰολάδα σταθμὸν — ὑμνήσω στεφάνοισι θάλλοισα παρθένιον κάρα a chorus of girls sings Παρθ. 2. 11. κατὰ μὲν φίλα τέκν' ἔπεφνεν θάλλοντας ἥβᾳ (Boeckh: θάλλοντα codd.) fr. 171. d. frag.]θαλλο[ν]τι[Πα. 13. a. 10.

θάλος] a. *flowering garland, crown* met., μάτρωϊ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος (τὴν τῆς νίκης εὐδοξίαν. Σ.) I. 7. 24. ἀέ]ξετ' ἔτι, Μοῖσαι, θάλος ἀοιδᾶν[Δ. 1. 14. b. *offspring, child* Θέρσανδρος — 'Αδραστιδᾶν θάλος ἀρωγὸν δόμοις O. 2. 45. 'Ηρακλέης σεμνὸν θάλος 'Αλκαϊδᾶν O. 6. 68. κλεινᾶν Συρακοσσᾶν

θάλος 'Ορτυγία N. 1. 2. ἀνδρὸς δ' οὔτε γυναικός, ὧν θάλεσσιν ἔγκειμαι Παρθ. 2. 36.

θαλπνός] *warm* μηκέτ' ἀελίου σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον O. 1. 6.

θάλπω] *warm* pass., εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀλίῳ σὸς πατὴρ ἐθάλπετο N. 4. 14.

θᾰμᾰ] *often* παίζομεν φίλαν ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν O. 1. 17. [φύονται — πολιαὶ θαμὰ καὶ παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον (θαμάκι v. l.) O. 4. 27.] ἀδυμελεῖ θαμὰ μὲν φόρμιγγι O. 7. 12. μέλπονται θαμὰ σεμνὸν θεὸν P. 3. 78. "ἤ μὰν—ὤτρυνον θαμά" P. 4. 40. νόμον — λεπτοῦ διανισόμενον χαλκοῦ θαμὰ καὶ δονάκων P. 12. 25. λαὸν — θαμὰ δὴ καὶ 'Ολυμπιάδων φύλλοις ἐλαιᾶν χρυσέοις μιχθέντα N. 1. 17. θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατοι δόμοι ἐντί N. 1. 22. θαμὰ μὲν 'Ισθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον N. 2. 9. θαμά κε — ὕμνον κελάδησε καλλίνικον N. 4. 15. Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσεται 'Ισθμὸν Δωρίαν N. 5. 37. δύνασαι — θαμὰ διδόμεν N. 7. 97. θαμὰ Δ[ελφ]ῶν — ἱστάμεναι χορὸν — παρθένοι Πα. 2. 98. πεφόρητο δ' ἐπ' Αἰγαῖον θαμά Πα. 7B. 49. θαμὰ δ' ερ[Πα. 12. 5. θαμὰ γὰρ οἰκοθ[εν Δ. 4h. 11. βασιλῆος ἀταλασθίᾳ κοτέων θαμά fr. 140a. 57 (31). ἥρωες αἰδοίαν ἐμείγνυντ' ἀμφὶ τράπεζαν θαμά fr. 187.

θᾰμᾰκί(ς)] *often* φύονται — πολιαὶ θαμάκι παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον (v. l. θαμὰ καὶ) O. 4. 27. ἕπεται δέ, Θεαῖε, — εὐάγων τιμὰ — θαμάκις N. 10. 38. ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας I. 1. 28.

θαμβαίνω] *admire* τόθι δένδρεα θάμβαινε σταθείς (θαύμαινε v. l.) O. 3. 32.

θαμβέω] *be astonished at* c. acc., τὸν ἐθάμβεον "Αρτεμίς τε καὶ θρασεῖ' 'Αθάνα (Mosch: ἐθάμβευν codd.) N. 3. 50.

θάμβος] *amazement* ἔστα δὲ θάμβει δυσφόρῳ τερπνῷ τε μιχθείς N. 1. 55.

θᾰμῑνά] *often* ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους O. 1. 53. χερσὶ θαμινὰ βραχυσίδαρον ἄκοντα πάλλων N. 3. 44. Λατοίδαν θαμινὰ Δελφῶν κόραι Πα. 6. 16.

θάμνος?] *bush* θα[μν (supp. Blass) Πα. 4. 52.

θᾰνᾰτος] (-ου, -οιο, -ῳ, -ον.) *death* ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου O. 2. 31. Κύκνον τε θανάτῳ πόρεν O. 2. 82. θάνατον αἰπὺν οὐκ ἐξέφυγεν O. 10. 42. ὥρᾳ — ἅ ποτε ἀναιδέα Γανυμήδει θάνατον ἄλκε (μόρον coni. Mommsen) O. 10. 105. ὀλέσσαι οἰκτροτάτῳ θανάτῳ P. 3. 42. ἄνδρ' ἐκ θανάτου κομίσαι ἤδη ἁλωκότα P. 3. 56. ἐπὶ καὶ θανάτῳ φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις P. 4. 186. ὁ θεῖος ἀνὴρ πρίατο μὲν θανάτοιο κομιδὰν πατρός P. 6. 39. νασιώταις λίθινον θάνατον φέρων (sc. Περσεύς) P. 10. 48. μέλανος ἂν ἐσχατιὰν καλλίονα θανάτου ⟨στείχοι⟩ (Er. Schmid, Wil.: θάνατον v. l.) P. 11. 57. τᾷ Δαιδάλου δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον — Πελίαο παῖς N. 4. 59. ἀφνεὸς πενιχρός τε θανάτου παρὰ σᾶμα νέονται N. 7. 19. πεῖραν — ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι N. 9. 29. "καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ" N. 10. 77. "θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον" N. 10. 83.]τό οἱ ἔτει θανατο[Πα. 22. 10.]μαν θάνατον[Δ. 1. 36. 'Αλαλά — ᾇ θύεται ἄνδρες ὑπὲρ πόλιος τὸν ἱρόθυτον θάνατον (τὸν ἱρ. θα. secl. Sternbach) fr. 78. 3. θάνατον κεροέσσᾳ εὑρέμεν ματεῖσ' ἐλάφῳ (sc. κύων) fr. 107a. 4. σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ fr. 131b. 1.

θαρσᾰλέος] *confident* θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται N. 9. 49.

θαρσέω] *be confident* ὄρθιον ὤρυσαι θαρσέων O. 9. 110. τὸν δὲ θαρσήσαις — ὧδ' ἀμείφθη (θαρρήσας v. l.) P. 4. 101.

θάρσος] *confidence* θάρσος τε τανύπτερος ἐν ὄρνιξιν αἰετὸς ἔπλετο P. 5. 111.

[θαρρέω, v. l. P. 4. 101. v. θαρσέω.]

θᾶσσον] a. *swiftly* θᾶσσον ἔντυεν P. 4. 181. b. comp. adv., *swifter* καὶ ἀγάνορος ἵππου θᾶσσον καὶ ναὸς ὑποπτέρου O. 9. 24.

θαῦμα] *marvel* ἦ θαύματα πολλά (v. l. θαυματὰ) O. 1. 28. τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων

ἀκοῦσαι, οἷον the eruption of Etna P. 1. 26. οὐ θαῦμα σφίσιν ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν N. 10. 50.

θαυμάζω] a. *marvel (at)* ἐμοὶ δὲ θαυμάσαι θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον P. 10. 48. c. acc., "θυμὸν γυναικὸς καὶ μεγάλαν δύνασιν θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ" P. 9. 31. b. *wonder* ἀλλὰ θαυμάζω, τί με λέξοντι Ἰσθμοῦ δεσπόται fr. 122. 13.

θαυμάσιος] *wonderful* τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι P. 1. 26.

θαυμαστός] *wonderful* a. of persons. Παρρασίῳ στρατῷ θαυμαστὸς ἐὼν φάνη O. 9. 96. ἐκ δ' ἐγένοντο στρατὸς θαυμαστός P. 2. 47. ξείνοις δὲ θαυμαστὸς πατήρ P. 3. 71. Ἀελίου θαυμαστὸς υἱὸς (sc. Αἰήτας) P. 4. 241. b. of things. "θαυμαστὸς ὄνειρος" P. 4. 163. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν κεν εὕροις ἐς Ὑπερβορέων ἀγῶνα θαυμαστὰν ὁδὸν P. 10. 30. ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον N. 9. 45. θαυμαστὸν ὕμνον I. 4. 21. καὶ γὰρ ἐριζόμεναι νᾶες — θαυμασταὶ πέλονται ("eine der häufigen Umschreibungen für 'siegen', Schadewaldt, 271[1]) I. 5. 6.

[θαυματός, v. l. O. 1. 28, v. θαῦμα; coni. Er. Schmid. P. 10. 30, v. θαυμαστός.]

θεά] (-εά, -εᾶς, -ᾷ; -ᾶν.) *goddess* Athena: ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν O. 7. 42. ἀνὰ βωμῷ θεᾶς O. 13. 75. Themis: ὣς φάτο Κρονίδαις ἐννέποισα θεά I. 8. 45. Muses: φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν I. 8. 60. [Αἰγίνα θεᾶς (codd.: Αἰγίναθε δὶς Ed. Schwartz: Αἰγίνᾳ θεοῦ Er. Schmid) N. 5. 41.]]θεᾶς θ' ἑλικάμπυκ[ος (?Semele) Πα. 3. 15.

Θεαῖος] son of Oulias, of Argos, victor in wrestling in the Argive Hekatombaia. Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσχεν Θεαῖος εὐφόρων λάθαν πόνων (Hermann: Θειαῖος codd.) N. 10. 24. Θεαῖε (Boeckh: Θειαῖε codd.) N. 10. 37.

Θεανδρίδαι] a clan of Aigina, to which the victor Timasarchos belonged. Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων κάρυξ ἑτοῖμος ἔβαν N. 4. 73.

θεαρία] *sacred mission?* μνάσει δὲ καί τινα ναίο[ν]θ' ἑκὰς ἡρωΐδος θεαρίας (perhaps adj.) Πα. 14. 37.

Θεάριον] college of the sacred emissaries sent to Apollo from Aigina. τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ καὶ σεμνὸν ἀγλααῖσι μερίμναις Πυθίου Θεάριον N. 3. 70.

Θεαρίων] father of Sogenes of Aigina. παῖς ὁ Θεαρίωνος — Σωγένης N. 7. 7. Θεαρίων, τὶν δ' ἐοικότα καιρὸν ὄλβου δίδωσι N. 7. 58.

Θεία] mother of Helios by Hyperion, acc. to Hes., Theog. 371—4: v. Fränkel, W & F, 362, D & P, 554ff. μᾶτερ Ἀελίου πολυώνυμε Θεία I. 5. 1.

θείνω] *strike* σκάπτῳ θενὼν σκληρᾶς ἐλαίας ἔκτανεν — Λικύμνιον (Hartung: θένων codd.) O. 7. 28. cf. πεφνεῖν.

Θειοδάμας?] king of Dryopes, father of Hylas, killed by Herakles, v. infra Θειόδαμος. ?fr. 335. 9.

Θειόδαμος] *?god compelled*]πατρὸς ἑοῖο[—]θειόδαμον[—]πέφνε Δρυ[(Δρύ[αντα παῖδα supp. T. Lodi, sc. de Dryante a patre Lycurgo necato: Θειοδάμαν[τα] Δρύ[οπα Wil. sc. de Theiodamante Dryope ab Hercule victo) ?fr. 355. 9.

θεῖος] a. *divine* Διὸς πρὸς ὄρνιχα θεῖον eagle O. 2. 88. "φὴρ — θεῖος" Cheiron P. 4. 119. ἄστυ χρυσοθρόνου διανέμειν θεῖον Κυράνας P. 4. 261. b. *god like* ὁ θεῖος ἀνὴρ Antilochos P. 6. 38.

θέλγητρον] *attraction* θέλγητρ' ἀδονᾶς fr. 278 ad fr. 223.

θέλγω] a. *enchant* κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας (θέλγεις coni. Krause: of a lyre) P. 1. 12. b. *soothe* ἄριστος εὐφροσύνα πόνων κεκριμένων ἰατρός. αἱ δὲ σοφαὶ Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἀπτόμεναι (νιν = πόνους, Didymus: = εὐφροσύναν, Aristarchus) N. 4. 3.

θέλω] (cf. ἐθέλω. θέλοντι; θέλοι; θέλων, -οντι, -οντες.) *be ready to, wish* c. inf.

ἐσλὰ δ' ἐπ' ἐσλοῖς ἔργα θέλοι δόμεν (sc. Ζεύς) O. 8. 85. θέλοντι δὲ — αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ Δωριεῖς P. 1. 62. 'Αλεύα τε παῖδες, 'Ιπποκλέᾳ θέλοντες ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα P. 10. 5. "εἰ μὲν — αὐτὸς Οὔλυμπον θέλεις ⟨ναίειν⟩ N. 10. 84. Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδὰν γάμῳ, ἄλοχον εὐειδέα θέλων ἑκάτερος ἑὰν ἔμμεν I. 8. 28. ἀλλ' αἶνον ἐπέβα κόρος — τὸ λαλαγῆσαι θέλων κρυφόν τε θέμεν ἐσλῶν καλοῖς ἔργοις (codd., def. van Leeuwen: θέλον nom., coni. Coppola: θέλει Wil.) O. 2. 97. part. abs., *ready, willing*, τὸ Καστόρειον — θέλων ἄθρησον P. 2. 69. "εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ, θυμῷ θέλων ἀρᾶν ἄκουσας" I. 6. 43.]θέλοντι δόμεν[Πα. 16. 4.

θέμεθ'λα] (τά) a. *foundations* "Διὸς ἐν 'Αμμωνος θεμέθλοις" i. e. temple P. 4. 16. b. *foothills* ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες (Boeckh: θέμεθλα vel om. codd.) P. 4. 180.]ε Παρνασσοῦ θεμε[θλ ?fr. 338. 5.

[θεμερός; θαμερᾶ, θεμερᾶ codd. N. 7. 83. ἡμέρᾳ coni. Benedictus, invit. Σ metr.]

θεμίγονος] *born of Themis* 'Ωραί τε Θεμίγονοι Πα. 1. 6.

θεμίζω] *govern rightly* "ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαίνειν" P. 4. 141.

θεμίξενος, -ον] *of just hospitality* κατερεῖς πόθεν ἔλαβες ναυπρύτανιν δαίμονα καὶ τὰν θεμίξενον ἀρετάν. of Aigina Πα. 6. 131.

θεμίπ'λεκτος] *woven according to right usage* θεμιπλέκτοις ἀμᾶ Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος N. 9. 52.

θέμις] (θέμις, -ιτος, -ιδος?, -ιν; θέμιτες, -ίτ[ων], -ισσιν.)

1. a. *right* (divinely ordained) στῆναι μὲν οὐ θέμις οὐδὲ παύσασθαι φορᾶς (of dolphins) ?fr. 358. esp., the rights ordained by Zeus Xenios, relating to hospitality, cf. O. 8. 22 infra, καὶ ξενίου Διὸς ἀσκεῖται θέμις αἰενάοις ἐν τραπέζαις N. 11. 8. τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες (of Aigina: cf. θεμίξενος, ξεναρκής) I. 9. 5.]θεμισ[?fr. 333a. 3. b. pl. *divine ordinances* ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν Διός O. 10. 24. esp. *oracles*, "τὸν μὲν — Φοῖβος ἀμνάσει θέμισσιν" P. 4. 54. Τήνερον εὐρυβίαν θεμίτ[ων ⏑] ἐξαίρετον προφάταν Πα. 9. 41. v. θεμιστός.

2. Themis, *power of right order* (Farnell), former wife of Zeus, mother of the 'Ωραι, mother of Εὐνομία, Δίκα, Εἰρήνα. Αἴγιναν — ἔνθα σώτειρα Διὸς ξενίου πάρεδρος ἀσκεῖται Θέμις ἔξοχ' ἀνθρώπων O. 8. 22. αἰνήσαις ἑ καὶ υἱόν, ἂν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν μεγαλόδοξος Εὐνομία O. 9. 15. (Κόρινθον) ἐν τᾷ γὰρ Εὐνομία ναίει κασιγνήτα τε, — Δίκα καὶ ὁμότροφος Εἰρήνα — χρύσεαι παῖδες εὐβούλου Θέμιτος O. 13. 8. ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν γᾶς ὀμφαλὸν κελαδήσετ' (θέμιν Wil.: "heilige Satzung" Schr.: perhaps a reference to the *aboriginal cult of Ge-Themis* at Delphi, Farnell) P. 11. 9. εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις I. 8. 31. πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν χρυσέαισιν ἵπποις 'Ωκεανοῦ παρὰ παγᾶν Μοῖραι ποτὶ κλίμακα σεμνὰν ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν fr. 30. 1. ἐγὼ μὲν ὑπὲρ χθονὸς ὑπέρ τ' ὠκεανοῦ[(in lemmate scholiastae post ὠκεανοῦ est θέμιδος scriptum, quod fort. in textum recipiendum est, cll. Hes., Theog. 133—5.) Πα. 8. 16.

θεμισκόπος] *watching over by divine ordinance* c. dat. (Νεοπτόλεμον) ἡροίαις πομπαῖς θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις N. 7. 47.

θεμισκρέων] *ruling by divine right* Βαττιδᾶν — θεμισκρεόντων P. 5. 29.

θεμιστεῖος] *of divine right* ('Ιέρων) θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον O. 1. 12.

Θεμίστιος] of the Aiginetan clan of the Psalychiadai, v. Severyns, Bacchylide, 42ff. εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν, μηκέτι ῥίγει N. 5. 50. τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν θεοφιλῆ ναίοισι I. 6. 65.

θεμιστός] *oracular* n. pl. pro subs. Δελφοὶ θεμιστῶν μάντιες Ἀπολλωνίδαι (ὕμνων post θεμίστων del. Heyne: θεμίτων coni. Turyn) fr. 192.

θεμῖτός] *rightful* "σέ (= Ἀπόλλωνα), τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν" P. 9. 42.

θέναρ] *hollow* φοίνισσα δὲ Θρηικίων ἀγέλα ταύρων ὑπᾶρχεν καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ (τὸ τοῦ βωμοῦ κοίλωμα τὸ ὑποδεχόμενον τὰ θύματα. Σ.) P. 4. 206. γαίας τε πάσας καὶ βαθύκρημνον (Heyne: -ου codd.) πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ (sc. Ἡρακλέης: *the hollow bed*, cf. τένα-γος) I. 4. 56.

Θεόγνητος] victor at Olympia, uncle of Aristomenes. παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς Οὐλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις P. 8. 36.

θεόδμᾱτος, (-α), -ον] (-ῳ, -ον, -ους; -α, -ας; -ον acc., -ων.) **a.** *created by heaven* τοξοφόρον Δάλου θεοδμάτας σκοπόν O. 6. 59. Ἀφροδίτα — θεοδμάτων ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ P. 9. 10. χαῖρ' ὦ θεοδμάτα — πόντου θύγατερ Delos fr. 33c. **b.** generally, *heaven inspired divine* στέφανοι πράσσοντί με τοῦτο θεόδματον χρέος O. 3. 7. θεοδμάτῳ σὺν ἐλευθερίᾳ P. 1. 61. εἰ γάρ τις ἀνθρώπων — πράσσει θεοδμάτους ἀρετὰς I. 6. 11. νόμων ἀκούοντες θεόδματον κέλαδον (Boeckh: θεόδμητον, -ετον codd. Prisciani: θεοδμάτων Bergk) fr. 35c.

θεόδοτος] *god-given* εἰ δὲ τέτραπται θεοδότων ἔργων κέλευθον ἂν καθαράν I. 5. 23.

[θεόμοιρος, codd. O. 3. 10, P. 5. 5. v. θεόμορος.]

θεόμορος, -ον] **a.** *alloted by heaven* θεόμοροι — ἀοιδαί (θεόμοιροι v. l.: θεόμοροι edd. vulgo) O. 3. 10. "τὸ μὲν ἐμόν, Πηλέι γέρας θεόμορον ὀπάσσαι γάμου Αἰακίδᾳ" (Hermann: θεάμοιρον cod.) I. 8. 38. **b.** *heaven favoured* ὦ θεόμορ' Ἀρκεσίλα (Er. Schmid: θεόμοιρ' codd.) P. 5. 5.

Θεόξενος] son of Agesilas, of Tenedos. τὰς δὲ Θεοξένου ἀκτῖνας πρὸς ὄσσων μαρμαρυζοίσας δρακεὶς fr. 123. 2.

θεόπομπος, -ον] *heaven-sent* θεόπομποι — τιμαὶ P. 4. 69. ὄφιες θεόπομπ[οι (supp. Lobel: of the snakes sent by Hera to kill Herakles) Πα. 20. 8.

θεοπ'ρεπής] *fit for a god* Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε N. 10. 2.

θεοπ'ροπέω] *prophesy* μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς P. 4. 190.

θέορτος] *sprung from the gods* Μοῖρ' — θεόρτῳ σὺν ὄλβῳ ἐπί τι καὶ πῆμ' ἄγει O. 2. 36.

θεός] (ὁ, ἡ; v. θεά: θεός, θεός, θεοῦ, θεοῖο, θεῷ, θεῷ, θεόν; θεοί, θεοί, θεῶν, θεων, θεοῖς, θεοῖσι, θεούς, θεοί.) *god*

1. unspecified. (Τάνταλος) θεοῖσι δεῖπνα παρέχων O. 1. 39. θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται — μερίμναισιν O. 1. 106. ὅταν θεοῦ Μοῖρα πέμπῃ ἀνεκὰς ὄλβον ὑψηλόν *fate dispensed by god* O. 2. 21. παρὰ μὲν τιμίοις θεῶν — ἄδακρυν νέμονται αἰῶνα O. 2. 66. θεὸς εὔφρων εἴη λοιπαῖς εὐχαῖς O. 4. 12. βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις at Olympia O. 5. 5. μὴ ματεύσῃ θεὸς γενέσθαι O. 5. 24. θεῶν κάρυκα — Ἑρμᾶν O. 6. 78. θεῶν βασιλεὺς ὁ μέγας O. 7. 34. θεῶν δ' ὅρκον μέγαν μὴ παρφάμεν O. 7. 65. Τλαπολέμῳ ἵσταται — ὥσπερ θεῷ — πομπὰ καὶ κρίσις O. 7. 79. ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς ἐχθρὰ σοφία O. 9. 37. ἄνευ δὲ θεοῦ σεσιγαμένον οὐ σκαιότερον χρῆμ' ἕκαστον O. 9. 103. μετὰ δώδεκ' ἀνάκτων θεῶν (cf. O. 5. 5) O. 10. 49. θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον ἐπέθηκ'; O. 13. 21. Σίσυφον μὲν πυκνότατον παλάμαις ὡς θεόν O. 13. 52. τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον — κτίσιν O. 13. 83. ἐν θεῷ γε μὰν τέλος O. 13. 104. οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας (θεοὶ etiam possis) O. 14. 8. θεῶν κρατίστου παῖδες O. 14. 14. θεῶν πολέμιος, Τυφὼς P. 1. 15. θεῶν παλάμαις P. 1. 48. οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι P. 1. 56. θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται, θεός, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε P. 2. 49—50. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν

P. 2. 88. καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις P. 3. 93. εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι P. 3. 110. "σὺν τιμᾷ θεῶν" P. 4. 51. ποινὰ τίς ἔσται πρὸς θεῶν P. 4. 63. θεῷ πίσυνος P. 4. 232. σὺν θεῶν τιμαῖς P. 4. 260. εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται P. 4. 274. παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν P. 5. 25. οὐ θεῶν ἄτερ ἀλλὰ Μοῖρά τις ἄγεν P. 5. 76. κτίσεν δ' ἄλσεα μείζονα θεῶν P. 5. 89. θεός τέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν P. 5. 117. μάλιστα μὲν Κρονίδαν — θεῶν σέβεσθαι P. 6. 24. "τύχᾳ θεῶν" P. 8. 53. θεῶν δ' ὄπιν ἄφθονον αἰτέω P. 8. 71. ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν πρᾶξις P. 9. 67. μὴ φθονεραῖς ἐκ θεῶν μετατροπίαις ἐπικύρσαιεν P. 10. 20. ἐμοὶ δὲ θαυμάσαι θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον P. 10. 49. Κάστορος βίαν σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν P. 11. 62. θεῶν βασιλέα N. 1. 39. ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν N. 1. 67. σὺν θεοῦ δὲ τύχᾳ N. 6. 24. τιμὰ δὲ γίνεται ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων N. 7. 32. βασιλῆα δὲ θεῶν N. 7. 82. εἰ δ' αὐτὸ καὶ θεὸς ἀνέχοι N. 7. 89. ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι καὶ παῖδες θεῶν N. 9. 27. Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν N. 10. 7. Ἥβα — καλλίστα θεῶν N. 10. 18. ἐπεὶ τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ, εἷλετ' αἰῶνα — Πολυδεύκης N. 10. 58. πολλὰ μὲν — ἀγαζόμενοι πρώταν θεῶν (i. e. Ἑστίαν) N. 11. 6. καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας I. 2. 39. ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος I. 4. 1. Πηλέος — ἥρωος, εὐδαίμονος γαμβροῦ θεῶν I. 6. 25. δεξαμένα τὸν φέρτατον θεῶν I. 7. 5. χαλκόπεδον θεῶν ἕδραν I. 7. 44. ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε†Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός I. 8. 10. ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες I. 8. 30. σὺν θεῷν δὲ — αἴσᾳ (Boeckh: θεῶ codd.) I. 9. 1. θεοὶ συνετέλεσσαν Πα. 2. 65. ἐν θεῶν ξενίᾳ at the Delphic Theoxenia Πα. 6. 61. Ζεὺς ὁ θεῶν σκοπὸς Πα. 6. 94.]τράπεζαν θεῶν ἐπ' ἀμβ[ρο Πα. 15. 7. δεῦτ' ἐν χορόν, Ὀλύμπιοι, ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοί fr. 75. 2. θεῶ[ν] Κυβέ[λαν] ματ[έρα (supp. Gomperz, Snell) fr. 80. ἀλλ' οἷος ἄπλατον κεράιζε θεῶν Τυφῶνα — Ζεύς fr. 93. θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος fr. 108a. 1. θεῷ δὲ δυνατὸν μελαίνας ἐκ νυκτὸς ἀμίαντον ὄρσαι φάος fr. 108b. 1. θεῶν ἐπὶ βωμοῖς (haec verba praebent codd. Plutarchi, non habet, ut vid., Π.) Θρ. 7. 10. τὸ γάρ ἐστι μόνον ἐκ θεῶν fr. 131b. 3. τί θεός; fr. 140d. σὺν θεοῖς O. 8. 14. σὺν θεοῖς ζεύξω τέλος I. 1. 6. σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος N. 8. 17. σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος I. 4. 5.

2. opposed to men, mortals. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται — λαθέμεν O. 1. 64. τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν; O. 2. 2. θάξαις δέ κε φύντ' ἀρετᾷ — ἀνὴρ θεοῦ σὺν παλάμᾳ O. 10. 21. ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως O. 11. 10. ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς P. 1. 41. θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν P. 2. 22. γόνον — οὔτ' ἐν ἄνδρασι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις P. 2. 43. κλέπτει τέ μιν οὐ θεὸς οὐ βροτὸς P. 3. 30. "παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν" P. 4. 13. "θεῷ ἀνέρι εἰδομένῳ" P. 4. 21. "ἔν τε θεοῖς — κἀνθρώποις" P. 9. 40. θεὸς εἴη ἀπήμων κέαρ. εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς P. 10. 21. ἀρχαὶ δὲ βέβληνται θεῶν κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς (ἐκ θεῶν Σ: ?on analogy of ἄρχεσθαι) N. 1. 9. ἓν ἀνδρῶν, ἓν θεῶν γένος N. 6. 1. ἀνδρῶν δικαίων περικαδόμενοι. καὶ μὰν θεῶν πιστὸν γένος N. 10. 54. σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος I. 4. 5. ταῦτα θεοῖσι μὲν πιθεῖν σοφοὺς δυνατόν, βροτοῖσιν δ' ἀμάχανον εὑρέμεν Πα. 6. 51. οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί fr. 61. 3. θεὸς ὁ πάντα τεύχων βροτοῖς fr. 141. θεῶν καὶ κατ' ἀνθρώπων ἀγυιάς fr. 194. 5. ἴσον μὲν

θεὸν ἄνδρα τε φίλον ⟨θεῷ⟩ (add. Heyne: sc. ὑποτρέσαι) fr. 224. ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ fr. 225. Ἀπόλλωνι μὲν θ[εῶν] ἀτὰρ ἀνδρῶν Ἐχεκ[ρά]τει (supp. Blass) ?fr. 333a. 4.
3. specific gods. a. Apollo. οὐδ' ἔλαθ' Αἴπυτον — κλέπτοισα θεοῖο γόνον O. 6. 36. ὡς ἦρα θεὸς σάφα εἴπαις O. 8. 46. φέροισα σπέρμα θεοῦ P. 3. 15. ἐν κοιλόπεδον νάπος θεοῦ P. 5. 39. ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος εὐρυβία P. 9. 13. κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ ῥέζοντας P. 10. 33. θεοῦ παρ' εὐτειχέα δόμον N. 7. 46. καὶ τὸ μὲν διδότω θεός Πα. 2. 54. Πάριος ἐ[καβόλος βροτη]σίῳ δέμαι θεός Πα. 6. 80. ὤμοσε [γὰρ θ]εός Πα. 6. 112. θεοῦ ἄδυτον Πα. 7. 3. his temple in Delphi: μαντεύσατο δ' ἐς θεὸν ἐλθὼν O. 7. 31. ᾤχετο δὲ πρὸς θεόν N. 7. 40. b. Zeus. θεοῦ σάμασιν πιθόμενοι P. 4. 199. γνώτ' ἀείδω θεῷ τε καὶ ὅστις ἁμιλλᾶται (οἱ pro θεῷ coni. Kayser) N. 10. 31. πέμψεν θεὸς ἀρχὸν οἰωνῶν μέγαν αἰετόν I. 6. 49. c. Poseidon. τὸν μὲν ἀγάλλων θεὸς ἔδωκεν O. 1. 86. θεὸς τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων O. 6. 101. ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν P. 2. 12. (Ἰσθμός) ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται N. 5. 38. d. Helios. καί ῥά μιν χώρας ἀκλάρωτον λίπον, ἁγνὸν θεόν O. 7. 60. e. Dionysos. ἐπὶ τὸν κισσοδαῆ θεόν, τὸν Βρόμιον, τὸν Ἐριβόαν τε βροτοὶ καλέομεν fr. 75. 9. f. Herakles. ἥρως θεὸς N. 3. 22. g. goddesses, Kybele, Great Mother. μεγάλας θεοῦ κύνα Pan. fr. 96. 2. Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι P. 3. 79. h. Thetis. πεπρωμένον ἦν, φέρτερον πατέρος ἄνακτα γόνον τεκεῖν ποντίαν θεόν I. 8. 34. i. Honour, Aidos. κείνα θεός N. 9. 36. k. Athene. εὗρεν θεός P. 12. 22. l. Psamatheia. βία Φώκου κρέοντος, ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι πόντου N. 5. 13.
4. θεόθεν, *from, inspired by heaven* σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν O. 12. 8. θεόθεν ἐραίμαν καλῶν P. 11. 50. 5. frag.]οι· θεῶν[Πα. 4. 17.

θεόσδοτος, -ον] (cf. θεόδοτος) *given by heaven* τὰν θεόσδοτον δύναμιν P. 5. 13. εἰ δέ τις ἀνθρώποισι θεόσδοτος †ἀτληκηκότας† προστύχῃ (ἀτλάτα κακότας Boeckh) fr. 42. 5.

θεότῑμος] *honoured by heaven* ἐσχατιαῖς ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυραν θεότιμος ἐών I. 6. 13.

θεοφῐλής] *loved by heaven* τάνδε πόλιν θεοφιλῆ ναίοισι Aigina I. 6. 66.

θεόφ'ραστος] *declared by heaven* ἰσοδένδρου τέκμαρ αἰῶνος θεόφραστον λαχοῖσα fr. 165.

θεόφ'ρων] *inspired by heaven* θεόφρονα κοῦρον Iamos O. 6. 41.

θερᾰπεύω] *heed, devote oneself to* c. acc. τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν P. 3. 109. κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν (i. e. *favoured*, sc. in the contest between Aias and Odysseus over the arms of Achilles) N. 8. 26. ἢ γυναικείῳ θράσει †ψυχράν† φορεῖται πᾶσαν ὁδὸν θεραπεύων (sc. ὁδόν, ἀπὸ κοινοῦ; others supp. γυναῖκας *in their devotion to*) fr. 123. 9. μήτε κάδεα θεράπευε I. 8. 7.

Θεράπνα] a town situated on a hill in Sparta, where the Dioscuri had their principal shrine. Κάστορος βίαν, σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν, τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας, τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου P. 11. 63. μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θεράπνας N. 10. 56. Τυνδαρίδας δ' ἐν Ἀχαιοῖς ὑψίπεδον Θεράπνας οἰκέων ἕδος I. 1. 31.

θερᾰπων] a. adj., *ministering to* c. dat. οἶκον ἥμερον ἀστοῖς, ξένοισι δὲ θεράποντα O. 13. 3. b. *servant* δᾶμον Ὑπερβορέων — Ἀπόλλωνος θεράποντα O. 3.

16. "ἦ μάν νιν ὤτρυνον θαμὰ λυσιπόνοις θεραπόντεσσιν φυλάξαι" i. e. sailors P. 4. 41. Λατόος ἔνθα με παῖδες εὐμενεῖ δέξασθε νόῳ θεράποντα ὑμέτερον Πα. 5. 45. ἄγοις, ὦ κλυτά, θεράποντα, Λατοῖ fr. 94c. 3. fig., θεράπων δέ οἱ, οὐ δράστας ὀπαδεῖ (sc. Δαμόφιλος καιρῷ) P. 4. 287.

θέρειος] *of summer* ἀλλ' ἑτέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν (sc. ὥραις: θέρειος coni. Wil.) I. 2. 41.

θερινός] *of summer* θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι P. 3. 50.

θερμαίνω] *warm, cheer* μάλα δέ οἱ θερμαίνει φιλότατι νόον O. 10. 87.

θερμός] *warm* θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις O. 12. 19. οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει γυῖα τόσσον N. 4. 4. ἦ μὰν ἀνόμοιά γε δᾴοισιν ἐν θερμῷ χροῒ ἕλκεα ῥῆξαν N. 8. 28. θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς N. 10. 75. "δοιὰ βοῶν θερμὰ πρὸς ἀνθρακιὰν στέψαν" i. e. *still warm, just killed* fr. 168. 2. θερμᾶν νόσων *feverish* P. 3. 66.

θέρος] *summer* ἢ νότιον θέρος ὕδατι ζακότῳ ῥέον Πα. 9. 17.

Θέρσανδρος] son of Polyneikes by Argeia, daughter of Adrastos: from him Theron and the Emmenidai claimed to be descended. λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, — 'Αδραστιδᾶν θάλος ἀρωγὸν δόμοις O. 2. 43.

θέσις] *placing, composition* φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν Αἰνησιδάμου παιδὶ συμμεῖξαι O. 3. 8.

θεσμοφόρος] *lawbringing* πότνια θεσμοφόρε Persephone fr. 37.

θεσπέσιος] **a.** *divine* (of speech) θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος N. 9. 7. αὐτοῦ πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν (sc. 'Ομηρος) I. 4. 39. "νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι" (Ceporinus: θεσπεσίαν codd.: *prayers to the goods*) I. 6. 44. μαντευμάτων τε θεσπεσίων δοτῆρα καὶ τελεσσιεπῆ θεοῦ ἄδυτον Πα. 7. 1. **b.** *more than human, monstrous* cf. Fraenkel on Ag. 1154. ἤτοι τό τε θεσπέσιον Φόρκοι' ἀμαύρωσεν γένος P. 12. 13.

Θεσπρωτίς] test., Strabo 7. 7. 10, p. 328. οἱ τραγικοί τε καὶ Πίνδαρος Θεσπρωτίδα εἰρήκασι τὴν Δωδώνην. ὕστερον δὲ ὑπὸ Μολοττοῖς ἐγένετο fr. 60.

Θεσσᾱλία] *Thessaly* ὀλβία Λακεδαίμων, μάκαιρα Θεσσαλία P. 10. 2.

Θεσσᾱλοί] *Thessalians* ἀδελφεοῖσί τ' ἐπαινήσομεν ἐσλοῖς, ὅτι ὑψοῦ φέροντι νόμον Θεσσαλῶν αὔξοντες P. 10. 70.

Θεσσᾱλός] a Corinthian athlete of the clan Oligaithidai, father of Xenophon, and son of Ptoiodoros. πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' 'Αλφεοῦ ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται O. 13. 35.

θέσσασθαι] def. aor., *prayed* (to be) c. pred. adj. (Αἴγινα) τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν θέσσαντο πὰρ βωμὸν πατέρος 'Ελλανίου στάντες N. 5. 10.

θέσφᾰτος] *ordained by heaven* θέσφατον ἦν Πελίαν — θανέμεν P. 4. 71. n. pl. pro subs. ἐπεὶ θεσφάτων ἐπάκουσαν (sc. οἱ θεοί) I. 8. 31.

Θέτις] (Θέτις, -ιος, -ιν.) daughter of Nereus, mother of Achilles, sought in marriage by Zeus and Poseidon (I. 8. 27ff.) but given to Peleus; worshipped in Phthia. Θέτιος †γόνος O. 9. 76. Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν P. 3. 92. παῖς, ὅνπερ μόνον ἀθανάτα τίκτεν ἐν Φθίᾳ Θέτις P. 3. 101. (Πηλεύς) ποντίαν Θέτιν κατέμαρψεν ἐγκονητί N. 3. 35. Θέτις δὲ κρατεῖ Φθίᾳ N. 4. 50. αἱ δὲ (sc. Μοῖσαι) πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν Πηλέα θ' N. 5. 25. Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδὰν γάμῳ I. 8. 27. φαντὶ γὰρ ξύν' ἀλέγειν καὶ γάμον Θέτιος ἄνακτας I. 8. 47. κυανοπλόκοιο παῖδα ποντίας Θέτιος βιατάν Πα. 6. 84.

θετός] *adopted* εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν (sc. Λοκρόν; i. e. fathered on him by Zeus) O. 9. 62.

Θήβα] **1.** Θῆβαι, the city Thebes. εὗρε παγὰν ἀμβροσίων ἐπέων, πρόσφατον Θήβᾳ ξενωθείς P. 4. 299. κάρυξε Θήβαν ἱπποδρομίᾳ κρατέων I. 3. 12.]ι οἷά ποτε

Θήβᾳ[Πα. 18. 8. καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον ἐπασκήσει fr. 194. 5.
2. daughter of Asopos and Metopa. ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν O. 6. 85. μᾶτερ ἐμά — χρύσασπι Θήβα I. 1. 1. ὦ μάκαιρα Θήβα I. 7. 1. τὰν κυανάμπυκα Θήβαν fr. 29. 3. ἄστυ Θήβας ἐπῆλθον Πα. 1. 7. εὐάρματε χρυσοχίτων ἱερώτατον ἄγαλμα, Θήβα fr. 195. test., Paus. 5. 22. 6. τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία (sc. ὡς ἐμείχθησαν) fr. 290.

Θηβαγενής] *Theban born*, test., Ammon., de Diff. Verb. p. 70 Valck. (= FGH, 70 F 21, Ephoros.) Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν παιάνων Πινδάρου φησίν· "καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον (Valck.: Ἰσμηνὸν codd.) πρῶτον" fr. 66, cf. Σ, P. 11. 5, Wil., Pindaros, 14.

Θῆβαι] (-αι, -ᾶν, -αισ(ι), -ας.) *Thebes*, where were held games in honour of Herakles and Iolaos. ἐν Θήβαισι O. 6. 16. τά τ' ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις O. 7. 84. ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν O. 9. 68. ἐν Θήβαις O. 13. 107. ἐν ἑπταπύλοις — Θήβαις P. 3. 91, P. 8. 40, I. 8. 16, Παρθ. 2. 60, fr. 169. 48. ἑπτάπυλοι Θῆβαι P. 9. 80. ἑπταπύλοισι Θήβαις χάριν ἀγῶνί τε Κίρρας P. 11. 11. Θήβαις τ' ἐν ἑπταπύλοις N. 4. 19. ἐς ἑπταπύλους Θήβας N. 9. 18. γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν μάντιν N. 10. 8. Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι Kastor and Iolaos I. 1. 17. ἑπταπύλοις Θήβαισι I. 1. 67. Θήβαισι τιμάεντες ἀρχᾶθεν I. 4. 7. Θηβᾶν ἄπο Καδμειᾶν I. 4. 53. ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος γέρας ἔχει I. 5. 32. ἐπὶ Θήβας ξίφος ἑλκόμενον (e Σ supp. Lobel) Πα. 8. 104. Θήβαις — πάγκοινον τέρας Πα. 9. 9. χάριν Θήβαις ἐπιμείξων Παρθ. 2. 5. λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον fr. 196. οὔτοι με ξένον οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι fr. 198a. Θῆβαι χρυσάρματοι (v. χρυσάρματος) fr. 323. test., Σ, O. 13. 25c, ἐν μὲν τοῖς ὑπορχήμασιν ἐν Νάξῳ φησὶν πρῶτον εὑρεθῆναι διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν διθυράμβων ἐν Θήβαις fr. 71 & 115.

Θηβαῖος] *Theban* ἅρμα Θηβαῖον (sc. ἐξοχώτατόν ἐστι) fr. 106. 5.

θήκα] *tomb*]μιᾷ δ' ἐπὶ θήκᾳ [(i. e. the tomb of Amphitryon and Iolaos, cf. P. 9. 81ff.) fr. 169. 49.

θῆλα] *teat* προβάτων γὰρ ἐκ πάντων κελάρυξεν — θηλᾶν γάλα (Wil.: θήλεον codd. Plutarchi: = θῆλυ Schr.: θάλεον Schneidewin, Bergk) •fr. 104b. 3.•

[θηλάεις, θήλεος, v. θῆλα.**]**

θῆλυς] *female* χρυσόκερων ἔλαφον θήλειαν O. 3. 29.

θην] particle, enclitic, *in truth* ἄνδρες θήν τινες ἀκιζόμενοι νεκρὸν ἵππον στυγέοισι (Schr.: ἄνδρεθαν, ἄνδρες τινες codd.) fr. 203.

θήρ] (cf. φήρ: θήρ, θηρός; θηρῶν, θηρσί, θῆρας.) *(wild) creature* ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων θῆρας αἰνῷ φόβῳ P. 5. 61. κεράιζεν ἀγρίους θῆρας P. 9. 22. "ἵνα οἱ χθονὸς αἶσαν — δωρήσεται οὔτε παγκάρπων φυτῶν νάποινον οὔτ' ἀγνῶτα θηρῶν" P. 9. 58. ὅσσους μὲν ἐν χέρσῳ κτανών, ὅσσους δὲ πόντῳ θῆρας ἀιδροδίκας N. 1. 63. δάμασε δὲ θῆρας ἐν πελάγει ὑπερόχους N. 3. 23. τόλμᾳ γὰρ εἰκὼς θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων ἐν πόνῳ (Heyne: θηρᾶν codd.) I. 4. 46. "ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ "Herakles speaks of the Nemean lion I. 6. 48. "ὦ τέκνον, ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων" i. e. the sea-anemone, cf. Theogn. 215. fr. 43. 1.]ἐι θήρ μ[Πα. 7C. a. 5. ὁ δὲ κηλεῖται χορευοίσαισι κα[ὶ θη]ρῶν ἀγέλαις (supp. Housman) Δ. 2. 22. ἀπὸ Ταυγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 2.

Θήρα] the island, from which Cyrene was founded. "κεῖνος ὄρνις ἐκτελευτάσει

μεγαλᾶν πολίων ματρόπολιν Θήραν γενέσθαι" P. 4. 20. ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι P. 5. 75.

Θήραιος] *of Thera* τὸ Μηδείας ἔπος ἀγκομίσαι — Θήραιον (i. e. τὸ ἐν τῇ Θήρᾳ) P. 4. 10.

θηρεύω] *hunt down* met. παπταίνει τὰ πόρσω, μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν P. 3. 23. "καὶ μὰν Τιτυὸν βέλος 'Αρτέμιδος θήρευσε κραιπνόν" P. 4. 90. κερδέων δὲ χρὴ μέτρον θηρευέμεν N. 11. 47.

Θήρων] (-ων, -ωνος, -ωνι, -ωνα.) son of Ainesidamos, of the clan Emmenidai; king of Akragas, winner in Olympic chariot race 476 B. C., claimed descent from Kadmos (cf. fr. 119, s. v. Θέρσανδρος). Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου γεγωνητέον O. 2. 5. μή τιν' — ἄνδρα μᾶλλον εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα Θήρωνος O. 2. 95. Θήρωνος 'Ολυμπιονίκαν ὕμνον ὀρθώσαις O. 3. 3. 'Εμμενίδαις Θήρωνί τε O. 3. 39. πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων O. 3. 43.

[θήσασθαι v. τίθημι. P. 9. 63.]

θησαυρός] *treasure store* ἴτε — πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας, 'Ισμήνιον δ' ὀνύμαξεν, ἀλαθέα μαντίων θῶκον P. 11. 5. met., οἱ ὤπασε θησαυρὸν δίδυμον μαντοσύνας O. 6. 65. Πυθιόνικος ἔνθ' ὀλβίοισιν 'Εμμενίδαις ποταμίᾳ τ' 'Ακράγαντι καὶ μὰν Ξενοκράτει ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ 'Απολλωνίᾳ τετείχισται νάπᾳ P. 6. 8.

Θησεύς] son of Poseidon, king of Athens. test., v. 'Αμαζών fr. 174, Πειρίθοος fr. 175, Δημοφῶν fr. 176. Tryph. (Rhet. Gr. 3. 202. 30 Speng.) Πίνδαρος δὲ — ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον (Calderini: -ενος codd.: ⟨ἁρπασθεῖσαν τὴν 'Ελένην διαφυλάξαι⟩ add. Schr.) ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον ξυμπράξοντα fr. 258 ad fr. 243.

θιγγάνω] (aor. θίγον; θῖγοισα; θῖγεῖν, θῖγέμεν.) a. c. gen., *lay hold of, essay* ἔν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων I. 1. 18. b. c. dat., *touch upon; know, embrace in thought* ἔν τε σοφοῖς δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν P. 4. 296. ἁ δικαιόπολις ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν θιγοῖσα νᾶσος P. 8. 24. "σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν" P. 9. 42. ἴυγγι δ' ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν (expl. dub.: "Pindar — hofft, daß es, das Gedicht, zu dem Neumond, an dem das Fest begangen werden sollte, zurechtkäme." Wil. 400) N. 4. 35.

κλέος] (only nom., acc.) **a.** *fame* of pers., things. λάμπει δέ οἱ κλέος O. 1. 23. τὸ δὲ κ'λέος τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων O. 1. 93. ἦν δὲ κλέος βαθὺ O. 7. 52. μέγα τοι κλέος αἰεὶ O. 8. 11. πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι O. 9. 101. ποτὶ πελώριον ὁρμάσαι κλέος O. 10. 21. τρέφοντι δ' εὐρὺ κ'λέος κόραι Πιερίδες Διός O. 10. 95. γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς P. 1. 66. ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν P. 3. 111. τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε P. 4. 174. τὸ δ' ἐμὸν γαρύει ἀπὸ Σπάρτας ἐπήρατον κλέος P. 5. 73. φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω N. 7. 63. λέγεται μὰν Ἕκτορι μὲν κλέος ἀνθῆσαι N. 9. 39. ἐν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν κλέος ἔπραξεν I. 5. 8. οὐδ' ἔστιν — πόλις, ἅτις οὐ Πηλέος ἀίει κλέος ἥρωος I. 6. 25. ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων I. 7. 29. **b.** in neutral sense. **α.** = φάμα, *report* ἤλυθον κείνου γε κατὰ κ'λέος *at report of him* (cf. Fraenkel on Agam. 487) P. 4. 125. **β.** *reputation* θανὼν ὡς παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω N. 8. 36.

κλέπτω] (κλέπτει; -ων, -οισα: aor. κλέψεν; -ψαις: pass. κλέπτεται; -όμενον.) **a.** *cheat* ἀθανάτους (-ων v. l.) ὅτι κλέψαις ἁλίκεσσι συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν O. 1. 61. κλέπτει τέ μιν οὐ θεὸς οὐ βροτὸς P. 3. 29. σοφία δὲ κλέπτει παράγοισα μύθοις N. 7. 23. **b.** *conceal* οὐδ' ἔλαθ' Αἴπυτον — κλέπτοισα θεοῖο γόνον O. 6. 36. κ'λέπτων δὲ θυμῷ δεῖμα P. 4. 96. αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται, ἃ φέρει δόξαν N. 9. 33. ἀκτὶς ἀελίου, — ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον referring to a solar eclipse Πα. 9. 3. γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος (Arethas: βλεπτόμενον codd. Clem. Alex.) fr. 217. **c.** *carry off secretly* κλέψεν τε Μήδειαν (sc. Jason) P. 4. 250. cf. O. 1. 61.

κλέω] *make famous* κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς μυρίον χρόνον (sc. ἥρωες) I. 5. 27.]ε σέο κλεόμενοι γε[Δ. 4. c. 7.

Κλεώ] a Muse. τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοίσας, ἀεθλοφόρου λήματος ἕνεκεν Νεμέας Ἐπιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορκεν φάος (byz.: Κλειοῦς codd.) N. 3. 83. Κλεὸς ἕκατι (cf. Σ N. 2. 17, ἀντὶ τοῦ Κλειοῦς) Πα. 7A. 7. = fr. 308 Schr.

Κλεωναί] a city near Nemea. λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δάμασε καὶ κείνους (= Μολίονας) Ἡρακλέης ἐφ' ὁδῷ O. 10. 30.

Κλεωναῖος] *of Kleonai*, whose citizens administered the Nemean games. Κλεωναίου τ' ἀπ' ἀγῶνος N. 4. 17. νικαφορίαις γὰρ ὅσαις †ἱπποτρόφον ἄστυ τὸ Προίτοιο θάλησεν† Κορίνθου τ' ἐν μυχοῖς, καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις N. 10. 42.

Κλεωνῡμίδαι] a Theban family. (ἀρετάς) αἶσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος I. 4. 4.

Κλεώνῡμος] ancestor of Melissos of Thebes. ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν I. 3. 15.

κλῖμαξ] *ladder* Θέμιν — Μοῖραι ποτὶ κλίμακα σεμνὰν ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν fr. 30. 3. πιτνάντες θοὰν κλίμακ' οὐρανὸν ἐς αἰπύν fr. 162.

κλίνω] (aor. pass. κλιθείς) *make to lie* νῦν δ' ἐν αἱμακουρίαις ἀγλααῖσι μέμικται, Ἀλφεοῦ πόρῳ κλιθείς (sc. Πέλοψ, *laid to rest*) O. 1. 92. met., θαμά κε, τῷδε μέλει κλιθείς, ὕμνον κελάδησε καλλίνικον *relying on* N. 4. 15.]ον δ' ἔπος κλιθεν[Πα. 8. 11.

κλισία] pl., *camp* αἶψα δ' ἀπὸ κλισιᾶν ὦρτο P. 4. 133.

κλονέω] *drive in confusion* "χὠπόσσαι ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται" P. 9. 48. ἐπεὶ περικτίονας ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτᾳ χερὶ κ'λονέων I. 8. 65.

κλόνος] *confusion* ἐν δὲ Ναΐδων ἐρίγδουποι στοναχαὶ μανίαι τ' ἀλαλαί τ' ὀρίνεται ῥιψαύχενι σὺν κλόνῳ of Dionysaic rites Δ. 2. 14.

κλοπά?] *theft*]κλοπα[Πα. 7A. 6.

Κλύμενος] father of Erginos, of Orchomenos. διάπειρα — ἅπερ Κλυμένοιο παῖδα Λαμνιάδων γυναικῶν ἔλυσεν ἐξ ἀτιμίας O. 4. 19, v. Σ. Πα. 8. 103.

Κλυταιμήστρα] wife of Agamemnon. Ὀρέστα· τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος P. 11. 17.

κλυτόκαρπος] *with glorious fruit* met. οἴκαδε κ'λυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων N. 4. 76.

κλυτόμαντις] *famous for its oracle* χρυσέα κλυτόμαντι Πυθοῖ voc. Πα. 6. 2.]κλυτομάντιες τῷ δ[Πα. 10. 22.

κλυτόπωλος] *renowned for his horses* κλυτοπώλου Ποσειδάωνος fr. 243.

κλυτός] (-ός, -οί; -ᾶς, -άν, -ά, -αί, -ᾶν, -αῖσ(ι), -ός; -όν acc.) *glorious*, esp. of gods, and things belonging to, given to, sought from them. κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον O. 10. 97. Θέτιν παῖδα κ'λυτάν P. 3. 92. "κλυτὸς Ἑρμᾶς" P. 9. 59. κλυτοὶ μάντιες Ἀπόλλωνος Πα. 8. 13. ὦ κλυτά — Λατοῖ fr. 94c. 3. of places, κλυτὰν Λοκρῶν ἐπαείροντι ματέρ' ἀγλαόδενδρον pr. O. 9. 19. κλυταῖς ἐν Ἀμύκλαις (v. l. κλειταῖς) P. 11. 32. κιόνων ὕπερ Ἡρακλέος — ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτούς (κλυτᾶς, -ὰς codd.: -ούς Wil., cll. O. 1. 33, obloquente Postgate, Mnem., 1925, 383.) N. 3. 23. καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα I. 1. 57. [κλυτὸν ἄλσος (v. l. Π^{lm}: τροφὸν Π.) Πα. 6. 14.] Ὀγχη[στοῦ κλυ]τᾶς Παρθ. 2. 46. κλυταὶ Θῆβαι fr. 198a. c. dat., στεφάνοισί νιν (= Αἴτναν) ἵπποις τε κλυτὰν P. 1. 37. in connection with music, κλυταῖσι — ὕμνων πτυχαῖς O. 1. 105. ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα P. 10. 6. κλυταῖς ἐπέων ἀοιδαῖς N. 7. 16. κλυτᾷ φόρμιγγι I. 2. 2. κλυταῖς ἐπέων ῥοαῖσιν I. 7. 19. κλυτᾶν — φορμίγγων fr. 140a. 60 (34). variously, αἰτήσων πόλιν εὐανορίαισι τάνδε κ'λυταῖς δαιδάλλειν O. 5. 20. θεὸς — κ'λυτὰν αἶσαν παρέχοι O. 6. 102. [δαῖτα κλυτὰν (codd.: δαιτικλυτὰν Bergk) O. 8. 52.] ἔλθ', Ἀχοῖ, πατρὶ κ'λυτὰν φέροισ' ἀγγελίαν O. 14. 21. κλυτᾶς αἰῶνος P. 5. 6. "ὁσία κλυτὰν χέρα οἱ προσενεγκεῖν;" Apollo speaks P. 9. 36. ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς N. 9. 10. προσεννέπω ἐσπέσθαι κλυταῖς ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς I. 6. 17.]κλυτας ἴδω[Πα. 6. 170. ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοὶ fr. 75. 2.

κλύω] (ῠ but ῡ impv. aor. and pres.) *hear, attend to* Χάριτες —, κλῦτ', ἐπεὶ εὔχομαι O. 14. 5. εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν αἰεὶ κλύειν P. 1. 90. "κέκ'λυτε, παῖδες" P. 4. 13. ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ ἥροες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες P. 4. 58. ἀλλὰ παρθένοι γάρ, ἴσθ' ὅτι, Μοῖσαι, πάντα —, κλῦτε νῦν ("erhört meine Bitte" und nicht "hört zu." Radt) Πα. 6. 58. κλῦθ', Ἀλαλά, Πολέμου θύγατερ (i. e. κλῦθι) fr. 78. 1.

Κλωθώ] one of the Moirai. παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ εἱμαρμένον Σ. O. 1. 41. (Πέλοψ) τοῦ μεγασθενὴς ἐράσσατο

Γαιάοχος Ποσειδάν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ O. 1. 26. ἐγὼ δ' ὑψίθρονον Κλωθὼ κασιγνήτας τε προσεννέπω ἑσπέσθαι κλυταῖς ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς I. 6. 17. Κλ]ωθοῖ[(supp. Lobel) Δ. 4. g. 6.

(κνάμπτω)]]νεκναμ[P. Oxy. 2445 fr. 9. 10.

κ'νίζω] (impf. κνίζον: aor. ἔκνιξ', ἔκνιξεν, ἔκνισεν, ἔκνιξαν; κνίσῃ. pass. κνιζομένα.) *prick* met. a. c. inf. πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας ἔκνισεν βαρυπάλαμον ὄρσαι χόλον; (ἔκνιξεν coni. Schr.: *goaded*) P. 11. 23. b. *irritate* οὔτοι τετύφλωται μακρὸς μόχθος ἀνδρῶν οὐδ' ὁπόσαι δαπάναι †ἐλπίδων ἔκνιξ' ὄπιν.† (ἔκνιζ' v. l.: ἔκνισ' ὀπί Aristarchus: ἐλπίδ' ἔκνιξ' ὄπιν Wil.) I. 5. 58. c. *distress* τὸν μὲν κνιζομένα λεῖπε χαμαί (sc. Εὐάδνα) O. 6. 44. μὴ κόρος ἐλθὼν κνίσῃ (κνίξῃ coni. Schr.) P. 8. 32. καὶ γὰρ ἑτέροις ἑτέρων ἔρωτες ἔκνιξαν φρένας (A. W. Mair: ἔρως ἔκνιξε codd.: ἔρως ὑπέκνισε Boeckh) P. 10. 60. τοῖο δ' ὀργὰν κνίζον αἰπεινοὶ λόγοι N. 5. 32. d. *thrill* ἄδεια δ' ἔνδον μιν ἔκνιξεν χάρις I. 6. 50.

κνίσα] *savour of burnt sacrifice, burnt sacrifice* πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν, πολλὰ δὲ κ'νίσᾳ (ταῖς θυσίαις. Σ.) N. 11. 7.

κνισάεις] *of burnt sacrifice* μήλων τε κνισάεσσα πομπά i. e. *for sacrifice* O. 7. 80. φλὸξ — αἰθέρα κ'νισάεντι λακτίζοισα καπνῷ (Mommsen: κνισᾶντι codd.) I. 4. 66.

κνώδαλον] *beast* γελᾷ θ' ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων *asses* P. 10. 36. δμως ἄμυνεν ὕβριν κνωδάλων *serpents* N. 1. 50.

Κνώσιος] *of Knossos* in Crete. εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας O. 12. 16.

κνώσσω] *slumber* κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν ἔδοξεν O. 13. 71. ὁ δὲ (sc. αἰετός) κ'νώσσων ὑγρὸν νῶτον αἰωρεῖ P. 1. 8.

κοιλόπεδος] *lying in a hollow* Κρισαῖον λόφον ἄμειψεν ἐν κοιλόπεδον νάπος θεοῦ P. 5. 38.

κοῖλος] *hollow* ἐν ναυσὶ κοίλαις O. 6. 10. ῥάβδον, βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν πρὸς ἄγυιαν θνᾳσκόντων O. 9. 34. κοίλᾳ λέοντος ἐν βαθυστέρνου νάπᾳ at Nemea I. 3. 11.

κοιμάομαι] *sleep* (with) σὲ δ' (= Αἰγιναν) ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν κοιμᾶτο (sc. Ζεύς) I. 8. 21.

κοινᾶν] *confidant* met. Λοξίας, κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών, πάντα ἰσάντι νόῳ P. 3. 28.

κοινᾶνία] *company* οὐδέ μιν φόρμιγγες ὑπωρόφιαι κοινανίαν μαλθακὰν παίδων ὀάροισι δέκονται (Schr.: κοινωνίαν codd.) P. 1. 97.

κοινάω] *confide, entrust* c. acc. & dat., met. κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις, νυκτὶ κοινάσαντες ὁδόν *making night a confidant in their journey* P. 4. 115. ἐγὼ δὲ κείνων τέ μιν ὀάροις λύρᾳ τε κοινάσομαι (Boeckh: κοινώσομαι codd.) N. 3. 12. dub., κοινω[fr. 59. 9.

κοινός] (-ῷ, -όν; -άν, -αί; -όν nom., acc.) *common, mutual, shared* of that which people have in common. κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων ἄγαγον i. e. that are shared by Theron and Xenokrates O. 2. 50. μὴ κρύπτε κοινὸν σπέρμ' ἀπὸ Καλλιάνακτος i. e. which his descendants, the Eratidai, have in common O. 7. 92. ὀπᾷ τε κοινὸν λόγον φίλαν τείσομεν ἐς χάριν i. e. the hymn in which we join O. 10. 11. εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος *this prayer in which we all share* P. 3. 2. καταίνησάν τε κοινὸν γάμον — μεῖξαι i. e. to which both sides are agreed P. 4. 222. σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν ἔνδικόν τ' Ἀρκεσίλᾳ P. 5. 102. πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ — εὔδοξον ἅρματι νίκαν P. 6. 15. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες πολυπόνων ἀνδρῶν pr. N. 1. 32. Αἰακιδᾶν ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν φέγγος N. 4. 12. ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα pr. N. 7. 30. μάτρωί θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος i. e. to be

shared between them I. 7. 24. n. s. pro subs., *the public interest*, ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς *as a private citizen on a mission of public interest* Das private Fest beruft ihn dazu, die Ruhmestaten des ganzen Volkes zu besingen, Wil. O. 13. 49. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς fr. 109. 1. [dub., ὄλβιος ὅστις ἰδὼν ἐκεῖνα κοινὰ εἶσ' ὑπὸ χθόν' (codd.: κεῖν' εἶσ' Teuffel, edd.) fr. 137. 1.]

Κοιογενής] *born of Koios*, epith. of Leto. ἁ Κοιογενὴς fr. 33d. 3.

Κοῖος] a Titan, father of Asteria and Leto.]Κοίου θυγάτηρ π[Asteria Πα. 7B. 44. ἀγανόφρων Κοίου θυγάτηρ Leto Πα. 12. 13.

κοιρᾰνέω] *arrange* οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας O. 14. 9.

Κοιρᾰνίδας] *son of Koiranos*, Polyidos. δεῖξέν τε (sc. Βελλεροφόντας) Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος O. 13. 75.

κοίρᾰνος] *king* κοίρανος — Μέμνων N. 3. 62.

κοίτα] *sleeping with, love-making* καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα ξεινίαν κοίταν P. 3. 32. ἢ ἑτέρῳ λέχει δαμαζομέναν ἔννυχοι πάραγον κοῖται; (sc. Κλυταιμήστραν) P. 11. 25.

κοιτάζομαι] *go to sleep* ὡς τ' ἀνὰ βωμῷ θεᾶς κοιτάξατο νύκτ' a reference to ἐγκοίμησις, as a means of divination O. 13. 76.

κολεόν] *sheath* κολεοῦ γυμνὸν τινάσσων φάσγανον ἵκετ' N. 1. 52. μονόψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος N. 10. 6.

κολλάω] *bind together* κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος, ὑπ' ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν (sc. Ψαῦμις vel Ἵππαρις: sign. dub.: perhaps a reference is intended to the rebuilding of Kamarina shortly after 461 B. C., cf. v. 8. τὰν νέοικον ἕδραν) O. 5. 13. Μοῖσά τοι κολλᾷ χρυσόν, ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας N. 7. 78.

κολοιός] *jackdaw* met. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς —. κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται i. e. the rivals of Pindar N. 3. 82.

Κολοφώνιος] *of Kolophon* Πολυμνάστου Κολοφωνίου ἀνδρὸς fr. 188.

κόλπος] (-ου, -ον; -ων, -οις.) *fold* a. *fold* of a robe. κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις O. 6. 31. b. *hollow, valley* Νεμέας — κατὰ κόλπον O. 9. 87. κόλποις παρ' εὐδόξοις Πίσας O. 14. 23. "Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν" P. 4. 49. ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων P. 9. 5. c. *gulf* αἰθέρος ψυχρῶν ἀπὸ κόλπων ἐρήμου O. 13. 88.

Κόλχοι] *Colchians* δέσποινα Κόλχων Medea P. 4. 11. κελαινώπεσσι Κόλχοισιν P. 4. 212. εἷλε Μήδειαν ἐν Κόλχων δόμοις fr. 172. 7.

κολώνα] *hill* ὄχθαις ἔπι μηλοβότου ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν P. 12. 3. Λο]κρῶν — οἵ τ' ἀργίλοφον πὰρ Ζεφυρίου κολώναν ν[fr. 140b. 5.

κόμα] (-ᾳ, -αν; -αι, -ᾶν, -αισ(ι)) s. & pl., *hair* ἀμφὶ κόμαισι βάλῃ — κόσμον ἐλαίας O. 3. 13. τρία ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις O. 13. 39. κομᾶν πλόκαμοι P. 4. 82. γέρας ἀμφέβαλε τεαῖσιν κόμαις P. 5. 31. δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες P. 10. 40. βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν N. 1. 68. ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν N. 11. 28. Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων I. 2. 15. ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία I. 7. 49. τότε χρύσεαι ἀέρος ἔκρυψαν κόμαι ἐπιχώριον κατάσκιον νῶτον ὑμέτερον Pindar speaks of Aigina, nymph and island Πα. 6. 138. ῥόδα τε κόμαισι μείγνυται fr. 75. 17.

κομῐδά] *rescue* πρίατο μὲν θανάτοιο κομιδὰν πατρός (sc. Ἀντίλοχος: *the rescue of his father from death*) P. 6. 39.

κομίζω] (κόμιζε; κομίζων, -οντες: impf. κόμιζε(ν): aor. ἐκόμιξαν, ἐκόμισαν; κόμισον; κομίξαις; κομίξαι, κομίσαι.) a. *bring, carry back* τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες O. 13. 59.

ἄνδρ' ἐκ θανάτου κομίσαι ἤδη ἀλωκότα P. 3. 56. "κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι Φρίξος" P. 4. 159. σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν sc. Achilles N. 3. 48. ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς ἂν ναυσὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ πρὸς Ἴλου πόλιν (sc. Αἴαντα) N. 7. 28. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν N. 8. 44. fig., τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν N. 2. 19. **b.** *preserve* Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ πόλιν τάνδε κόμιζε P. 8. 99. παροιχομένων γὰρ ἀνέρων, ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν (Tricl.: ἐκόμιξαν codd.) N. 6. 30. "Ἱκόμαν οἴκαδ', ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ — τιμάν" (ἀρχὰν ἀγκομίζων coni. Chaeris) P. 4. 106. add. pr. adj. εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει O. 2. 14. ἐν τεσσαράκοντα γὰρ πετόντεσσιν ἁνιόχοις ὅλον δίφρον κομίξαις P. 5. 51.

κομπέω] *vaunt* τί κομπέω παρὰ καιρόν; P. 10. 4.

κόμπος] *vaunting, loud praise* χαίρω δὲ πρόσφορον ἐν μὲν ἔργῳ κόμπον ἱείς N. 8. 49. χρή νιν (= ἀρετάν) εὑρόντεσσιν ἀγάνορα κόμπον μὴ φθονεραῖσι φέρειν γνώμαις I. 1. 43. μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων I. 5. 24. σειρῆνα δὲ κόμπον αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς κεῖνον, ὃς Ζεφύρου τε σιγάζει πνοὰς αἰψηράς Παρθ. 2. 13.

κόνιος] *dusty* πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φάσομαι N. 9. 43.

κόνις] *dust* κατακρύπτει δ' οὐ κόνις συγγόνων κεδνὰν χάριν sc. of the grave O. 8. 79.

κόρα, κούρα] (κόρα, -ᾳ, -αν; -οι, -ᾶν, -αισι: κούρα, -ας, -ᾳ, -αν; -αις.) **a.** *daughter* esp. unmarried daughter. εὐθρόνοις Κάδμοιο κούραις O. 2. 23. "Κενταύρου με κοῦραι θρέψαν ἁγναί" P. 4. 103. μετὰ κόραισι Νηρῆος ἁλίαις O. 2. 29. ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν O. 9. 56. κόραι Πιερίδες Διός O. 10. 96. "φαμὶ γὰρ — Ἐπάφοιο κόραν ἀστέων ῥίζαν φυτεύσεσθαι" Libya P. 4. 14. ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος εὐρυβίᾳ Cyrene P. 9. 13. Ἀνταίου μέτα καλλίκομον μναστῆρες ἀγακλέα κούραν P. 9. 106. Λίβυς, ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα P. 9. 117. Κάδμου κόραι P. 11. 1. Δαρδανίδα κόραν Πριάμου Κασσάνδραν P. 11. 19. Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν N. 10. 1. βαθύζωνοι κόραι χρυσοπέπλου Μναμοσύνας Muses I. 6. 74. [κού[ρα] (supp. Reitzenstein i. e. Zeuxippe: κοῦ[ρος] Snell) fr. 51b.] Λατοίδαν θαμινὰ Δελφῶν κόραι — μελπόμεναι Πα. 6. 16. Μναμοσύνᾳ κόραισί τ' Muses Πα. 7B. 16. κόρα μιγεῖσ' Ὠκεανοῦ Μελία Πα. 9. 43. Δωρίδος [πε]ντήκο[ντα κο]ύραις (supp. Lobel: i. e. Nereids) Θρ. 4. 5. **b.** *unmarried girl* ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν Koronis, pregnant by Apollo P. 3. 39. Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται P. 3. 78. "κούρας δ' ὁπόθεν γενεὰν ἐξερωτᾷς" P. 9. 43. μάντιν τ' ὄλεσσε κόραν Kassandra P. 11. 33. φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον the temple prostitutes of Aphrodite at Korinth fr. 122. 19. esp. of Pallas Athene, πατρί τε — κόρᾳ τ' ἐγχειβρόμῳ O. 7. 43. κούρα — Παλλάς O. 13. 65. Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα N. 7. 96.

κόραξ] *crow* σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ. μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον (-έτων Bergk) Διὸς πρὸς ὄρνιχα θεῖον i. e. the rivals of Pindar. (cf. κολοιός) O. 2. 87. test., Fulgentius, myth., 1. 13; secundum Pindarum corvus solus inter omnes aves sexaginta quattuor significationes habet vocum. (dubitanter hoc fr. Pindaro tribuerunt edd.) fr. 285.

Κορίνθιος] *Corinthian* Κορινθίων ὑπὸ φωτῶν ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη i. e. at Isthmian games N. 2. 20. Ὀρσοτριαίνα ἵν' ἐν ἀγῶνι βαρυκτύπου θάλησε Κορινθίοις σελίνοις at Isthmian games N. 4. 88.

Κόρινθος] (-ος, -ου, -ῳ, -ον.) in whose vicinity the Isthmian games were held in honour of Poseidon. καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν (sc. Ποσειδάν) O. 8. 52. ἐν Κορίνθου πύλαις at the Isthmian games O. 9. 86. τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου πρόθυρον Ποτειδᾶνος, ἀγλαόκουρον O. 13. 4. οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ O. 13. 52. Κορίνθου τ' ἐν μυχοῖς at Isthmian games N. 10. 42. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων i. e. the Isthmian sanctuary I. 4. 20. ἀμφίπολοι Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ the temple prostitutes of Aphrodite fr. 122. 2. proverb., ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος N. 7. 105.

κόρος] (-ος, -ου, -ῳ, -ον.) *too much* a. having too much, *tedium, satiety* ἀλλ' αἶνον ἐπέβα κόρος οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν O. 2. 95. ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας P. 1. 82. εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ τε καὶ φθέγματι μαλθακῷ μὴ κόρος ἐλθὼν κνίσῃ P. 8. 32. κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια N. 7. 52. ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι N. 10. 20. b. wanting too much, *ambition, insatiable greed* κόρῳ δ' ἕλεν ἄταν ὑπέροπλον O. 1. 56. καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον φᾶσέ νιν δώσειν μόρῳ (join ἀνδρῶν with τινα) N. 1. 65. εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον I. 3. 2. οὐ κό]ρῳ ἀλλ' ἀρετᾷ (supp. Lobel e Σ, οὐκ ἐπὶ ὕβρει) fr. 169. 15. c. pro pers., *Greed* Ὕβριν, Κόρου ματέρα θρασύμυθον O. 13. 10.

[**κορύνα**, *club* sc. of Herakles. ⟨κορύναν⟩ supp. Snell ex explanatione Σ τὸ ῥόπαλον in marg. pap. fr. 33a. 1.]

κορύσσω] *marshall* Ἴνας ἐκταμὼν δορί, ταί μιν ῥύοντό ποτε μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα sc. Achilles I. 8. 54. met., βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς P. 8. 75.

κορῠφά] (-ᾷ, -άν; -αί, -αῖσ(ιν), -άς.) *top* a. lit., α. *peak* Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς P. 1. 27. νέφεσσι δ' ἐν χρυσέοις Ὀλύμποιο καὶ κορυφα[ῖσ]ιν ἵζων — Ζεύς Πα. 6. 93. Ζῆνα καθεζόμενον κορυφαῖσιν ὕπερθε of Mt. Kynthos in Delos Πα. 12. 11. β. *head* πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν ἀνορούσαισ' O. 7. 36. b. met., α. *chief point, purport* of words. τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι O. 7. 68. εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρθὰν ἐπίστᾳ, μανθάνων οἶσθα προτέρων P. 3. 80. καὶ τοιᾶδε κορυφᾷ σάμαινεν λόγων Πα. 8Λ. 13. β. *foremost one, crown* i. e. *best* παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων ἀέθλων τε κορυφὰν Olympic festival O. 2. 13. φιάλαν — πάγχρυσον κορυφὰν κτεάνων O. 7. 4. ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν (ἀντὶ τοῦ δεῖ κατὰ καιρὸν καὶ μεγάλα καὶ μικρὰ λέγειν. Σ.) P. 9. 79. Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς i. e. by the heights of opulence they shall reach N. 1. 15. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις, ἀρχαῖον ὀτρύνων λόγον *among his great and eminent achievements* N. 1. 34. ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν (Ceporinus: -ον codd.) ὄρσομεν ἱππίων ἀέθλων κορυφάν the Pythia at Sikyon N. 9. 9. ὅστις ἁμιλλᾶται περὶ ἐσχάτων ἀέθλων κορυφαῖς N. 10. 32. cf. δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν sc. Ἱέρων O. 1. 13. c. fragg.]ιόντι τηλαυγέ' ἀγ κορυφάν[Πα. 7. 12.]κορυφὰν[—] θέμεν Δ. 1. 12.]κορυφαὶ[Δ. 4. 20, fr. 111a. 4.

κορῠφόω] *bring to a head* pass., *come to a peak* τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι *the utmost pinnacle is formed by kings* O. 1. 113.

Κορωνίς] daughter of Phlegyas, loved by Ischys, mother of Asklepios by Apollo. καλλιπέπλου λῆμα Κορωνίδος P. 3. 25.

Κορωνός] king of the Lapithai: test., Philostr. Maior, Imag., 2. 24. 1. Ἡρα-

κλεῖ γάρ που παρὰ Πινδάρῳ ἐνέτυχες, ὁπότε εἰς τὴν τοῦ Κορωνοῦ στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον, ὡς μηδὲ τὰ ὀστᾶ περιττὰ ἡγεῖσθαι v. ad. fr. 168.

κοσμέω] (κοσμεῖν: ἐκόσμησαν; κοσμήσαις: pass. aor. ἐκόσμηθεν: pf. κεκόσμηται.) *deck, dress richly* ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμήσαις *having dressed her in fine clothing* P. 9. 118. καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ I. 1. 19. χαίταν στεφάνοις ἐκόσμηθεν as victors in the games Παρθ. 2. 49. ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται *is richly laid out* N. 1. 22. met., *honour*, πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν N. 6. 46.

κοσμήτωρ] *marshal* Φρυγίας κοσμήτορα μάχας sc. ? Ὅμηρον ?fr. 347.

κόσμος] (-ῳ, -ον.) *adornment* a. *trappings, harness* αἰγλάεντα τίθησι κόσμον, ξεστὸν ὅταν δίφρον—καταζευγνύῃ P. 2. 10. b. χάρις, *honour* ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας O. 3. 13. ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν κόσμον Ὀλυμπίᾳ O. 8. 83. κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας ἀδυμελῆ κελαδήσω (cf. Wil., 217[4], "die Sitte, das bekränzte Haupt noch weiter mit Taenien zu schmücken") O. 11. 13. πατρίαν εἴπερ καθ' ὁδόν νιν (= Τιμόδημον) εὐθυπομπὸς αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις N. 2. 8. ποτίφορον δὲ κόσμον ἔλαχες γλυκύ τι γαρυέμεν N. 3. 31. ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων I. 6. 69. εἷα τειχίζωμεν ἤδη ποικίλον κόσμον αὐδάεντα λόγων fr. 194. 2. c. dat. s., pro adv., *fittingly* τὰ μὲν ὧν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν P. 3. 82.

κοτέω] *be angry with* c. dat.]λαῶν ξενοδαίκτα βασιλῆος ἀτασθαλίᾳ κοτέων θαμά sc. Ἡρακλέης fr. 140a. 57 (31).]κοτέσσατ' επ[Δ. 4. b. 7.

κότος] *anger* ὁπόταν τις ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ P. 8. 9.

κότταβος] *dregs of the wine cup* used as a toast. ὄφρα σὺν Χειμάρῳ μεθύων Ἀγαθωνίδᾳ βάλω κότταβον i. e. in honour of Agathonidas fr. 128. 3.

κούρα] v. κόρα.

κοῦρος] *son* ἁ δὲ — τίκτε θεόφρονα κοῦρον Iamos O. 6. 41. πρόγονοι, ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν O. 9. 56. καί ποτε τὸν τρικάρανον Πτωίου κευθμῶνα κατέσχεθε κουρ[(κοῦ[ρος supp. Snell, i. e. Teneros: κού[ρα Reitzenstein) fr. 51b.

κουροτρόφος] *nurse of young men* met. στάσιν — πενίας δότειραν, ἐχθρὰν κουροτρόφον fr. 109. 4.

κοῦφος] (-οισ(ιν); -α, -ᾳ, -αν; -α acc.; comp. -ότεραι.) a. *light, nimble* κούφοισιν — ποσίν O. 13. 114. θεοδμάτων ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ P. 9. 11. ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν N. 8. 19. n. pl. pro adv., τόνδε κῶμον — κοῦφα βιβῶντα O. 14. 17. b. *light, easy* τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν (= ὡς κουφόν τι, Gildersleeve) O. 13. 83. ἐπεὶ κοῦφα δόσις ἀνδρὶ σοφῷ — ξυνὸν ὀρθῶσαι καλόν I. 1. 45. c. *light, fickle* κουφότεραι γὰρ ἀπειράτων φρένες O. 8. 61.

κρᾱγέτας] *cawing* κραγέται δὲ κολοιοὶ the rivals of Pindar N. 3. 82.

κρᾰδία] (cf. καρδία.) *heart* met. εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον (Er. Schmid: καρδία codd.) N. 1. 54. ἀλλὰ σὺν δόξᾳ τέλος δωδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ (Tric.: καρδίᾳ codd.) N. 11. 10.

κραίνω] *fulfil, bring to fulfilment* κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας ἀτρεκὴς Ἑλλανοδίκας — ἀνὴρ O. 3. 11. κεῖνος — κ'ραίνει σέθεν εὐτυχίαν (sc. Ἑρμᾶς) O. 6. 81. τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε P. 4. 175. ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν P. 9. 66. met.,]ἐκ'ράνθην ὑπὸ δαιμονίῳ τινὶ — συνάγεν θρόον (ἐπετελέσθην Σ: ⟨δείματι⟩ supp. Wil. *I have been granted fulfilment*) Πα. 9. 34.

κραιπνός] *swift* "Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν" P. 4. 90. κυλινδέ-

σκοντό τε (sc. πέτραι) κραιπνότεραι ἢ βαρυγδούπων ἀνέμων στίχες P. 4. 209. σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες fr. 133. 4.

κρᾶνα] (-α, -ᾳ, -αν; -ᾶν.) *spring* Φοῖβε, Παρνασσοῦ τε κράναν Κασταλίαν φιλέων P. 1. 39. Ἀρέθοισαν ἐπὶ κ'ράναν P. 3. 69. κράναν Ὑπερῇδα λιπών P. 4. 125. ἐπ' Ἀπόλλωνός τε κράνᾳ the spring Kyre in Cyrene P. 4. 294. πρόσθα μὲν Ἰς Ἀχελωίου τὸν ἀοιδότατον Εὐρωπία κράνα Μέλ[ανό]ς τε ῥοαὶ τρέφον κάλαμον (Wil., Turyn, qui Εὐρωπία — ῥοαί appositionem esse existimat verborum Ἰς Ἀχελωίου: v. Wil., GGA, 1900, 43) fr. 70. 2. κελάρυξεν, ὡς ἀπὸ κρανᾶν φέρτατον ὕδωρ *fr. 104b.*]κράνας ο[ὐ π]ρολείπει[— ὕ]δωρ (supp. Lobel) Θρ. 4. 18. test., Σ Ammon. Hom., Φ 195; Πίνδαρος — Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων fr. 326.

κρᾶνᾶός] *rocky* κρανααῖς ἐν Ἀθάναις O. 7. 82. κρανααῖς ἐν Ἀθάναισι O. 13. 38. κρανααῖς ἐν Ἀθάναισιν N. 8. 11. μή μοι κραναὰ νεμεσάσαι Δᾶλος I. 1. 3.

κρᾶνίον] *skull* Ἀνταίου δόμους — προσπαλαίσων ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι, υἱὸς Ἀλκμήνας I. 4. 54.

κρᾶνίον] *spring*]ἀλκὰν Ἀχελωίου κρανίον τοῦτο ζάθε[ον Πα. 21. 10.

κράς] (cf. κάρα.) *head* κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν ἀγκύλῳ κρατί — κατέχευας P. 1. 8. εὐπαρᾴου κρᾶτα συλάσαις Μεδοίσας υἱὸς Δανάας P. 12. 16. τρία κρᾶτα fr. 8.

κρᾶταιός] a. *authoritative* ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν P. 2. 81. b. *powerful* ὁ δ' ἔφεπεν κραταιὸν ἔγχος P. 6. 34. κραταιὸς Τελαμὼν (Er. Schmid: καρτερὸς codd.) N. 4. 25.

κρᾶτερός] (cf. καρτερός.) a. of people, *masterful* ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς Οἰνείδαι κρατεροί (sc. ἀνυμνοῦνται: Tric.: καρτεροί codd.) I. 5. 31. b. of things, κρατεροῖς ἀδάμαντος — ἄλοις P. 4. 71. Κλυταιμήστρας χειρῶν ὕπο κ'ρατερᾶν P. 11. 18.

κρᾶτέω] (κρατεῖ; -έων, -έοντα; -εῖν: impf. κράτει, ἐκ'ράτει, κράτεσκε: aor. ἐκράτησε, κράτησεν, κράτησαν; κρατήσαις.) a. *be victorious, conquer, excel* α. abs., ἐξένεπε κ'ρατέων πάλᾳ O. 8. 20. τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ O. 10. 100. τετραορίας —, εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων P. 2. 5. ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις τὰ μέγιστ' ἀέθλων ἕλῃ P. 10. 23. ποσσὶ γὰρ κράτεσκε N. 3. 52. ἐν ἀγαθέᾳ χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν N. 6. 35. κάρυξε Θήβαν ἱπποδρομίᾳ κρατέων I. 3. 13. β. c. acc. cogn., *win, overcome* ὅτ' ἀμφότεροι κράτησαν μίαν ἔργον ἀν' ἁμέραν O. 9. 84. in zeugma, ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον N. 10. 25. b. *be powerful, rule* Θέτις δὲ κρατεῖ Φθίᾳ N. 4. 50. c. *surpass, exceed* c. acc. or gen. αὐτὰ δέ σφισιν ὤπασε τέχναν πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν O. 7. 51. δράκοντος — ὃς πάχει μάκει τε πεντηκόντερον ναῦν κράτει P. 4. 245. ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκ'ράτει Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ (ἐκράτεις coni. Kayser) N. 5. 45. d. frag.]ται κρατεῖν[?fr. 333d. 11.

κρᾶτήρ] *mixing bowl for wine* θαρσαλέα δὲ παρὰ κ'ρατῆρα φωνὰ γίνεται N. 9. 49. met., cf. κίρναμι a: ἐσσὶ γὰρ ἄγγελος ὀρθός, — σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν (sc. Αἰνέας, the chorus leader) O. 6. 91. θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν I. 6. 2.

κρατησιβίας] *victorious in strength.* κρατησιβίαν χερσί fr. 16.

κρᾶτησίμᾰχος] *victorious in battle* τέκε — Ἀλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν P. 9. 86.

κρᾶτησίπους] *victorious in speed of foot* ἔθηκε καὶ βαθυλείμων ὑπὸ Κίρρας πετρᾶν

ἀγὼν κρατησίποδα Φρικίαν pr. P. 10. 16. κρατησίππους (sc. ἵππος) fr. 13.

κρατήσιππος] *with victorious horses* τὸ κ'ρατήσιππον — ἅρμ' N. 9. 4.

κρατιστεύω] *overcome* κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος fr. 180. 3.

κρᾰτιστος] *greatest, best* τὸ δὲ φυᾷ κράτιστον ἅπαν pr. O. 9. 100. γλυκυτάτᾳ γενεᾷ εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών P. 11. 58. (Αἴας) ὃν κράτιστον 'Αχιλέος ἄτερ μάχᾳ — πόρευσαν N. 7. 27. κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι Kastor and Iolaos I. 1. 17. epith. of Zeus, θεῶν κρατίστου παῖδες (κρατιστόπαιδες Σ.) O. 14. 14. ὁ κράτιστος (κάρτιστος v. l.) Πα. 7B. 50. βροτεᾶν †φρένα κράτιστον φρενῶν (sc. χρυσόν; "κέντρον, multa alia conicias" nott. Snell) fr. 222. 3.

κράτος] (-ει, -ος.) a. *power, strength* 'Ιέρων — ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτὰν καὶ Ζηνὸς Αἰτναίου κράτος O. 6. 96. τραχεῖα δυσμενέων ὑπαντιάξαισα κράτει (sc. 'Ησυχία) P. 8. 11. b. *power, success* κράτει δὲ προσέμειξε δεσπόταν (sc. Φερένικος ἵππος) O. 1. 22. "κράτει δὲ πέλασον" (sc. ἐμέ) O. 1. 78. πυρπάλαμον βέλος ὀρσικτύπου Διός, ἐν ἅπαντι κράτει αἴθωνα κεραυνὸν ἀραρότα O. 10. 82. δῶρα καὶ κράτος ἐξέφαναν ἐγ γένος αὐτῷ N. 4. 68. 'Ισθμιάδος τε νίκας ἄποινα καὶ Νεμέᾳ ἀέθλων ὅτι κ'ράτος ἐξεῦρε I. 8. 5.

κρέας] *flesh, meat* τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο καὶ φάγον the flesh of Pelops O. 1. 50. ἵνα κρεῶν νιν (= Νεοπτόλεμον) ὑπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ meat of sacrifice. N. 7. 42.

(κρεμάννυμι)] (cf. κρίμναμι: aor. κρέμᾰσε, κρέμᾰσαν; κρέμᾰσον: pass. κρέμᾰται, -ανται.) a. act., *hang up* πατὴρ ὕπερ/κρέμασε καρτερὸν αὐτῷ λίθον O. 1. 57. ἐπεὶ δ' ἐμβόλου κρέμασαν ἀγκύρας ὕπερθεν P. 4. 192.]τ' ἀκναμπτεὶ κρέμασον[Δ. 3. 12. b. pass., *be hung up* of votive offerings. ἀλλὰ κρέμαται, ὁπόσα χεριαρᾶν τεκτόνων δαίδαλ' ἄγων Κρισαῖον λόφον ἄμειψεν P. 5. 34. c. pass., *hang (over)* met. μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων τοῖς, οἷς ποτε O. 6. 74. ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι ἀναρίθμητοι κρέμανται O. 7. 25. δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κ'ρέμαται ἑλίσσων βίου πόρον I. 8. 14.

Κρέοισα] mother of Hypseus. ('Υψεύς) ὃν ποτε — Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρέοισ' ἔτικτεν, Γαίας θυγάτηρ P. 9. 16.

Κρεοντίδας] member of the Aiginetan family of the Bassidai, ancestor of Alkimidas. πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν τίμασε N. 6. 40.

Κρεοντίς] f. adj., *daughter of Kreon* τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς I. 4. 64.

κρέσσων] (-ων, -ον(α), -ονες, -όνων, -ονας; -ον acc., -όνων.) a. of people, *stronger*. α. κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ N. 9. 15. καὶ κρέσσον' ἀνδρῶν χειρόνων ἔσφαλε τέχνα καταμάρψαισ' I. 4. 34. c. gen. comp., κ]ρέσσονα[(cf. Σ, ὑπερ]άνω τῶν χρημ[άτων) ?fr. 346a. 1. β. pro subs., *higher powers* (cf. Bischoff, Gnomen, 14.) νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον O. 10. 39. χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων (i. e. ἡ πρὸς τοὺς κρείττονας ἔρις. Σ.) N. 10. 72. b. of things, *greater, superior* πένθος δὲ πίτνει βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν O. 2. 24. οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες pr. N. 3. 30. κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερὶ τριόδοντός τ' I. 8. 34. c. gen. comp., κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος (v. l. κρέσσον) P. 1. 85. κρέσσονα μὲν ἁλικίας νόον φέρβεται γλῶσσάν τε pr. P. 5. 109. πέταται ὑποπτέροις ἀνορέαις, ἔχων κρέσσονα πλούτου μέριμναν *above* P. 8. 92. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυχὰς ἔχοντες κρέσσονας ἄνδρες *above* N. 9. 32.

κρέων] *royal, king* Διὶ καὶ κρέοντι σὺν Αἰακῷ P. 8. 99. ἄρχε δ' οὐρανοῦ πολυνε-

φέλα κρέοντι, θύγατερ, δόκιμον ὕμνον i. e. to Zeus N. 3. 10. βία Φώκου κρέοντος N. 5. 12. ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι N. 7. 45.

Κρηθεΐς] *daughter of Kretheus* ἀβρὰ Κρηθεῒς 'Ιππολύτα (Heyne: Κρηθηῒς codd.) N. 5. 26.

Κρηθεΐδας] *son of Kretheus* "θρόνος, ᾧ ποτε Κρηθεΐδας ἐγκαθίζων" Aison P. 4. 152.

Κρηθεύς] son of Aiolos. "μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ — Σαλμωνεῖ" P. 4. 142.

[κρήμναμι, v. κρίμναμι.**]**

κρημνός] a. *bank* of a river, lake. ζαθέοις ἐπὶ κρημνοῖς 'Αλφεοῦ O. 3. 22. παρὰ Βοιβιάδος κρημνοῖσιν P. 3. 34. Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας ἔσχατον Νείλου κέρας (cf. fr. 82: it lies near the junction of the Nile's eastern branch and lake Tanais) fr. 201. 1. b. *cliff* Κύ]νθιον παρὰ κρημνόν Πα. 12. 8.

κρηπίς] (-ίς, -ῖδα, -ῖδας.) *foundation(s).* καὶ μυχοὺς διζάσατο βαλλόμενος κρηπῖδας ἀλσέων (sc. 'Απόλλων) fr. 51a. κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς fr. 194. met., βάλλετο κ'ρηπῖδα σοφῶν ἐπέων P. 4. 138. κάλλιστον αἱ μεγαλοπόλιες 'Αθᾶναι προοίμιον 'Αλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ κρηπῖδ' ἀοιδᾶν ἵπποισι βαλέσθαι P. 7. 3. ὅθι παῖδες 'Αθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας (κρηπίδ' Bergk) fr. 77. 1.

Κρής] pro subs., *a Cretan* Κρῆτες — τοξοφόροι P. 5. 41. λόγον ἄνακτος Εὐξαντίου ἐπαίνεσα [Κ'ρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν Πα. 4. 36. ἐλαφρὸν ὄρχημ' οἶδα ποδῶν μειγνύμεν· Κρῆτα μὲν καλέοντι τρόπον (v. l. Κρήταν) •fr. 107b. 2.•

Κρηστωναῖος] test., Herodian., 2. 875. 1, Κρήστων, πόλις Θρᾴκης. ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ fr. 309.

κρίμναμι] in tmesis, *hang (against)* ἄγκυραν ποτὶ χαλκόγενυν ναὶ κριμνάντων" (κρημνάντων v. l.: v. ποτικρίμναμι) P. 4. 25.

κρίνω] (κρίνει: aor. ἔκ'ρῖνας: pass. κρίνεται: aor. κ'ρίθη, κρίθεν; κριθείς: pf. κέκριται: κεκ'ριμένων, κεκ'ριμένα, -μέναι.) a. *decide, judge* πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι πάντων N. 5. 40. Χρομίῳ κεν ὑπασπίζων — ἔκ'ρινας, ἂν κίνδυνον ὀξείας ἀυτᾶς, οὕνεκεν ἐν πολέμῳ κεῖνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν 'Ενυαλίου N. 9. 35. pass., *be brought to a decision,* ἄριστος εὐφροσύνα πόνων κεκ'ριμένων ἰατρός (*having passed the crisis,* a medical met., cf. van Brock, Le Vocabulaire Médical, Paris, 1961, 214) N. 4. 1. b. *allot* pass. ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου O. 2. 31. τοῖς οὔτε νόστος ὁμῶς ἔπαλπνος ἐν Πυθιάδι κ'ρίθη P. 8. 84. κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν I. 5. 11. pf. part. διείργει δὲ (sc. ἄνδρας καὶ θεοὺς) πᾶσα κεκ'ριμένα δύναμις N. 6. 2. τιμαὶ δὲ βροτοῖσι κεκ'ριμέναι Παρθ. 1. 7. c. pass., *part* σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν sc. Jason and Pelias P. 4. 168. d. pass., *be distinguished* παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς εὔδοξος ἀείδεται Σωγένης N. 7. 7.

κριός] *ram* τὸ πάγχρυσον νάκος κριοῦ P. 4. 68. "κέλεται γὰρ ἑὰν κομίξαι ψυχὰν Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους δέρμα τε κ'ριοῦ βαθύμαλλον ἄγειν, τῷ ποτ' ἐκ πόντου σαώθη ἔκ τε ματρυιᾶς ἀθέων βελέων" P. 4. 161.

Κρίσα] an ancient city destroyed and assimilated with Kirrha, q. v., where the Pythian games were held in the plain below Delphi. ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' 'Απόλλων μιν πόρε τ' ἀγλαΐαν for a victory in horseracing I. 2. 18.

Κρισαῖος] *of Krisa* Κρισαῖον λόφον ἀμείψεν ἐν κοιλόπεδον νάπος θεοῦ sc. charioteer Karrhotos P. 5. 37. ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ P. 6. 18.

κρίσις] *judging* μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ θῆκε ζαθέοις ἐπὶ κρημνοῖς 'Αλφεοῦ O. 3. 21. μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις O. 7. 80. γυίων ἀέθλοις ἐπεδείξαντο

κρίσιν ἐσθᾶτος ἀμφίς (ἵν coni. Kayser metr. gr.) P. 4. 253. βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν N. 10. 23. ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν (i. e. ὅτι ἡμῖν κρίνεται) fr. 131b. 4.

κρῖτός] *distinguished* "νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος" P. 4. 51. τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ πατραδελφεοῦ I. 8. 65.

Κροῖσος] *king of Lydia* οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά P. 1. 94. test., v. fr. 270.

κρόκα] *wool* ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις (sc. ἀπέβαν: τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα. Σ, i. e. as prizes in the games) N. 10. 44.]δε πορφυρέᾳ σὺν κρόκ[ᾳ (supp. Zuntz) Πα. 13a. 19.

κρόκεος] *saffron* ἀπὸ κ'ρόκεον ῥίψαις Ἰάσων εἷμα (v. l. κροκόεν) P. 4. 232.

[κροκόεις, v. κρόκεος.]

κρόκος] *saffron flower*]ὑακινθ[...]νκροκω[ν (supp. Lobel) Δ. 4. 3.

κροκωτός] *saffron* κροκωτὸν σπάργανον ἐγκατέβα N. 1. 38.

Κρονίδας] (-ίδα, -ίδαο, -ίδᾳ, -ίδα; -ιδᾶν, -ίδαις, -ίδαι.) *son of Kronos* Zeus, Κρονίδα — βαρυγδούπου Διός O. 8. 43. "Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα" (v. Νεῖλος) P. 4. 56. Κ'ρονίδαο Ζηνὸς υἱοί P. 4. 171. μάλιστα μὲν Κρονίδαν, βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν, θεῶν σέβεσθαι P. 6. 23. πὰρ Δὶ Κρονίδᾳ N. 1. 72. Κρονίδᾳ τε Δὶ N. 4. 9. σπονδοφόροι Κρονίδα Ζηνὸς Ἀλεῖοι I. 2. 23. καρτερόβρεντα Κρονίδα fr. 155. Cheiron, "Κρονίδᾳ — Χίρωνι" P. 4. 115. παρὰ Κ'ρονίδαν Κένταυρον N. 3. 47. pl., Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν (ἀντὶ τοῦ φερτάτου Κρονίδου· Διὸς γὰρ Λοκρὸς ὁ πρόγονος αὐτῶν. Σ.) O. 9. 56. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις γλυκὺν ἑλὼν βίοτον P. 2. 25. Κρονίδαι μάκαρες P. 5. 118. ὣς φάτο Κρονίδαις ἐννέποισα θεά (Zeus & Poseidon) I. 8. 45. φιλέων δ' ἂν εὐχοίμαν Κρονίδαις ἐπ' Αἰολάδᾳ — εὐτυχίαν τετάσθαι the gods Παρθ. 1. 12.

Κ'ρόνιος] a. *son of Kronos* Zeus, ὦ Κρόνιε παῖ Ῥέας O. 2. 12. πατρί τε Κρονίῳ τιμάεντι fr. 140a. 64 (38). Pelops, ἐν βάσσαις Κρονίου Πέλοπος (v. Σ ad loc., & Πα. 22: Pelops was descended from a daughter of Pelops, but v. b infra) O. 3. 23.]Κρονίου Πέλοπος[Πα. 22. 7. Poseidon, Ποσειδάωνι — Κρονίῳ O. 6. 29. b. *of Kronos* referring to the hill of Kronos at Olympia. Ζεῦ, Κρόνιόν τε ναίων λόφον τιμῶν τ' Ἀλφεὸν O. 5. 17. Κ'ρόνιον παρ' ὄχθον O. 9. 3. pro subs., παρ' εὐδείελον ἐλθὼν Κρόνιον O. 1. 111. ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου O. 6. 64. Κρονίου πὰρ τεμένει N. 6. 61. c. fragg.]Κρόνιον δῶμ' ἀγλαο[Πα. 7C. a. 6. Κρον[Πα. 6. 68.

Κρονίων] (ῐ but ῑ P. 1. 71, N. 9. 28.) *son of Kronos* epith. of Zeus. λίσσομαι νεῦσον, Κρονίων P. 1. 71. χερσὶ δ' ἄρα Κ'ρονίων ῥίψαις P. 3. 57. "Κρονίων Ζεὺς πατὴρ" P. 4. 23. ὤπασε δὲ Κ'ρονίων N. 1. 16. Κρονίων ἀστεροπὰν ἐλελίξαις N. 9. 19. εἰ δυνατόν, Κρονίων N. 9. 28. "πάτερ Κρονίων" N. 10. 76. "εὐ]ρύοπα Κρονίων" Πα. 8A. 15. πατὴρ δὲ Κρονίων μολ[Πα. 15. 5. Κρ]ονίων νεῦσεν ἀνάγκᾳ[(supp. Lobel) Δ. 4. 17. Κρονίων Ζεύς (Κρονείων Π) ?fr. 334a. 9.

Κρόνος] (only in gen. Κρόνου.) father of Zeus. Κρόνου παῖδ' Zeus O. 1. 10. παρὰ Κρόνου τύρσιν in the islands of the blessed O. 2. 70. Κ'ρόνου παῖ Zeus O. 4. 8. Κ'ρόνου σὺν παιδὶ Zeus O. 7. 67. πὰρ Κρόνου λόφῳ (v. Κρόνιος b.) O. 8. 17. καὶ πάγον Κρόνου προσεφθέγξατο O. 10. 50. ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιᾶν θυγατέρι Κ'ρόνου Hera P. 2. 39. Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου Cheiron P. 3. 4. καὶ Κρόνου παῖδας βασιλῆας ἴδον the gods P. 3. 94. ἐκ δὲ Κ'ρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων Αἰακίδας N. 5. 7. παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου N. 11. 25. Κρόνου σεισίχθον' υἱὸν Poseidon I. 1. 52.

εὐρύοπα Κρόνου παῖς Zeus Πα. 6. 134. Κρόνου παῖ[δες] the gods Πα. 8. 72.

κρόταλον] *castanet* ἐν δὲ κέχλαδ[εν] κρόταλ' αἰθομένα τε δαῒς ὑπὸ ξανθαῖσι πεύκαις in the Dionysaic rites Δ. 2. 10.

κρόταφος] *temple* of the head.]κροταφον[Δ. 3. 8.

κροτέω] *beat, stamp* μελπόμεναι ποδὶ κροτέο[ντι (sc. γᾶν) Πα. 6. 18. κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς fr. 194.

κρουνός] *spring* ἦ πόλλ' ἀμφὶ κρουνοῖς Πάγασον ζεῦξαι ποθέων ἔπαθεν (i. e. τοῖς ῥεύμασι τῆς Πειρήνης. Σ.) O. 13. 63. met., κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν δεινοτάτους ἀναπέμπει P. 1. 25.

κρύβδᾰ] *secretly* "κρύβδα πέμπον (sc. με) σπαργάνοις ἐν πορφυρέοις" (byz.: κρύβδαν codd.) P. 4. 114.

κρύβδᾱν] prep. c. gen., *without the knowledge of* ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός P. 3. 13.

κρῠόεις] *chilling* met. ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ P. 4. 73. νιν ἐρειδόμενον ναυαγίαις ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ I. 1. 37.

κρυπτός] *hidden* κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων pr. P. 9. 39.

κρύπτω] (κρύπτε, -έτω; -ειν: aor. κρύψε(ν), (ἔ)κρυψαν; κρύψαι: med. pf. κέκρυπται: pass. κĕκρύφθαι: plupf. κέκ'ρυπτο.) a. *conceal* κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις O. 6. 31. μὴ κρύπτε κοινὸν σπέρμ' ἀπὸ Καλλιάνακτος *keep in obscurity* O. 7. 92. ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος O. 13. 13. τό γ' ἐν ξυνῷ πεπονα μένον εὖ μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω P. 9. 94. ἀξιωθείην κεν — Ἄργει μὴ κρύπτειν φάος ὀμμάτων *lower my gaze* N. 10. 40. ταύταν (sc. κακότατα) σκότει κρύπτειν ἔοικεν fr. 42. 6. τότε χρύσεαι ἀέρος ἔκρυψαν κόμαι ἐπιχώριον κατάσκιον νῶτον ὑμέτερον *concealed in shadow* of Aigina, the nymph and island Πα. 6. 138. med., ὁ δὲ μηδὲν ἔχων ὑπὸ σιγᾷ μελαίνᾳ κάρα κέκρυπται Παρθ. 1. 10. pass., ἀλλ' ἐν/κέκρυπτο γὰρ σχοίνῳ βατιᾷ τ' ἐν ἀπειρίτῳ (sc. Ἴαμος: ἐγκέκρυπτο, -ετο codd., corr. Boeckh. Snell) O. 6. 54. φαντὶ δ' — ἐν βένθεσιν νᾶσον κεκρύφθαι O. 7. 57. b. *bury* τὸν — κρύψαν ἔνερθ' ὑπὸ γᾶν διφρηλάτα Ἀμφιτρύωνος σάματι P. 9. 81. ὁ δ' Ἀμφιαρεῖ σχίσσεν κεραυνῷ παμβίᾳ Ζεὺς τὰν βαθύστερνον χθόνα, κ'ρύψεν δ' ἅμ' ἵπποις N. 9. 25. ἀλλά μιν Κρόνου παῖ[δες] κεραυνῷ χθόν' ἀνοιξάμενοι ἔκρυψαν τὸ πάντων ἔργων ἱερώτ[ατον] Πα. 8. 74.

κρῠφᾶ] *secretly* αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται, ἃ φέρει δόξαν N. 9. 33.

κρῠφᾷ] *secretly* ἔννεπε κ'ρυφᾷ τις O. 1. 47. νεκρὸν ἵππον στυγέοισιν λόγῳ κείμενον ἐν φάει, κρυφᾷ δὲ σκολιαῖς γένυσσιν ἀνδέροντι (Boeckh: κρύφα codd.) fr. 203. 2.

κρῠφαῖος] *in secret* εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον pr. I. 1. 67.

κρῠ́φιος] *secret* [κρύφιον (codd. contra metr.: κρυφόν Aristarchus) O. 2. 97.] ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει *the inner spirit* P. 1. 84. κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν N. 8. 26. κρυφίου δὲ λο[(λόγου coni. Snell) fr. 260. 2.

κρῠφός] ?*hidden* κόρος — τὸ λαλαγῆσαι θέλων κρυφόν τε θέμεν ἐσλῶν καλοῖς ἔργοις (Aristarchus cf. Georgacas, Glotta 36, 164. κρύφιόν codd., κρύψιν Σ paraphr. fort. recte) O. 2. 97.

κτάομαι] *acquire, win* φιάλαις —, ἃς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμψαν N. 9. 52. [σὺν θεῶν δέ νιν αἴσᾳ Ὕλλου τε καὶ Αἰγιμιοῦ Δωριεὺς ἐλθὼν στρατὸς ἐκτήσατο (cod.: ἐκτίσσατο Hermann) I. 9. 4.] τοὶ σὺν πολέμῳ κτησάμ[ενοι] χθόνα πολύδωρον ὄλβον ἐγκατέθηκαν Πα. 2. 59.

κτέᾰνον] (κτέανον voc.; κτεάνων, -άνοις, κτεάτεσσι, κτεάτεσσι, κτέατ(α).) *possession* χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ — Μοισᾶν κτέανον P. 1. 2. esp. pl., *goods,* κτεάνων δὲ χρυσὸς αἰδοιέστατος O. 3. 42. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς O. 5. 24. φιάλαν — πάγχρυσον κορυφὰν κτεάνων

O. 7. 4. εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι P. 1. 46. εἰ δέ τις ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει P. 2. 59. πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων P. 4. 290. κτεάνων φύλαξ ἐμῶν P. 8. 58. γλυκυτάτᾳ γενεᾷ εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών P. 11. 58. ᾤχετο δὲ πρὸς θεόν, κτέατ' ἄγων Τροίαθεν ἀκροθινίων (v. l. κτέαν') N. 7. 41. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυχὰς ἔχοντες κρέσσονας ἄνδρες N. 9. 32. εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος N. 9. 46. κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων I. 2. 11.]ἄστει κτεαν[Πα. 21. 15.]κτεάνω[fr. 215b. 18. κτεάν[ων (supp. Lobel) P. Oxy. 2622, fr. 1. 1 ad ?fr. 346.

(κτέαρ)] v. κτέανον.

Κτέατος] son of Poseidon, brother of Eurytos. ἐπεὶ Ποσειδάνιον πέφνε Κτέατον ἀμύμονα, πέφνε δ' Εὔρυτον (sc. 'Ηρακλέης) O. 10. 27.

κτείνω] (κτείνοντ(α); aor., κτεῖνα, (ἔ)κτεινε; aor. 2, (ἔ)κτανεν; κτανών.) *kill* ἔκτεινε Λᾶον μόριμος υἱός O. 2. 38. σκάπτῳ θενὼν σκληρᾶς ἐλαίας ἔκτανεν — Λικύμνιον O. 7. 29. κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν (sc. 'Ιάσων) P. 4. 249. ὅσσους μὲν ἐν χέρσῳ κτανών, ὅσσους δὲ πόντῳ θῆρας ἀιδροδίκας N. 1. 62. τὸν ἐθάμβεον — κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων N. 3. 51. "θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ" Herakles speaks I. 6. 48. δηρι]αζόμενον κτάνεν ⟨ἐν⟩ [τεμέ]νει φίλῳ (sc. 'Απόλλων Νεοπτόλεμον: κτανειν Π, corr. Zenodotus ap. Σ.) Πα. 6. 119.

κτείς] *comb* met. ἔστι μοι πατρίδ' ἀρχαίαν κτενὶ Πιερίδ[ων ?ὤ]στε χαίταν παρθένου ξανθ[(ἀγάλλειν supp. e. g. Snell) fr. 215a. 6.

κτίζω] (aor. κτίσεν, ἔκτισσε, ἔκτισαν; κτίσῃ; κτίσαιεν, κτίσσειεν: aor. med. ἐκτίσσατο, κτισσάσθαν: aor. pass. κτίσθη.) a. *found, establish* cities, πόλιν — 'Υλλίδος στάθμας 'Ιέρων ἐν νόμοις ἔκτισσε P. 1. 62. κτίσσειεν εὐάρματον πόλιν ἐν ἀργεννόεντι μαστῷ P. 4. 7. ἐπεὶ κτίσθη νέον Troy O. 8. 37. altars, sanctuaries, εὖτ' ἂν — 'Ηρακλέης — πατρὶ ἑορτάν τε κτίσῃ — τεθμόν τε μέγιστον O. 6. 69. ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα O. 7. 42. ἀγῶνα δ' — Διός, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος †βωμῷ ἑξάριθμον ἐκτίσσατο O. 10. 25. κτίσεν δ' ἄλσεα μείζονα θεῶν P. 5. 89 a line, people. ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον (Mommsen: κτισάσθαν, κτησάσθαν, κτησάσθην codd.: sc. Pyrrha and Deukalion) O. 9. 45. b. *settle, colonise* σὺν θεῶν δέ νιν αἴσᾳ 'Ὕλλου τε καὶ Αἰγιμιοῦ Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο (Hermann: ἐκτήσατο cod.: sc. Αἴγιναν) I. 9. 4. καὶ σποράδας φερεμήλους ἔκτισαν νάσους (sc. οἱ ἀπ' 'Αθηνῶν 'Ιωνες. Σ.) Πα. 5. 39.

κτιλεύω] pass., *be domesticated* ἔνθα ποῖμναι κτιλεύονται κάπρων λεόντων τε fr. 238.

κτίλος] *obedient* Κινύραν — ἱερέα κτίλον 'Αφροδίτας (but cf. A. Morpurgo, RCCM, 1960, 30ff., *ram*) P. 2. 17.

κτίσις] *creation* τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν (byz.: κτῆσιν. codd.) O. 13. 83.

κτίστωρ] *founder* κτίστορ Αἴτνας Hieron. fr. 105. 3.

κτύπος] *loud noise*]σὺν κτύπῳ[Πα. Πα. 13a. 15.

κυάναιγις] (cf. μελάναιγις.) *with dark aegis* epith. of Athene. κυάναιγις — παρθένος O. 13. 70.

κυανάμπυξ] *with dark-blue headband* τὰν κυανάμπυκα Θήβαν fr. 29. 3.

κυάνεος] *dark, dark-blue* λόχμας ὑπὸ κυανέας O. 6. 40. τηλέφαντον κυανέας χθονὸς ἄστρον Delos fr. 33c. 5.

κυανόπ'λοκος, -ον] *dark haired* κυανοπλόκοιο — ποντίας Θέτιος (κυανοκόμοιο Π[1m]) Πα. 6. 83.

κυανοχίτων] *with dark-blue tunic*]ον κυανοχίτων[(Π[s]: -κίτων Π.) Δ. 3. 5.

Κυβέλα] the Great Mother. θεῶ[ν] Κυβέ[λαν] ματ[έρα] (supp. Gomperz, Snell) fr. 80.

κῠβέρνᾱσις] *steering* met., *government* ἐν δ' ἀγαθοῖσι κεῖται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες P. 10. 72.

κῠβερνάτας] *steersman* ἐξίει δ' ὥσπερ κυβεράτας ἀνὴρ ἱστίον ἀνεμόεν P. 1. 91.

κῠβερνᾱτήρ] *helmsman* met. εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται P. 4. 274. διπλόαν νίκαν ἀνεφάνατο — κυβερνατῆρος οἰακοστρόφου γνώμᾳ πεπιθὼν πολυβούλῳ i. e. of his trainer, Orseas I. 4. 71.

κῠβερνάω] *steer, guide* τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ νᾶες O. 12. 3. met., Διός τοι νόος μέγας κυβερνᾷ δαίμον' ἀνδρῶν φίλων P. 5. 122. Ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ fr. 214. 3.

κῡδαίνω] *enhance, lend prestige to* ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν O. 10. 66. ὅρος — τοῦ μὲν ἐπωνυμίαν κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν γείτονα P. 1. 31. νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν N. 9. 12.

κύδῐμος] *bringing renown* κυδίμων ἀέθλων O. 14. 24.

κῦδος] (only in acc. κῦδος) *prestige, renown* cf. Fränkel, D & P, 88[14]. ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ' (sc. θεός) P. 2. 52. ἑτέροις ἔδωκεν μέγα κῦδος ("Macht," Schadewaldt, 330[1]) P. 2. 89. (πάρφασις) ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν N. 8. 34. εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος N. 9. 47. esp., acquired in games, θυμὸς ὀτρύνει φάμεν Ἐμμενίδαις Θήρωνί τ' ἐλθεῖν εὐίππων διδόντων Τυνδαριδᾶν O. 3. 39. κῦδος ὄρσαι σπεύδει Καμαρίνᾳ O. 4. 11. τὶν δὲ κῦδος ἁβρὸν νικάσας ἀνέθηκε O. 5. 7. εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ O. 8. 54. Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν (ἀντὶ τοῦ ἐν ἀνδράσι) O. 9. 88. στεφάνους — καλλίνικον πατρίδι κῦδος I. 1. 12. ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν I. 1. 50. c. gen., κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν ἱπποδρομίας *in horseracing* P. 4. 66.

κύκ'λος] a. *wheel* ποικίλαν ἴυγγα τετράκναμον Οὐλυμπόθεν ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ μαινάδ' ὄρνιν Κυπρογένεια P. 4. 215. b. *circle* φῶτας δ' — δαμάσσαις διήρχετο κύκλον ὅσσᾳ βοᾷ i. e. through the circle of spectators O. 9. 93. dat. pro adv., τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν i. e. the area round about O. 10. 46.

κῠκλόω] *swing* μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων O. 10. 72.

Κύκλωπες] one eyed giants, who built the walls of Tiryns and Mykenai. Κυ]κλώπων Δ. 1. 6. dub. test., [τοὺς Κύκλωπάς φησι Πίν]δαρος δε[θῆναι ὑ]πὸ Διὸς φο[βηθέντος] μή τινί πο[τε θεῶν] ὅπλα κατ[ασκευάσωσι] (supp. Gomperz, Bergk, Philippson) fr. 266.

Κυκ'λώπειος] *Cyclopean* Κυκλώπειον ἐπὶ πρόθυρον Εὐρυσθέος (-είων ἐπὶ πρόθυρων v. l.: i. e. to Tiryns) fr. 169. 7.

Κύκ'νειος] *of, with Kyknos* τράπε δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον Ἡρακλέα (Hermann: Κυκνέα codd.: Κυκνεία byz., cf. Wil., Verskunst, 237[1]. ἐτράπη εἰς φυγὴν ὁ Ἡρακλῆς συλλαβομένου τοῦ Ἄρεος ὡς παιδὶ τῷ Κύκνῳ. Σ.) O. 10. 15.

Κύκνος] son of Ares, slain by Achilles at Troy. Κύκνον τε θανάτῳ πόρεν Achilles O. 2. 82. λέγε τίνες Κύκ'νον, τίνες Ἕκτορα πέφνον; I. 5. 39.

κῠλίνδω] *roll, toss* πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα P. 1. 24. Ἰξίονα — ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον P. 2. 23. κυλινδέσκοντό (sc. πέτραι) τε κραιπνότεραι ἢ — ἀνέμων στίχες P. 4. 209. met., αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω — κυλίνδοντ' ἐλπίδες O. 12. 6. φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει χαμαὶ πετοῖσαν *exercises* N. 4. 40. αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξ ἄλλαξεν *as the days roll by* I. 3. 18.

κύλιξ] *wine cup* ἐν ξυνῷ κεν εἴη συμποταισίν τε γλυκερὸν καὶ Διωνύσοιο καρπῷ

καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον fr. 124. 4.

Κυλλάνα] a mountain in Arkadia above Stymphalos. εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος, Ἁγησία, μάτρωες ἄνδρες ναιετάοντες ἐδώρησαν (Π: ὄροις codd.) O. 6. 77.

Κύμα] *Cumae* in Italy. ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα (sc. Τυφῶνος) P. 1. 18. ὁ Φοίνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς — ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας (a reference to the battle, in which Hiero defeated the Carthaginian and Etruscan fleet at sea 474/3 B. C.) P. 1. 72.

κῦμα] (κῦμα, -ατος, -α; -ατα, -άτων, -ασιν, -άτεσσιν.) *wave, surge* νῦν ψᾶφον ἑλισσομέναν ὀπᾷ κῦμα κατακλύσσει ῥέον O. 10. 9. ὠκυπόρους κυμάτων ῥιπὰς P. 4. 195. "χὠπόσαι ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται" P. 9. 48. τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν N. 6. 55. νᾶα κύματος fr. 1a. 4. ἦν γὰρ (sc. Δᾶλος) τὸ πάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν ἀνέμων ῥιπαῖσιν fr. 33d. 2. ἁλὸς ἐπὶ κῦμα βάντες ἦλθον ἄγγελοι Πα. 6. 100. ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου fr. 136. met., ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀΐδα N. 7. 31.

κῡμαίνω] act., *swell into bloom* intrans., met. "σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει" P. 4. 158. med., of people under emotional stress, ὃς μὴ πόθῳ κυμαίνεται *is not swollen with longing* fr. 123. 4.

κῡνᾱγέτας] *hunter* met. νῦν πέφανται οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας sc. Ἀλκιμίδας N. 6. 14.

Κύνθιος] *of Mt. Kynthos* in Delos. Κύ]νθιον παρὰ κρημνόν, ἔνθα κελαινεφέ' ἀργιβρένταν λέγο[ντι] Ζῆνα καθεζόμενον κορυφαῖσιν ὕπερθε φυλάξαι at the birth of Apollo and Artemis Πα. 12. 8.]ε Κυνθίῳ πα[fr. 60b. 14.

κῠπᾰρίσσῐνος] *of cypress wood* σφ' (i. e. votive offerings) ἔχει κυπαρίσσινον μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν, Κρῆτες ὃν τοξοφόροι τέγει Παρνασσίῳ καθέσσαντο μονόδροπον φυτόν P. 5. 39.

κῠπᾰρισσος] (ἡ) *cypress wood* "ἔα, φρήν, κυπάρισσον, ἔα δὲ νομὸν Περιδάιον" (τὴν Κρήτην. Σ.) Πα. 4. 50.

Κύπριος] *of Cyprus* pro subs., a. Aphrodite. "φίλια δῶρα Κυπ'ρίας" O. 1. 75. (ἔρωτες)· οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπ'ρίας δώρων N. 8. 7. b. *man of Cyprus* φᾶμαι Κυπρίων P. 2. 16. c. τὰ Κύπρια, an epic poem, v. Ὅμηρος, test., fr. 265.

Κύπρις] *the Cyprian* i. e. Aphrodite. γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος fr. 217.

Κυπ'ρογενής,-γένεια] pro subs., *the Cyprus-born,* Aphrodite. πότνια δ' ὀξυτάτων βελέων — Κυπρογένεια P. 4. 216. σὺν Κυπρογενεῖ O. 10. 105.

Κύπρος] *Cyprus* Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει ὁ Τελαμωνιάδας N. 4. 46. (θεῷ) ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπ'ρῳ N. 8. 18. ὦ Κύπρου δέσποινα Aphrodite fr. 122. 18.

Κῡράνα] (-α, -ας, -ᾳ -αν, -α.) a. the city of Cyrene in Libya, founded by Battos as a colony of Thera. εὐίππου βασιλῆι Κυράνας Arkesilas P. 4. 2. σε — πεπρωμένον βασιλέ' ἄμφανεν Κυράνᾳ P. 4. 62. τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας P. 4. 276. ἐπέγνω μὲν Κυράνα καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν Δαμοφίλου πραπίδων P. 4. 279. νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων δέξεται P. 9. 73. b. the nymph Cyrene, daughter of Hypseus. ἄστυ χρυσοθρόνου διανέμειν θεῖον Κυράνας P. 4. 261. τῶ σε μὴ λαθέτω, Κυράνα, γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀειδόμενον (-άνᾳ coni. Er. Schmid; -άνας Schr.) P. 5. 24. ταμίᾳ Κυράνας Battos P. 5. 62. Κυράνας ἀγακτιμέναν πόλιν P. 5. 81. γεγωνεῖν ὄλβιον ἄνδρα διωξίππου στεφάνωμα Κυράνας P. 9. 4. ὁ δὲ τὰν εὐώλενον θρέψατο παῖδα Κυράναν (sc. Ὑψεύς) P. 9. 18.

κῡρέω] *come upon* c. gen. ἀλλ' Αἰακίδαν καλέων ἐς πλόον ⟨— —⟩ κύρησεν

δαινυμένων (⟨κεῖνον⟩ coni. Schr.: ⟨πάντων⟩ Tric.) I. 6. 36.

κύριος] (-ιος, -ίῳ, -ιε, -ιοι; -ίαν; -ιον acc.: -ιώτερο[ς], -ιώτερον.) a. of people, *authoritative* ξένον μή τιν' — δύναμιν κυριώτερον τῶν γε νῦν O. 1. 104. κυριώτερο[ς ⟨εἰς σοφίας λόγον⟩ (sc. Παλαμήδης: supp. Snell ex Aristide, qui verba laudavisse videtur: αὐτὸν (= Παλαμήδεα) κυριώτερον τοῦ 'Οδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος) fr. 260. 7. c. gen., *master of*, πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ P. 2. 58. θρασύ μοι τόδ' εἰπεῖν φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων οἴκοθεν (cf. ἐπίκουρος) N. 7. 51. Ζεὺς ὁ πάντων κύριος I. 5. 53. b. of time, *appointed* κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους at the birth of Iamos O. 6. 32. κύριον ὃς πάντων τέλος οἶσθα καὶ πάσας κελεύθους Apollo P. 9. 44. c. dub. & frag. [v. μυρίος, Πα. 6. 118.]]ων κύριοι[Πα. 13b. 24.

κύων] (ὁ, ἡ.) (κύων, κύνα, κύνες, κυνῶν.) *dog* κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων N. 3. 51. παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρῖξαν κύνες Herakles I. 1. 13. τρεχέτω δὲ μετὰ Πληιόναν, ἅμα δ' αὐτῷ κύων (sc. Orion: cf. Lucian. pro imag., 19, ὡς ὁ τὸν 'Ωρίωνος κύνα ἐπαινῶν ἔφη ποιητὴς λεοντοδάμαν αὐτόν) fr. 74. ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέοισιν 'Ολύμπιοι Pan. fr. 96. 2. ἀπὸ Ταυγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 2. Πελασγὸν ἵππον ἢ κύνα 'Αμυκλάιαν — μιμέο *fr. 107a. 1.* κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν fr. 234. 3.

κῶας] (τό) *fleece* "ἄφθιτον στρωμνὰν ἀγέσθω, κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ" P. 4. 231.

κωκυτός] *wailing* "κᾶδος — θηκάμενοι μίγα κωκυτῷ γυναικῶν" P. 4. 113.

κωλύω] *prevent* c. inf. "ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ κώλυεν μεῖναι" P. 4. 33.

κῶμα] *repose* καὶ γὰρ βιατὰς "Αρης — ἰαίνει καρδίαν κώματι P. 1. 12.

κωμάζω] (κώμαζ(ε); κωμάζοντ(α), -οντι: fut. med. pro act., κωμάσομαι, -άξομαι: aor. κώμασαν; subj. -άσομεν; κωμάξατε; κωμάσαις.) a. abs., *hold a triumphal procession.* κωμάζοντι φίλοις 'Εφαρμόστῳ σὺν ἑταίροις O. 9. 4. κωμάζοντι σὺν 'Αρκεσίλᾳ P. 4. 2. κωμάσομεν πὰρ 'Απόλλωνος Σικυωνόθε, Μοῖσαι, τὰν νεοκτίσταν ἐς Αἴτναν (χορεύσωμεν καὶ ὑμνήσωμεν Σ.) N. 9. 1. χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι I. 3. 8. κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνῳ καὶ Στρεψιάδᾳ I. 7. 20. b. *celebrate (a person, event) with a victory hymn, or procession.* τὸν (= Δία), ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ. ἀδυμελεῖ δ' ἐξάρχετε φωνᾷ N. 2. 24. ἀδεῖαί γε μὲν ἀμβολάδαν ἐν τελεταῖς δὶς 'Αθαναίων μιν (= Θεαῖον) ὀμφαὶ κώμασαν N. 10. 35. σὺν 'Ορσέᾳ δέ νιν κωμάξομαι, τερπνὰν ἐπιστάζων χάριν (κωμάζομαι v. l.) I. 4. 72. τοῖσι (i. e. in honour of Herakles and Iphikles) τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν P. 9. 89. πενταετηρίδ' ἑορτὰν 'Ηρακλέος τέθμιον κωμάσαις sc. Aristagoras N. 11. 28.

κῶμος] (-ου, -ῳ, -ον, -ων.) *victory procession, triumph of a victor* Οὐλυμπιονίκαν δέξαι Χαρίτων θ' ἕκατι τόνδε κῶμον O. 4. 9. ἀνδρὶ κώμου δεσπότᾳ O. 6. 18. σὺν δὲ φιλοφροσύναις εὐηράτοις 'Αγησία δέξαιτο κῶμον O. 6. 98. τόνδε κῶμον καὶ στεφανοφορίαν δέξαι O. 8. 10. ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ κοῦφα βιβῶντα O. 14. 16. κῶμόν τ' ἀέθλων Πυθίων αἴγλαν στεφάνοις P. 3. 73. δέδεξαι τόνδε κῶμον ἀνέρων P. 5. 22. ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ P. 8. 20. κώμῳ μὲν ἀδυμελεῖ Δίκα παρέστακε P. 8. 70. (κρατῆρα), γλυκὺν κώμου προφάταν N. 9. 50. οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν, οὔτε μελικόμπων ἀοιδᾶν I. 2. 31. esp., the triumph song sung in conjunction with the procession, μεγαλᾶν δ' ἀρετᾶν δρόσῳ μαλθακᾷ ῥανθεισᾶν κώμων ὑπὸ χεύμασιν (κώμων

θ' codd.: θ' del. byz.: ὕμνων coni. Pauw, Beck) P. 5. 100. μελιγαρύων τέκτονες κώμων νεανίαι N. 3. 5. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων I. 6. 58. Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον εὔδοξον, ὦ νέοι, καμάτων — ἰὼν ἀνεγειρέτω κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ ἀέθλων ὅτι κράτος ἐξεῦρε I. 8. 4.

κώπα] *oar* κάρυξε δ' αὐτοῖς ἐμβαλεῖν κώπαισι P. 4. 201. κώπαν σχάσον, ταχὺ δ' ἄγκυραν ἔρεισον χθονί (met., ἐπιτιμᾷ ἑαυτῷ ὁ Πίνδαρος ὡς πολλῇ χρησαμένῳ τῇ παρεκβάσει. Σ.) P. 10. 51.

Κῶς] the island.]Κῶν (coni. Lobel. dubitanter) fr. 33a. 4. test., Strabo, 2. 91. 9, = fr. 51 Schr., = fr. 33a Snell, v. Ἡρακλέης. Quintil., Inst., 8. 6. 71, = fr. 50 Schr., = 33a Snell, v. Ἡρακλέης.

κωφός] *dumb* κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει pr. P. 9. 87.

Λ

λᾴα] *booty* ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν λᾴαν τε πᾶσαν Διὸς ἄλκιμος υἱὸς σταθμᾶτο ζάθεον ἄλσος (Ahrens: λαίαν codd.: sc. Ἡρακλέης) O. 10. 44, cf. Lobel on P. Oxy. 2636. 7.

Λαβδακίδαι] a Theban clan claiming descent from Labdakos. ματρόθε Λαβδακίδαισιν σύννομοι I. 3. 17.

λάβ'ρος] a. of persons, *impetuous, intemperate* μαθόντες δέ, λάβροι παγγλωσσίᾳ κόρακες ὥς, ἄκραντα γαρύετον (v. l. λάβρᾳ) O. 2. 86. χὠπόταν ὁ λάβρος στρατός, χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι P. 2. 87. b. of things, *ravening, greedy* δράκοντος — λαβροτατᾶν γενύων P. 4. 244. met., ἦν ὅτι νιν (Τροίαν) πεπρωμένον — λάβρον ἀμπνεῦσαι καπνόν O. 8. 36. σέλας δ' ἀμφέδραμεν λάβρον Ἀφαίστου P. 3. 40. [σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον ὑπερεῖσαι λίθον Μοισαῖον (τ' ἐλαφρὸν coni. Sandys.) N. 8. 46.]

λᾱγέτας] *leader of the people* ἔτεκε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς O. 1. 89. λαγέταν γάρ τοι τύραννον δέρκεται — ὁ μέγας πότμος P. 3. 85. "λαγέτᾳ Αἰόλῳ" P. 4. 107. Περσεὺς — λαγέτας P. 10. 31.

λαγχάνω] (aor. ἔλᾰχον, ἔλᾰχες, (ἔ)λᾰχε, ἐλᾰ́χομεν, λᾰ́χετε, λᾰ́χον; λᾰχών, -όντ(α), -όντες, -οῖσα, -οῖσαι: pf. λέλογχας, λέλογχε(ν).) a. *have alloted to one, win as one's own* c. acc. υἱόν· ἂν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν μεγαλόδοξος Εὐνομία schema pindaricum O. 9. 15. τίς δὴ ποταίνιον ἔλαχε στέφανον χείρεσσι ποσίν τε καὶ ἅρματι O. 10. 61. ὅτι φρενῶν ἔλαχε καρπὸν ἀμώμητον (sc. Ῥαδάμανθυς) P. 2. 74. ἕτεροι λαχόντες Ἀΐδαν βασιλέες ἱεροὶ P. 5. 96. ὁ δὲ καλόν τι νέον λαχὼν P. 8. 88. τῶν δ' ἐν Ἑλλάδι τερπνῶν λαχόντες οὐκ ὀλίγαν δόσιν P. 10. 20. ποτίφορον δὲ κόσμον ἔλαχες γλυκύ τι γαρυέμεν (Bergk e Σ: ἔλαβες codd.) N. 3. 31. ἄνευ σέθεν οὐ φάος οὐ μέλαιναν δρακέντες εὐφρόναν τεὰν ἀδελφεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν N. 7. 4. φυᾷ δ' ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες N. 7. 54. ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον N. 9. 45. παῖ Ῥέας ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία N. 11. 1. οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν I. 4. 49. πλέον τι λαχὼν (sc. Ζεύς) fr. 35a. ἰσοδένδρου τέκμαρ αἰῶνος θεόφραστον λαχοῖσα (v. l. λαχοῦσαι: sc. dryad nymph.) fr. 165. Μοίσαισί τ' ἔδωκ' ἀρόσαι, τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών, τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ (sc. στεφάνους) N. 10. 27. c. dupl. acc., (Ἡρακλέα) ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον ὀλβίοις ἐν δώμασι N. 1. 70. c. acc. & inf. expl., λάχε τ' Ἀλφεὸν οἰκεῖν O. 6. 34. λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν ἀντίον (sc. Χρομίος: v. Radt, Mnem.,

1966, 154ff.) N. 1. 24. met., πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν ἀλλότριον O. 10. 88. Ἥρας — τὰν Διὸς εὐναὶ λάχον πολυγαθέες P. 2. 27. ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους O. 1. 53. **b.** c. gen. Καφισίων ὑδάτων λαχοῖσαι — Χάριτες O. 14. 2. Δωρίων ἔλαχεν σελίνων I. 8. 64. ⟨οὐ πενθέων δ' ἔλαχον, οὐ στασίων⟩ (supp. et add. e cod. Plutarchi et Σ Π Blass) Πα. 4. 53. ἰοδέτων λάχετε στεφάνων τᾶν τ' ἐαριδρόπων ἀοιδᾶν (sc. θεοί: λάχει v. l. in codd. Dion. Hal., unde λαχεῖν coni. Usener) fr. 75. 6. **c.** frag.]λάχον κ[fr. 140a. 76 (50).

λάθα] (-α, -ας, -αν.) **a.** act., not remembering, *forgetting, forgetfulness* ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος O. 7. 45. and so a desired forgetting, *escape*, λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἂν O. 2. 18. Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσχεν Θεαῖος εὐφόρων λάθαν πόνων N. 10. 24. **b.** pass., *not being remembered, obscurity*, πεντάκις Ἰσθμοῖ στεφανωσάμενος, Νεμέᾳ δὲ τρεῖς, ἔπαυσε λάθαν Σαοκλείδα' N. 6. 20. ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει ἐν λυγρῷ νείκει (λήθη καὶ θάνατος. Σ.) N. 8. 24.

λάθω, λανθάνω] (λανθάνει; λᾱθέμεν: impf. ἔ[λ]ᾱ[θ]εν: aor. ἔλᾰθ(ε); λᾰθέτω; λᾰθών; λᾰθεῖν: med. λάθεται: aor. ἐλάθοντο.) **a.** act., *escape the notice (of)* **α.** c. acc., οὐδ' ἔλαθε σκοπόν (sc. Κορωνίς) P. 3. 27. οὐ λαθὼν χρυσόθρονον Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα (sc. Ἡρακλέης) N. 1. 37. οὐδ' ἀνέμους ἔ[λ]ᾰ[θ]εν οὐδὲ τὸν εὐρυφαρέτραν ἑκαβόλον (Turyn:]ᾰ[vel]![Π.) Πα. 6. 110. ἐναργέα τ' ἔμ' ὥτε μάντιν οὐ λανθάνει (sc. Διόνυσος) fr. 75. 13. ἀνδρὸς δ' οὔτε γυναικὸς — χρή με λαθεῖν ἀοιδὰν πρόσφορον Παρθ. 2. 37. **β.** c. part. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται ⟨τι⟩ λαθέμεν ἔρδων (τι supp. byz.: ⟨λε⟩λαθέμεν Mommsen) O. 1. 64. οὐδ' ἔλαθ' Αἴπυτον — κλέπτοισα θεοῖο γόνον O. 6. 36. **γ.** impers., c. acc. & inf. τῷ σε μὴ λαθέτω, — παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν P. 5. 23. **b.** med., *forget* Ἀΐδα τοι λάθεται ἅρμενα πράξαις ἀνήρ O. 8. 72. "τῶν δ' ἐλάθοντο φρένες" P. 4. 41.

λαῖλαψ] *storm* φέρει λαιλ̣[α fr. 1a.

Λάιος] v. Λᾶος.

λαιψηρός] *swift* Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον P. 9. 121. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ ἐξικέσθαν N. 10. 63. met., λαιψηροὶ πόλεμοι κάγοραὶ βουλαφόροι *quick-moving.* O. 12. 4.

Λάκαινα] f. adj., *Laconian* ἀπὸ Ταυγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 1. Λάκαινα μὲν παρθένων ἀγέλα fr. 112.

Λᾰκεδαιμόνιος] *Spartan* Λακεδαιμονίων μιχθέντες ἀνδρῶν ἤθεσιν P. 4. 257. Ἀλατ[— Λα]κεδαιμ[ον (supp. Lobel) fr. 6a. i. pro subs., ἣ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ ἔστασας ἐπὶ σφυρῷ Λακεδαιμονίων (τὴν τῶν Ἡρακλειδῶν κάθοδον. Σ.) I. 7. 14. test., v. fr. 199.

Λᾰκεδαίμων] *Sparta* "τότε γὰρ μεγάλας ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν" (τότε γὰρ οἱ Ἡρακλεῖδαι κατελθόντες — ἐξανέστησαν τοὺς προκατέχοντας Μυκηνῶν καὶ Ἄργους καὶ Λακεδαίμονος. Σ.) P. 4. 49. μαντήιον· τῷ Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ ἔνασσεν ἀλκάεντας Ἡρακλέος ἐκγόνους Αἰγιμιοῦ τε (v. Πύλος) P. 5. 69. ὀλβία Λακεδαίμων, μάκαιρα Θεσσαλία P. 10. 1. κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι (sc. Διόσκουροι) I. 1. 17.

Λᾰκέρεια] a town near Lake Boibias on the Dotian plain in Thessalian Pelasgiotis. πέμψεν κασιγνήταν — ἐς Λακέρειαν, ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει παρθένος P. 3. 34.

λακτίζω] *kick* ποτὶ κέντρον δέ τοι λακτιζέμεν τελέθει ὀλισθηρὸς οἶμος (λακτισδέμεν v. l.) P. 2. 95. met., c. acc., φλὸξ — αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ I. 4. 66.

Λᾰκων] *Spartan* Λάκωνος Ὀρέστα (cf. N. 11. 34) P. 11. 16.

λᾰλᾰγέω] *prattle* κόρος — τὸ λαλαγῆσαι θέλων O. 2. 97. μὴ νῦν λαλάγει τὰ τοιαῦτ' O. 9. 40.

λαμβάνω] (λαμβάνει; -αν(ε): aor. ἔλᾰβες, ἔλᾰβεν, λᾰβε(ν), ἔλᾰβον; λᾰβε; λᾰβών, -όντα; λᾰβεῖν.) **a.** *take up* ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου λάμβαν' O. 1. 18. φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν ἀρήγει P. 2. 93. χρυσέαν χείρεσσι λαβὼν φιάλαν P. 4. 193. λάμβανέ οἱ στέφανον, φέρε δ' εὔμαλλον μίτραν I. 5. 62. λαβὼν δ' ἔν[α] φῶ[τ]α πεδά.σ[(supp. Lobel: sc. 'Ηρακλέης) fr. 169. 20. met., τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν καρπὸν 'Ηβας. *assumed* O. 6. 57. μαιομένων μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν *win* O. 8. 6. ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες *won* O. 10. 22. [οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσμον ἔλαβες γλυκύ τι γαρυέμεν (ἔλαχες Bergk e Σ.) N. 3. 31.] κατερεῖς, πόθεν ἔλαβες ναυπρύτανιν δαίμονα Πα. 6. 130. **b.** *fall upon, seize* "αἰμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον" P. 4. 48. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς, ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοινὸν ἄγραν ποσίν N. 3. 81. met., ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει *strikes* O. 1. 81. 'Υμέναιον, ὃν ἐν γάμοισι χροιζόμενον ⟨Μοῖρα⟩ σύμπρωτον λάβεν *whom Death? seized* Θρ. 3. 8. **c.** *take (to mind)* καὶ παλαισμάτων λάβε φροντίδ' N. 10. 22. τὰν 'Αγαμήδει Τρεφωνίῳ θ' ἑκαταβόλου συμβουλίαν λαβὼν fr. 2. 3.

Λαμνιάς] f. adj., *of Lemnos* Κλυμένοιο παῖδα Λαμνιάδων γυναικῶν ἔλυσεν ἐξ ἀτιμίας O. 4. 20, cf. P. 4. 252ff.

Λάμνιος] *Lemnian* ἔν τ' 'Ωκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων sc. the Argonauts P. 4. 252.

Λαμνόθεν] *from Lemnos* φαντὶ δὲ Λαμνόθεν ἕλκει τειρόμενον μεταβάσοντας ἐλθεῖν ἥροας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν P. 1. 52.

Λαμπρόμᾰχος] an Isthmian victor, relative of Epharmostos of Opous. 'Ισθμίαισι Λαμπρομάχου μίτραις O. 9. 84.

λαμπρός] *shining, brilliant* λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς P. 4. 198. δέρμα λαμπρὸν ἔννεπεν the golden fleece P. 4. 241. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ, λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν P. 8. 97. n. s. pro subs., (πάρφασις)· ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν *brilliance* N. 8. 34. n. s. pro adv. ἔν τε δαμόταις ὄμματι δέρκομαι λαμπρόν N. 7. 66.

λάμπω] (λάμπει; λάμποντι: ἔλαμψαν.) *shine* τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω Θρ. 7. 1. ἱππεύει πυρσῷ κατάκομος λάμποντι (sc. 'Ηλιος) ?fr. 356. met., λάμπει δέ οἱ κλέος ἐν — Πέλοπος ἀποικίᾳ O. 1. 23. λάμπει δὲ σαφὴς ἀρετὰ I. 1. 22. ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει, 'Αοσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις (sc. φάμα παλαιά) I. 4. 23. ἔλαμψαν δ' ἀελίου δέμας ὅπως ἀγλαὸν ἐς φάος ἰόντες δίδυμοι παῖδες (Π^{s}: ἔλαμψε Π.) Πα. 12. 14. λάμπει δὲ χρόνῳ ἔργα μετ' αἰθέρ' ἀερθέντα fr. 227. 2.

Λάμπων] son of Kleonikos, of the Aiginetan clan Psalychiadai, father of Pytheas and Phylakidas. Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς N. 5. 4. σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς τάνδ' ἐς εὔνομον πόλιν I. 5. 21. δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν Λάμπωνος εὐαέθλου γενεᾶς ὕπερ I. 6. 3. Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων I. 6. 66.

Λαομεδόντιος] *of Laomedon* (Τελαμών)· τὸν χαλκοχάρμαν ἐς πόλεμον ἄγε σὺν Τιρυνθίοισιν πρόφρονα σύμμαχον ἐς Τροΐαν — Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν ἐν ναυσὶν 'Αλκμήνας τέκος I. 6. 29.

Λᾱομέδων] father of Priam, king of Troy; he refused to pay the promised reward to Herakles, whereupon Herakles, Telamon, Iolaos (and Peleus fr. 172) destroyed Troy and killed him. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμὼν 'Ιόλᾳ παραστάτας ἐὼν ἔπερσεν N. 3. 36. ὅτε Λαομέδοντι πεπρωμένοι' ἤρχετο μόροιο κάρυξ (sc. 'Ηρακλέης) fr. 140a. 66 (40). cf. v. 56 (30).

Λᾶος] father of Oidipous. ἔκτεινε Λᾶον μόριμος υἱός (Hermann: Λάιος codd.) O. 2. 38. test., Σ, O. 2. 70d, ἐν δὲ τοῖς παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαίῳ· καθὰ καὶ Μνασέας ἐν τῷ περὶ τῶν χρησμῶν γράφει, "Λάιε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων" fr. 68.

λαός] (-ῷ, -όν; -οί, -ῶν, -οῖσ(ι).) *people, folk* Δωριεῖ λαῷ O. 8. 30. κτισσάσθαν λίθινον γόνον (sc. Πύρρα καὶ Δευκαλίων). λαοὶ δ' ὀνύμασθεν O. 9. 46. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν O. 9. 66. τόνδε λαὸν ἀβλαβῆ νέμων O. 13. 27. "Ἱππόταις εὔθυνε λαοῖς δίκας" P. 4. 153. "ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ Ἄβαντος εὐρυχόρους ἀγυιάς" (sc. Ἄδραστος: i. e. with the army he led against Thebes) P. 8. 54. "ἐπὶ λαὸν ἀγείραις νασιώταν ὄχθον ἐς ἀμφίπεδον" P. 9. 54. Περσεὺς — Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων P. 12. 12. ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά οἱ χαλκεντέος λαὸν ἵππαιχμον N. 1. 17. ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμεῖξαι λαόν N. 9. 32. καρπὸς ἐλαίας ἔμολεν Ἥρας τὸν εὐάνορα λαόν i. e. to Argos N. 10. 36. "Αἴαντα, λαῶν ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου" the peoples of the Warlord = armies I. 6. 53. καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ δεικνύναι fr. 42. 4. τὰν δὲ λαῶν γενεὰν δαρὸν ἐρέπτοι Πα. 1. 9. σέθ]εν Ἴάονι τόνδε λαῷ [παι]ᾶνα [δι]ώξω people of Abdera Πα. 2. 3. λ]αὸν ἀστῶν Πα. 2. 48.]λαόν[Πα. 6. 179.]λαῶν ξενοδαίκτα βασιλῆος i. e. of Laomedon fr. 140a. 56 (30). dub., [λαοὺς ἐλάσαντες] (supp. von Arnim) Πα. 2. 62.

λᾶοσεβής] *honoured by the people* μάκαρ μὲν ἀνδρῶν μέτα ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής Battos P. 5. 95.

λᾶοσσόος] *causing the people to gather, popular* ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον, εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων P. 12. 24.

λᾶοτ'ρόφος] a. *caring for the people* τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον O. 5. 4. b. *consisting in care of the people* ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν, — αἰτέων λαοτρόφον τιμάν τιν' ἐᾷ κεφαλᾷ (τὴν μαντικήν. Σ: λαότροφον coni. v. d. Mühll, M. H., 20. 1396, 101) O. 6. 59.

Λᾶπίθαι] *a people of Thessaly* Ὑψέος εὐρυβία· ὃς Λαπιθᾶν ὑπερόπλων τουτάκις ἦν βασιλεύς P. 9. 14.

λατερπής?] *most delightful* εὐνο]ια λατερπει φιλ[(εὐνοία⟨ι⟩ dubitanter Lobel: εὐνο⟨μ⟩ία⟨ι⟩ Lloyd-Jones: cf. comm. in Pap. Soc. It., 1391, πιθα[νῶς τὴν] εὔνοιαν κατὰ σύν[θεσιν] εἴρηκεν λατερπ[έα διὰ] τὸ τοὺς λαοὺς τέρπ[ειν (supp. Bartoletti, Barns, Snell) P. Oxy 2622, fr. 1. 3, ad ?fr. 346b.

Λᾶτοΐδας] (-οΐδας, -οΐδας, -οΐδα, -οΐδα, -οΐδαν; -οΐδαισιν.) *child of Leto* Apollo, ἀμφί τε Λατοΐδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν P. 1. 12. ὔμμι Λατοΐδας ἔπορεν Λιβύας πεδίον P. 4. 259. Κυράνας· τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων ποτὲ Λατοΐδας ἅρπασ' P. 9. 5. θεμιπλέκτοις ἁμᾶ Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος N. 9. 53. ἄλσος Ἀπόλλωνος, τόθι Λατοΐδαν — μελπόμεναι ποδὶ κροτέο[ντι Πα. 6. 15. ἰατῆρα — θερμᾶν νόσων ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος (v. καλέω) P. 3. 67. pl., Apollo and Artemis, Λατοΐδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξης οὖρον ὕμνων P. 4. 3. fragg., Λ]ατοΐδαιν[Πα. 12a. 4. Λατοιδ[α (supp. Snell) ?fr. 344. 3.

λάτ'ριος] *slavish, menial* ὡς Αὐγέαν λάτριον ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον πράσσοιτο (sc. Ἡρακλέης: join λάτριον with Αὐγέαν or μισθόν) O. 10. 28. Παλίου δὲ πὰρ ποδὶ λατρίαν Ἰαολκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς (Er. Schmid: λατρείαν codd.: pr. *into slavery*) N. 4. 54.

Λᾶτώ] (Λατόος, Λατοῦς, Λατώ, Λατοῖ.) daughter of Koios, mother of Artemis and Apollo by Zeus. Λατοῦς ἱπποσόα θυγάτηρ Artemis O. 3. 26. παῖς ὁ Λατοῦς Apollo O. 8. 31. χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν ἔρνεσι Λατοῦς N. 6. 37. λιπαροπλοκάμου παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος (sc. Δᾶλε) fr. 33c. 2. Λατόος ἔνθα με παῖδες εὐμενεῖ δέξασθε

νόῳ Πα. 5. 44. τί κάλλιον — ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι; fr. 89a. 2. ἄγοις, ὦ κλυτά, θεράποντα, Λατοῖ fr. 94c. 3. ἐντὶ μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ ὥριαι παιάνιδες Θρ. 3. 1.

λαύρα] *back-street* κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι πτώσσοντι, συμφορᾷ δεδαγμένοι sc. the losers in the games P. 8. 86.

Λάχεσις] *she who allots*, one of the Moirai. ἐκέλευσεν δ' αὐτίκα (sc. 'Αέλιος) χρυσάμπυκα μὲν Λάχεσιν χεῖρας ἀντεῖναι (cf. λάχος v. 58) O. 7. 64. πολὺν ῥόθον ἵεσαν ἀπὸ στομάτων 'Ελείθυιά τε καὶ Λάχεσις at the birth of Apollo and Artemis Πα. 12. 17.

λάχνα] *fine hair* λάχναι νιν μέλαν γένειον ἔρεφον O. 1. 68.

λαχ'νάεις] *shaggy* Σικελία τ' αὐτοῦ (= Τυφῶνος) πιέζει στέρνα λαχνάεντα P. 1. 19.

λάχος] *allotted share* ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος 'Αελίου O. 7. 58. "ἔστι σοι τούτων λάχος" N. 10. 85.

λέβης] *cauldron* νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ O. 1. 26. καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ i. e. which they had won as prizes in the games I. 1. 20.

λέγω] (λέγω, -ει, -ομεν, -οντι; λέγε; λεγόντων; λέγειν: fut. λέξοντι coni., cf. ἐρέω: aor. part. λέξαις, cf. εἶπον: med. λέγεσθαι: aor. λέξατο: pass. λέγεται, -ονται; -όμενον: pf. λέλεκται; λελέχθαι.)

1. a. *collect* "μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ θανόντος ὀστέα λέξαις υἱοῦ" (sc. Ἄδραστος) P. 8. 53. **b.** med., *count, review* λέξατο πάντας ἐπαινήσαις 'Ιάσων P. 4. 189.

2. *say, tell* (in this sense the aor. is supplied by εἶπον q. v., the fut. and pf. are supplemented from ἐρέω q. v.) **a.** abs. ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα O. 8. 43. τόλμα τέ μοι εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν O. 13. 12. λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον; I. 5. 39. **b.** c. acc., **α.** 'Ιξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν —· τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι P. 2. 22. οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν O. 13. 46. τὰ δ' 'Ολυμπίᾳ αὐτῶν ἔοικεν ἤδη πάροιθε λελέχθαι O. 13. 102. λεγόμενον ἐρέω i. e. *what is common talk* P. 5. 108. λεγόμενον δὲ τοῦτο προτέρων ἔπος ἔχω *commonly told* N. 3. 52. πολλὰ γὰρ πολλᾷ λέλεκται N. 8. 20. σύνες ὅ τοι λέγω fr. 105. 1. **β.** c. acc. dupl., ἀλλὰ θαυμάζω, τί με λέξοντι 'Ισθμοῦ δεσπόται τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου (Casaubon: λεξοῦντι codd., Dorice) fr. 122. 10. **γ.** pass., *be said to be* τοὶ μὲν ὦν — λέγονται πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοὶ ὕβριος I. 4. 7. **c.** c. nom./acc. & inf., **α.** λέγοντι δ' — βίοτον ἄφθιτον 'Ινοῖ τετάχθαι O. 2. 28. λέγοντι μὰν χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος O. 9. 49. εἰ δέ τις ἤδη — λέγει ἑτερόν τιν' ἀν' 'Ελλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον P. 2. 59. λέγοντι γὰρ Αἰακόν μιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι N. 7. 84.]ἥρωα Τήνερον λέγομεν[Πα. 7. 13. λέγο[ντι] Ζῆνα καθεζόμενον κορυφαῖσιν ὕπερθε φυλάξαι Πα. 12. 9. λέγοντι δὲ βροτοὶ [Δ. 1. 15. **β.** pass. c. inf. ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται παῖδα — τεκέμεν O. 6. 29. λέγονται μὰν βροτῶν ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε P. 3. 88. τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν N. 6. 56. λέγεται μὰν Ἕκτορι μὲν κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν ἀγχοῦ N. 9. 39. **d.** med., *tell over* ἐμὲ δὲ πρέπει παρθενήια μὲν φρονεῖν γλώσσᾳ τε λέγεσθαι Παρθ. 2. 35. **e.** fragg.]λέγοντι προβώμιον fr. 6a.k.]ν λεγόντων[Δ. 1. 2.

λείβω] *pour out* met. (θρῆνος)· τὸν παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς ἄιε λειβόμενον δυσπενθέι σὺν καμάτῳ P. 12. 10.]λειβόμενον δ[Δ. 1. 4.

λειμών] *meadow* φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν in the underworld Θρ. 7. 3.

λείπω] (λείποι; λείποντ(α): impf. λεῖπε: aor. (ἔ)λιπον; λίποι; λιπών, -όντες; λιπεῖν: pass. λείπεται: λειπόμενον: aor. λείφθη; λειφθείς.) **a.** *leave, abandon* τὸν μὲν κνιζομένα λεῖπε χαμαί O. 6. 45. ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας (byz.: λιπόντ' codd.) O. 6. 100. κράναν Ὑπερῇδα λιπών P. 4. 125. πῶς δὴ λίπον εὐκλέα νᾶσον N. 5. 15. οὐκ ἤθελεν λιπὼν πατρίδα μοναρχεῖν Ἄργει Πα. 4. 29. pass., μή τινα λειπόμενον τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν P. 4. 186. c. gen., "χρήματα χρήματ' ἀνήρ," ὃς φᾶ κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων" *bereft of* I. 2. 11. generally, εἰ δὲ μὴ ταχὺ λίποι (sc. θεός σε) O. 1. 108. Χαρίτων κελαδεννᾶν μή με λίποι καθαρὸν φέγγος P. 9. 90. τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ †ἔλιπον (κατέλιπον Σ paraphr.: τι λίπον Schr.: ἐπέλιπον Snell) I. 8. 56. Παιὰν δὲ μήποτε λείποι Πα. 2. 36, 72, 108. φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν (sc. οἱ δελφῖνες) fr. 236. c. acc. & pr. adj./adv., καὶ γὰρ βιατὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν ἐχγέων ἀκμάν, ἰαίνει καρδίαν P. 1. 10. καί ῥά μιν χώρας ἀκλάρωτον λίπον, ἁγνὸν θεόν O. 7. 59. **b.** *leave behind, leave alive* "χθόνα τοί ποτε καὶ στρατὸν ἀθρόον πέμψαν κεραυνῷ τριόδοντί τε ἐς τὸν βαθὺν Τάρταρον ἐμὰν ματέρα λιπόντες καὶ ὅλον οἶκον εὐερκέα" sc. Zeus and Poseidon Πα. 4. 45. pass., λείφθη δὲ Θέρσανδρος O. 2. 43. ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον fr. 131b. 2. **c.** fragg.]λιπεῖν ὅτ[(Π^Pc: λείπειν Π.) Πα. 21. 6. λειπ[Πα. 13a. 6. **d.** in tmesis. ἀπὸ ψυχὰν λιπὼν (v. ἀπολείπω) P. 3. 101.

λείριος] *lily-like* καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας coral N. 7. 79.

λέκτρον] *nuptial-bed* (ἔρωτες)· οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπρίας δώρων N. 8. 6. pl. pro s., ἐλθόντος γὰρ εὐνάσθη ξένου λέκτροισιν ἀπ' Ἀρκαδίας P. 3. 26. ὡς ἦρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου εὐνᾶς N. 5. 30.

λεοντοδάμας?] *overcoming lions* test., Lucian., pro imag., 9: ὡς ὁ τὸν Ὠρίωνος κύνα ἐπαινῶν ἔφη ποιητὴς λεοντοδάμαν αὐτόν cf. fr. 74.

λεπτός] *fine, delicate* ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον, — λεπτοῦ διανισόμενον χαλκοῦ θαμὰ καὶ δονάκων i. e. through the bronze mouthpiece P. 12. 25. ἐπὶ λεπτῷ δενδρέῳ fr. 230.

Λερναῖος] *of Lerna* a coastal district of Argolis. πλόον εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν (ἀπὸ τοῦ Ἀργοῦς. Σ.) O. 7. 33.

Λέσβιος] *of Lesbos* Τέρπανδρός ποθ' ὁ Λέσβιος fr. 125. 1.

λευκανθής] *white flowering* met. λευκανθέα σώμασι πίαναν καπνόν N. 9. 23.

λεύκιππος, -ον] *with white horses* φοινικόπεζαν ἀμφέπει Δάματρα λευκίππου τε θυγατρὸς ἑορτὰν Persephone O. 6. 95. "λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως" i. e. of the noble ancestors of Jason P. 4. 117. λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς (by hypallage for λευκίππων Καδμ.) P. 9. 83. λευκίππων Μυκηναίων προφᾶται fr. 202.

Λευκοθέα] *the white goddess*, epith. of Ino, daughter of Kadmos, who became a sea goddess. Ἰνὼ δὲ Λευκοθέα ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων P. 11. 2.]Λευκοθ[έα (supp. Lobel) Θρ. 5c. 7.

λευκόπωλος] *with white horses* λευκοπώλων Τυνδαριδᾶν P. 1. 66.

λευκός] *white* λευκῷ σὺν γάλακτι N. 3. 77. στάλαν θέμεν Παρίου λίθου λευκοτέραν N. 4. 81. Μοῖσά τοι κολλᾷ χρυσόν, ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ N. 7. 78. ἀπὸ μὲν λευκὸν γάλα — ὤθεον fr. 166. 3. met., "Πελίαν ἀθεμιν λευκαῖς πιθήσαντα φρασίν" (sign. dub.: cf. Hesych., λευκῶν πραπίδων· κακῶν φρενῶν) P. 4. 109. cf. διάλευκος.

λευκόω] *make white* ἔνθα λευκωθεὶς κάρα μύρτοις ὅδ' ἀνὴρ διπλόαν νίκαν ἀνεφάνατο *crowned with white myrtle* I. 4. 69.

λευκώλενος, -ον] *white armed* λευκωλένῳ — Θυώνᾳ P. 3. 98. λευκωλένου Ἁρμονίας fr. 29. 6. λευκωλένῳ — Ἥρᾳ Πα. 6. 87.

λευρός] *smooth* ἔπαξε διὰ φρενῶν λευρὸν ξίφος N. 7. 27.

λεύσσω] *look upon* "σθένος ἀελίου χρύσεον λεύσσομεν" P. 4. 145. λεύσσει δ[Δ. 4h. 8.

[λεύω, *petrify?* τὸ μὲν ἔλευσεν (v. Lobel ad loc.: fort. aor. Dor., ἐλεύθω, v. ἔρχομαι) Δ. 4. 39.]

λέχος] (-ει, -εῖ, -ος; -εα, -έων, -εσιν.) *bed* ποι]κίλω[ν ἐ]κ λεχέω[ν (supp. Lobel) fr. 169. 36. as euphemism for sexual intercourse, ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ P. 3. 99. "εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος" P. 4. 51. Ναὶς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρέοισ' ἔτικτεν P. 9. 16. "ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν" P. 9. 37. ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν ἔννυχοι πάραγον κοῖται; P. 11. 24. λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν τό τ' ἀναγκαῖον λέχος i. e. concubinage P. 12. 15. cf.,]αν λέχεά τ' ἀναγκαῖα δολ[(of Danae and Polydektes) Δ. 4. 15. "βροτέων δὲ λεχέων τυχοῖσα υἱὸν εἰσιδέτω θανόντ' ἐν πολέμῳ (γάμων. Σ.) I. 8. 36. λεχέων ἐπ' ἀμβρότων Πα. 6. 140. of childbed, γυναῖκας, ὅσαι τύχον 'Αλκμήνας ἀρήγοισαι λέχει N. 1. 49. cf. ἄπεπλος ἐκ λεχέων νεοτόκων[—]νόρουσε (sc. 'Αλκμήνα) Πα. 20. 14. ⟨λέχος⟩ (supp. Snell e Σ, λέχος ἐπὶ τὴν λοχείαν) Πα. 7B. 33. met., λέχει πέλας ἀμβροσίῳ Μελίας (τῷ 'Ισμηνίῳ λέγει Σ.) Πα. 9. 35. ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν εὐκλέων ἔργων i. e. from its bed of slumber I. 4. 22.

λέων] (λέων, -οντος, -οντι; -οντες, -όντων, -όντεσσιν.) *lion* τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος O. 11. 20. κεῖνόν γε καὶ βαρύκομποι λέοντες περὶ δείματι φύγον P. 5. 58. κίχε νιν (= Κυράναν) λέοντί — ὀβρίμῳ μούναν παλαίοισαν P. 9. 26. μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον (sc. 'Ηρακλέης) N. 3. 46. θρασυμαχάνων τε λεόντων ὄνυχας ὀξυτάτους N. 4. 62. τόλμᾳ γὰρ εἰκὼς θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων ἐν πόνῳ I. 4. 46. 'Αρτεμις — ζεύξαισ' ἐν ὀργαῖς Βακχίαις φῦλον λεόντων Δ. 2. 21. ἔνθα ποῖμναι κτιλεύονται κάπρων λεόντων τε fr. 238. ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων fr. 239. esp., the lion of Nemea, slain by Herakles: τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα — 'Αμφιτρυωνιάδαν I. 6. 37, cf. vv. 48ff. and so as periphrasis in describing Nemea, ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε ἠδὲ χόρτοις ἐν λέοντος O. 13. 44. βοτάνα τέ νίν ποθ' ἁ λέοντος νικάσαντ' ἤρεφε N. 6. 42. κοίλᾳ λέοντος ἐν βαθυστέρνου νάπᾳ I. 3. 11. met., ὄπισθεν δὲ κεῖμαι θρασειᾶν ἀλωπέκων ξανθὸς λέων Pindar speaks? fr. 237.

λήγω] *come to an end* δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον fr. 124c. λήξαντος οὔρου *having slackened* P. 4. 292.

Λήδα] wife of Tyndareos, mother of Kastor, Polydeukes, Helen. σὺν βαθυζώνοιο διδύμοις παισὶ Λήδας O. 3. 35. υἱοὶ τρεῖς — 'Αλκμήνας θ' ἑλικογλεφάρου Λήδας τε P. 4. 172. αὐτίκα γὰρ ἦλθε Λήδας παῖς διώκων Kastor N. 10. 66.

λῆμα] (λῆμα, -ατος, -α.) *will, purposefulness* ἔσχε τοι ταύταν μεγάλαν ἀυάταν καλλιπέπλου λῆμα Κορωνίδος *wilfulness* P. 3. 25. "φυᾷ τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων παισὶ λῆμα" P. 8. 45. εἶδε γὰρ ἐκνόμιον λῆμά τε καὶ δύναμιν υἱοῦ N. 1. 57. τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοίσας, ἀεθλοφόρου λήματος ἕνεκεν — δέδορκεν φάος N. 3. 83.

λίαν] *overmuch* μὴ κάμνε λίαν δαπάναις P. 1. 90. [λίαν (codd. contra metr.: μάν coni. Pauw.) N. 11. 33.] "λίαν μοι [δέο]ς ἔμπεδον εἴη κεν" Πα. 4. 48. cf. P. Oxy., 841, fr. 162. 1.

λίβανος] (ἡ) *frankincense-tree.* νεάνιδες — αἵ τε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη θυμιᾶτε fr. 122. 3. φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν καὶ †λιβάνῳ σκιαρὰν† καὶ (λιβάνων σκιαρᾶν ⟨?⟩ coni. Snell: λιβάνῳ σκιαρᾷ Boeckh: λιβάνῳ σκιαρὸν unus cod. Plutarchi. Bergk) Θρ. 7. 4.

λιβανωτός] *frankincense* κατὰ χρυσόκερω λιβανωτοῦ (sc. εὔχεσθαι: cf. Σ, Aristid., 2. 91K, ὁ Πίνδαρος διασύρων

τινὰ ὡς ἄγαν τρυφῶντα τοῦτο εἶπεν. ἐντεῦθεν δεικνὺς αὐτὸν ὅτι καὶ ἐν ταῖς πρὸς τοὺς θεοὺς εὐχαῖς βλακείᾳ ἐχρῆτο) fr. 329.

Λῐβύα] daughter of Epaphos (P. 4. 14). θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ Λιβύας P. 9. 69. and so the land of Libya. οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας P. 4. 6. "Λιβύας εὐρυχόρου" P. 4. 42. Λιβύας πεδίον P. 4. 259. ἦλθες ἤδη Λιβύας πεδίον P. 5. 52. "εὐρυλείμων πότνια — Λιβύα" P. 9. 55. ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν I. 4. 54.

Λίβυς] *Libyan* οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα Antaios P. 9. 117.

Λίβυσσα] f. adj., *Libyan* οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν Ἴρασα πρὸς πόλιν the daughter of Antaios P. 9. 105.

λῐγῠρός] *shrill, clear-sounding* δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ λιγυρᾶς ἀκόνας (ἀκόνας λιγυρᾶς codd., Π: transp. Bergk) O. 6. 82.

λῐγύς] *shrill, clear-sounding* ἔγειρ' ἐπέων σφιν οἶμον λιγὺν O. 9. 47. λίγεια μὲν Μοῖσ' ἀφα[(λίγ Π.) Πα. 14. 32.

λῐγυσφᾰρᾰγος, -ον] *shrill-sounding* λιγυσφαράγων — φορμίγγων fr. 140a. 60 (34).

λίθῐνος] *of stone, stony* οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον i. e. a stone inscription O. 7. 86. ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον i. e. a people sprung from stones O. 9. 45. ποικίλον κάρα δρακόντων φόβαισιν ἤλυθε νασιώταις λίθινον θάνατον φέρων by turning them into stone P. 10. 48. βαθυμῆτα Χίρων τράφε λιθίνῳ Ἰάσον' ἔνδον τέγει i. e. a cave N. 3. 53. λιθίνοις — δίσκοις (v. δίσκος) I. 1. 25. φά[τναις] ἐν λιθίναις βαλ[fr. 169. 21.

λίθος] (-ου, -ῳ, -ον; -ων.) *stone* ὑπερ/ κρέμασε καρτερὸν αὐτῷ (= Ταντάλῳ) λίθον O. 1. 57. μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος O. 8. 55. νεόκτιστον λίθων βωμοῖο θέναρ (Tric.: λίθινον codd.: of a stone altar) P. 4. 206. εἰ δέ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν Παρίου λίθου λευκοτέραν marble N. 4. 81. ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε† Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός (τὸν Ταντάλου coni. Heimsoeth) I. 8. 10. met., σεῦ δὲ πάτρᾳ Χαριάδαις τ' ἐλαφρὸν ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων δὶς δὴ δυοῖν (τὸν ὕμνον. Σ.) N. 8. 47.

Λῐκύμνιος] son of Elektryon and Midea, slain by Tlepolemos. Ἀλκμήνας κασίγνητον νόθον σκάπτῳ θενὼν σκληρᾶς ἐλαίας ἔκτανεν Τίρυνθι Λικύμνιον ἐλθόντ' ἐκ θαλάμων Μιδέας O. 7. 29. στάδιον μὲν ἀρίστευσεν — παῖς ὁ Λικυμνίου Οἰωνός. Ἶκεν δὲ Μιδέαθεν O. 10. 65.

λίμνα] *lake* "Τριτωνίδος ἐν προχοαῖς λίμνας" P. 4. 21. ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεόν, ποταμόν τε Ὤανον, ἐγχωρίαν τε λίμναν the lake of Kamarina, situated to the north of the city at the mouth of the river Hipparis O. 5. 11. παρὰ] Βιστονίδι λίμνᾳ fr. 169. 11.

λῑμός] *famine* γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται I. 1. 49. Πανελλάδος, ἄν τε Δελφῶν ἔθνος εὔξατο λιμοῦ θ[Πα. 6. 64.

Λίνδος] grandson of Helios and Rhodos, eponymous hero of the Rhodian city. τέκεν (sc. Ῥόδος) ἑπτὰ — παῖδας, ὧν εἷς μὲν Κάμιρον πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ' O. 7. 74.

Λῖνος] a legendary singer, ? son of a Muse. ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει Θρ. 3. 6.

λῐπᾰράμπυξ] *with bright headband* Μναμοσύνας ἕκατι λιπαράμπῠκος N. 7. 15. λιπαρ]άμπυ[κε]ς ἱστάμεναι χορὸν [ταχύ]ποδα παρθένοι (supp. Snell) Πα. 2. 99.

λῐπᾰροπ'λόκᾰμος, -ον] *with shining tresses* λιπαροπλοκάμου — Λατοῦς. fr. 33c. 1.

λῐπᾰρός] (-όν; -ᾶς, -ᾷ, -άν, -ᾶν, -αῖς, -αί; -ῷ) *bright, radiant* ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν κόσμον Ὀλυμπίᾳ O. 8. 82. ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραϊ N. 7. 99. Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν fr. 30. 4. of cities, λιπαρὰ Μαραθὼν O. 13. 110. ὦ λιπαρᾶς ἀοίδιμοι

βασίλειαι Χάριτες Ἐρχομενοῦ O. 14. 3. τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν P. 2. 3. "ἐν δὲ Νάξῳ — λιπαρᾷ P. 4. 88. λιπαρᾶν εὐωνύμων ἀπ' Ἀθανᾶν N. 4. 18 ταῖς λιπαραῖς ἐν Ἀθάναις I. 2. 20. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι — Ἀθᾶναι fr. 76. τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον fr. 82. λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον fr. 196. καὶ λιπαρῷ Σμυρναίων ἄστει fr. 204.

λιπαρότροφος] *richly fed* λιπαροτρόφων θυσί[— μή]λων Πα. 12. 6.

λῐπότεκ'νος] *without children* ἀλλ' ᾧτινι μὴ λιπότεκνος σφαλῇ πάμπαν οἶκος pr. Παρθ. 1. 16.

λίσσομαι] *entreat* λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου O. 12. 1. λίσσομαι νεῦσον, Κρονίων P. 1. 71. ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, λίσσομαι N. 3. 1. c. acc. & inf., δεσπόταν λίσσοντο ναῶν συνδρόμων κινηθμὸν ἀμαιμάκετον ἐκφυγεῖν πετρᾶν P. 4. 207. "νῦν σε νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι παῖδα θρασὺν ἐξ Ἐριβοίας ἀνδρὶ τῷδε — τελέσαι" I. 6. 45. πρὸς Ὀλυμπίου Διός σε, χρυσέα κλυτόμαντι Πυθοῖ, λίσσομαι Χαρίτεσσίν τε καὶ σὺν Ἀφροδίτᾳ — με δέξαι Πα. 6. 3.

λῐτά] *entreaty* (but cf. Chantraine, R. Ph., 1953, 16ff.) Ζηνὸς ἦτορ λιταῖς ἔπεισε (sc. Θέτις) O. 2. 80. ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς O. 8. 8.

λῐτᾰνεύω] *entreat* πολλὰ γάρ μιν παντὶ θυμῷ παρφαμένα λιτάνευεν sc. Ἱππολύτα, attempting to seduce Peleus N. 5. 32. πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν N. 8. 8. λιτανεύω, ἑκαβόλε, Μοισαίαις ἀνατιθεὶς τέχναισι χρηστήριον[Πα. 9. 38.

λῐτός] a. *supplicatory, of supplication* λιταῖς θυσίαις O. 6. 78. λιτάς τ' ἐπαοιδὰς P. 4. 217. b. *supplicated* Ἀὼς λιτά (τὴν εὐκταίαν καὶ — πολύλιστον expl. Eustath.) fr. 21.

λόγῐος] *chronicler, poet* ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς P. 1. 94. [ἀοιδοὶ καὶ λόγιοι (codd., Π: ἀοιδαὶ καὶ λόγοι Pauw.) N. 6. 30.] πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν N. 6. 45.]λογίων Δ. 4c. 6.

λόγος] (-ος, -ῳ, -ον; -οι, -ων, -οισι.)

A. *reason* τὸ καὶ νῦν φέρει λόγον (ἔχει λόγον. Σ.) I. 8. 61.

B. *word*, etc.

1. s., a. *account, story, report* ὑπὲρ τὸν ἀλαθῆ λόγον δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι *beyond the true version* O. 1. 28. ἐθελήσω — ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον O. 7. 21. ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον O. 7. 87. ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον O. 9. 35. αἰεὶ δὲ τοιαύταν — αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων P. 1. 68. σὲ ποτὶ πάντα λόγον ἐπαινεῖν P. 2. 66. πάντα λόγον θέμενος σπουδαῖον — συγγενέσιν παρεκοινᾶθ' P. 4. 132. πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ Ἐρεχθέος ἀστῶν (v. l. ὁ λόγος) P. 7. 9. ἀρχαῖον ὀτρύνων λόγον, ὡς N. 1. 34. ἕπεται δὲ λόγῳ δίκας ἄωτος· ἐσλὸν αἰνεῖν *avec mon dire s'accorde justice la plus stricte* Puech. N. 3. 29. ἀπειρομάχας ἐὼν κε φανείη, λόγον ὁ μὴ συνιείς N. 4. 31. ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων τὸν ἅπαντά μοι διελθεῖν N. 4. 71. οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι, ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν *in the telling* N. 4. 94. ψευστὰν δὲ ποιητὸν συνέπαξε λόγον, ὡς ἦρα N. 5. 29. κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς Αἴγινα I. 9. 1. μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον fr. 180. 1. and so, a report about oneself, εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ I. 5. 13. b. = εὐλογία, *praise* cf. B. 2. b, infra. ὀπᾷ τε κοινὸν λόγον φίλαν τείσομεν ἐς χάριν (τὸν ὕμνον Σ.) O. 10. 11. ἐγκωμίων γὰρ ἄωτος ὕμνων ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον P. 10. 54. ὃς τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ N. 3. 68. ἐγὼ δὲ πλέον' ἔλπομαι λόγον Ὀδυσσέος ἢ πάθαν διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον N. 7. 21. τιμὰ δὲ γίνεται ὧν θεὸς ἁβρὸν αὔξει λό-

γον τεθνακότων N. 7. 32. καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ λόγον ἐκέρδαναν (τὸν ἐγκωμιαστικὸν λόγον. Σ.) I. 5. 27. c. *utterance, statement, precept* ἕπεται δὲ λόγος εὐθρόνοις Κάδμοιο κούραις O. 2. 22. αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ τεκεῖν μή τιν' O. 2. 92. οὐ ψεύδει τέγξω λόγον· διάπειρά τοι βροτῶν ἔλεγχος O. 4. 18. ὁ δὲ λόγος ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει P. 1. 35. τό γ' ἐν ξυνῷ πεπο-ναμένον εὖ μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω P. 9. 94. [cf. λόγῳ, B. 1. a, supra, N. 3. 29.] ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι N. 9. 6. καὶ γυναιξὶν καλλι-κόμοισιν ἀριστεύει πάλαι (sc. Ἄργος). Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε λόγον N. 10. 11. λόγον ἄνακτος Εὐξαντίου ἐπαίνεσα Πα. 4. 35. **d.** *prophecy* παραπειρῶνται Διὸς ἀργι-κεραύνου, εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι O. 8. 4. σὲ δ' ἐν τούτῳ λόγῳ χρησμὸς ὤρθωσεν P. 4. 59. λόγον φέρεις, τὸν ὅνπερ ποτ' Ὀικλέος παῖς — αἰνίξατο P. 8. 38. ἄγγελλε δὲ φοινικόπεζα λόγον παρθέ-νος εὐμενὴς Ἑκάτα τὸν ἐθέλοντα γενέσθαι Πα. 2. 77. **e.** *converse, speaking* δᾶ-μον Ὑπερβορέων πείσαις — λόγῳ O. 3. 16. κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος fr. 180. 3. κυριωτερο[⟨εἰς σοφίας λόγον⟩ (supp. Snell ex Aristide: *as regards the utterance of wisdom*) fr. 260. 7. as opposed to thought, ἄνδρες θήν τινες ἀικιζόμενοι νε-κρὸν ἵππον στυγέοισι λόγῳ κείμενον ἐν φάει, κρυφᾷ δὲ σκολιαῖς γένυσσιν ἀνδέροντι fr. 203. 2. **f.** *sentence* δικάζει τις, ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ O. 2. 60. **g.** *question* "καὶ γάρ σε — ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον" P. 9. 43. **h.** frag.]λόγον τερπνῶν ἐπέων[Πα. 14. 34.

2. pl., **a.** *words* γνῶναί τ' ἔπειτ' ἀρχαῖον ὄνειδος ἀλαθέσιν λόγοις εἰ φεύγο-μεν O. 6. 90. τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι *of his request* O. 7. 68. ἀγανοῖσι λόγοις ὧδ' ἀμείφθη P. 4. 101. εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρθὰν ἐπίστᾳ P. 3. 80. "ἀλλὰ τούτων μὲν κεφάλαια λόγων ἴστε" P. 4. 116. μειλι-χίοισι λόγοις P. 4. 128. μειλιχίοις τε λόγοις P. 4. 240. λόγοισι θνατῶν εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγ-γελεῖ P. 6. 16. τοῖο δ' ὀργὰν κνίζον αἰπεινοὶ λόγοι N. 5. 32. ὄψον δὲ λόγοι φθονεροῖσιν N. 8. 21. καὶ τοιᾷδε κορυφᾷ σάμαινεν λόγων (λόγον Π[s]) Πα. 8A. 14. [θανόντων δὲ καὶ λόγοι φίλοι προδόται (λόγοι ut glossema del. Bergk) fr. 160.] **b.** esp., *words, expressions of praise* ἐπί-κουρον εὑρὼν ὁδὸν λόγων O. 1. 110. οὔτοι χαμαιπετέων λόγων ἐφάψεαι O. 9. 12. μελιγάρυες ὕμνοι ὑστέρων ἀρχὰ λόγων τέλλεται O. 11. 5. ὃς ἔχεις καὶ πεδὰ μέγαν κάματον λόγων φερτάτων μναμήϊ' P. 5. 48. παροιχομένων γὰρ ἀνέρων, ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν (Pauw: ἀοιδοὶ καὶ λόγιοι codd., Π.) N. 6. 30. θρασύ μοι τόδ' εἰπεῖν φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων οἴκοθεν N. 7. 51. ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις νίκαν N. 9. 54. ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσιν ἐπαινεῖσθαι χρεών N. 11. 17. εἶα τειχίζω-μεν ἤδη ποικίλον κόσμον αὐδάεντα λόγων fr. 194. 3.

λόγχα] *spear* πελεμιζόμενοι ὑπ' ἀλε-ξιμβρότῳ λόγχᾳ i. e. *spearsmanship* N. 8. 30. χαλκέας λόγχας ἀκμᾷ N. 10. 60. ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφί-σιν αὐτοῖς fr. 163.

λοιβά] *libation* πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρῶταν θεῶν, πολλὰ δὲ κνίσᾳ N. 11. 6.

λοιγός] *havoc* ἐν πολέμῳ κεῖνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου N. 9. 37. †λοιγὸν ἀμύνων† ἐναντίῳ στρατῷ (λοιγὸν ἀμφι-βαλὼν coni. A. W. Mair) I. 7. 28.

λοιδορέω] *revile* ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς ἐχθρὰ σοφία O. 9. 37.

λοιπός] (-ός, -ῷ, -όν, -οῖς; -όν nom., acc.) *future, yet to be.* λοιπὸν ἀμφὶ βίοτον O. 1. 97. ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει O. 2. 15. θεὸς εὔφρων εἴη λοιπαῖς εὐχαῖς O. 4. 13. "ἀλλ' ἐμὲ

χρὴ καὶ σὲ — ὑφαίνειν λοιπὸν ὄλβον" (i. e. ὄλβον εἰς τὸ λοιπόν) P. 4. 141. ὁ δὲ λοιπὸς εὔφρων ποτὶ χρόνος ἕρποι N. 7. 67. ἐς δὲ τὸν λοιπὸν χρόνον ἥροες ἁγνοὶ πρὸς ἀνθρώπων καλέονται fr. 133. 5. pro subs., Ὅμηρος — αὐτοῦ πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν (τοῖς μετὰ ταῦτα. Σ.) I. 4. 39. n. s. pro adv., *in, for the future,* ὁ δὲ λόγος — δόξαν φέρει λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτάν P. 1. 37. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ τέλλετο P. 4. 256. c. art., τὸ νῦν τε — καὶ τὸ λοιπὸν P. 5. 118. ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι N. 7. 45.

λοίσθιος] n. s. pro adv., *last of all, finally* εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον (sc. δρῦς) P. 4. 266.

Λοκρίς] f. adj., *Lokrian* Ζεφυρία — Λοκρὶς παρθένος P. 2. 19.

Λοκρός] a. king of Opous, nominal father of Opous and husband of Protogeneia. ἕνεκεν Λοκ'ρῷ (sc. Ἀπόλλων Πρωτογένειαν) O. 9. 60. b. pro subs., *Lokrian,* α. of Opountian Lokris. κλυτὰν Λοκ'ρῶν — ματέρ' ἀγλαόδενδρον the city of Opous O. 9. 20. β. of Zephyrian Lokris. νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκ'ρῶν Ζεφυρίων, μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης O. 10. 13. κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον O. 10. 98. Ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων O. 11. 15. τῶ[ν . . Λο]κρῶν τις, οἵ τ' ἀργίλοφον πὰρ Ζεφυρίου κολώναν ν[(cf. Σ, O. 10. 17k, Λοκριστὶ γάρ τις ἁρμονία ἐστίν, ἣν ἀσκῆσαί φασι Ξενόκριτον τὸν Λοκρόν) fr. 140b. 4.

Λοξίας] title of Apollo. ναοῦ βασιλεὺς Λοξίας P. 3. 28. θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας P. 11. 5. ἄμμι δ' ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία, τεαῖσιν ἁμίλλαισιν εὐανθέα καὶ Πυθόι στέφανον I. 7. 49. μοι — ἀγῶνα Λοξίᾳ καταβάντ' εὐρὺν ἐν θεῶν ξενίᾳ (Λοξία G-H.) Πα. 6. 60. ὁ [Λοξ]ίας πρό]φρων ἀθανάταν χάριν Θήβαις ἐπιμείξων Παρθ. 2. 3.

λουτρόν] *bath* Ἐργότελες, θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις the hot springs of Himera O. 12. 19.

λόφος] *hill* the hill of Kronos at Olympia, Ζεῦ, Κρόνιον τε ναίων λόφον O. 5. 17. πὰρ Κρόνου λόφῳ O. 8. 17. the hill of Krisa below Delphi, Κρισαῖον λόφον ἄμειψεν P. 5. 38. the hill of Nisos by Megara, Νίσου τ' ἐν λόφῳ P. 9. 9 1. Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ N. 5. 46.

λόχ'μα] *thicket* λόχμας ὑπὸ κυανέας τίκτε θεόφρονα κοῦρον O. 6. 40. λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δάμασε O. 10. 30. κεῖτο γὰρ ἐν λόχμᾳ P. 4. 244.

λόχος] *ambush* τᾷ Δαιδάλου δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον ἐκ λόχου Πελίαο παῖς N. 4. 60.

λύα] *civil strife* ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ N. 9. 14.

(Λυαῖος)] v. fr. 248.

Λυγκεύς] son of Aphareus, brother of Idas, husband of Hypermnestra. πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ N. 10. 12. ἀπὸ Ταυγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένους N. 10. 61. (Πολυδεύκης) ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν N. 10. 70.

λῦγρός] *deadly* λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε pr. P. 12. 14. ἐν λυγρῷ νείκει N. 8. 25.

Λύδιος] *Lydian* ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς in the Lydian mode O. 5. 19. [Λυδίῳ (codd.: Λυδῷ coni. Pauw.) O. 14. 17.] ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος N. 4. 45. φέρων Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν (ἀλληγορικῶς τὸν ποικίλον ὕμνον οὕτως φησίν, — ὡς Λυδίῳ ἁρμονίᾳ γεγραμμένον. Σ.) N. 8. 15. παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων (cf. Eustath., Comm. Il., 816. 39, Λυδοὶ ἐπρώτευον κατὰ τὸ ἱππεύειν, ὅθεν καὶ παροιμία τὸ "παρὰ Λ. ἅ." ἐπὶ τῶν πολὺ ὀπίσω ἀπολειπομένων) fr. 206. test., [Plut.], de mus., 15 (1136), Πίνδαρος δὲ ἐν παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ

Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι Schr. fr. 64, quod ad Πα. 13. spectare censuit Snell.

Λυδός] *Lydian* ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ P. was son of Tantalos, king of Lydia O. 1. 24. Λυδὸς ἥρως Πέλοψ O. 9. 9. Λυδῷ γὰρ Ἀσώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον (Pauw: Λυδίῳ codd: i. e. the Lydian musical style) O. 14. 17. pro subs., ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πακτίδος (Schneider: Λύδιον codd.: sc. Τέρπανδρος) fr. 125. 2.

λυθίραμμος] a Pindaric etymological interpretation of the word dithyramb. λυθίραμμος (i. e. διθύραμβος: cf. Et. Mag., καὶ Ζεὺς τικτομένου αὐτοῦ (sc. Διονύσου) ἐπεβόα· λῦθι ῥάμμα) fr. 85.

Λύκαιος] of Mt. Lykaion in Arkadia, where there was an altar to Zeus and games in his honour. Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου O. 9. 96. μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ (sc. Διός) O. 13. 108. pro subs., Λύκαιον *Mt. Lykaion*, χαλκὸν — ὅν τε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ N. 10. 48. test., Σ Bern., Verg., Georg., 1. 17, Pana Pindarus ex Mercurio et Penelopa in Lycaeo monte editum scribit (Timpanaro, Snell: *Apolline* pro *Mercurio* edd. vulgo) fr. 100.

Λυκία] *Lycia* ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοί O. 13. 60.

Λύκιος] *Lycian* Λύκιε καὶ Δάλοι' ἀνάσσων Φοῖβε (cf. Hor., Od. 3. 4. 61, Patareus Apollo) P. 1. 39. Λύκιον Σαρπηδόν' P. 3. 112. ἀλαλὰν Λυκίων τε προσμένοι καὶ Φρυγῶν Δαρδάνων τε (sc. Ἀχιλλεύς) N. 3. 60.

λύκος] *wolf* ποτὶ δ' ἐχθρὸν — λύκοιο δίκαν ὑποθεύσομαι P. 2. 84.

λύρα] (λύρα, -ᾳ, -αν; -αι, -ᾶν.) *lyre* ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν O. 2. 47. ἀδύλογοι δέ νιν λύραι μολπαί τε γινώσκοντι O. 6. 97. ἀδυεπής τε λύρα γλυκύς τ' αὐλὸς O. 10. 93. εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ τε καὶ φθέγματι μαλθακῷ P. 8. 31. παντᾷ δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται P. 10. 39. ἐγὼ δὲ κείνων τέ μιν ὀάροις λύρᾳ τε κοινάσομαι N. 3. 12. ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν N. 10. 21. λύρα δέ σφι βρέμεται καὶ ἀοιδά N. 11. 7. λύ]ραι τε καὶ ὕ[μν (supp. Lobel) fr. 215. 9.

(Λυσίθεος)] v. fr. 94c.

λυσίμβροτος] *?releasing men* λυσίμβροτον παρθενίᾳ κε[—]ἀκηράτων δαίδαλμα[Πα. 8. 80.

λυσίπονος, -ον] *delivering men from toil* "λυσιπόνοις θεραπόντεσσιν" i. e. releasing their masters from toil P. 4. 41. ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον τελετάν (ὄλβιοι δ' — λυσιπόνων τελετᾶν coni. Wil.) fr. 131a ad Θρ. 7.

λύσις] **a.** *release* "πάτερ Κρονίων, τίς δὴ λύσις ἔσσεται πενθέων;" N. 10. 76. **b.** *resting place* c. gen. τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν (καταγώγιον καὶ δειπνητήριον τῶν ξένων. Σ. *a resting place for eating*) O. 10. 47.

λυτήριος] *atoning for* c. gen. τὸ καλλίνικον λυτήριον δαπανᾶν μέλος χαρίεν P. 5. 106.

λύτ'ρον] *requital* c. gen. τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ ἵσταται — πομπὰ καὶ κρίσις O. 7. 77. Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον εὔδοξον, ὦ νέοι, καμάτων — ἀνεγειρέτω κῶμον I. 8. 1.

λύω] (λύοι: aor. (ἔ)λυσε(ν): λῦσον; λύσαις; λῦσαι: med. ἐλύσατο: pass. impf. λύετο: aor. λυθέντες: ῡ aor. act. & med., ῠ pres., aor. pass.) **a.** *release* διάπειρα — ἅπερ Κλυμένοιο παῖδα — ἔλυσεν ἐξ ἀτιμίας O. 4. 20. λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας P. 4. 291. ἐκ μεγάλων δὲ πενθέων λυθέντες, μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων I. 8. 6. of possessions, "τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας λῦσον" i. e. make available P. 4. 155. med., Ἑλέναν τ' ἐλύσατο Τροίας ἶνας ἐκταμὼν δορί sc. Achilles I. 8. 51. add. gen., τοὺς μὲν ὦν — λύσαις ἄλλον ἀλλοίων ἀχέων ἔξαγεν sc. Asklepios P. 3. 50. ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρωθέν-

των Τρώων ἔλυσε δόμους ἁβρότατος P. 11. 34. ἀνίκ' ἀγανόφρων Κοίου θυγάτηρ λύετο τερπνᾶς ὠδῖνος (v. l. τερπνὰς ὠδῖνας) Πα. 12. 13. κείνων λυθέντες σαῖς ὑπὸ χερσίν, ἄναξ (δεσμῶν supp. Wil.) fr. 35. b. *remove* "λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας" (sc. Θέτις) I. 8. 45. ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν τόκος O. 10. 9. c. in tmesis, ἀνὰ δ' ἔλυσεν (v. ἀναλύω) N. 10. 90.

λώτινος] *made of lotus wood* αὐλίσκων ὑπὸ λωτίνων Παρθ. 2. 14.

M

μά] *by*, c. acc. of object, by which one swears. ναὶ μὰ γὰρ ὅρκον N. 11. 24.

Μάγνης] *of Magnesia* in Thessaly. Μάγνητι — Κενταύρῳ i. e. Cheiron, whose cave was on Mt. Pelion P. 3. 45. m. pl. pro subs., ἐσθὰς δ' ἀμφοτέρα μιν ἔχεν, ἅ τε Μαγνήτων ἐπιχώριος P. 4. 80. ξυνᾶνα Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν i. e. Akastos, king of Iolkos. N. 5. 27.

Μαγνῆτις] f. adj., *of Magnesia* in Thessaly. ἵπποισι Μαγνητίδεσσιν P. 2. 45.

Μαινάλιος] *of Mt. Mainalion* in Arkadia, sacred to Zeus. μίχθη Μαιναλίαισιν ἐν δειραῖς O. 9. 59.

μαινάς] f. adj., *maddening* ποικίλαν ἴυγγα τετράκναμον — ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ μαινάδ' ὄρνιν Κυπρογένεια (v. ἴυγξ) P. 4. 216.

μαίνομαι] *be insane* μαινομέναις φρασὶν Ἥρας ὅτ' ἐράσσατο P. 2. 26.

μαίομαι] (-όμενος, -οι, -ων; -αι.) a. *seek (after)* οὐδὲ ματρὶ πολλὰ μαιόμενοι φῶτες ἄγαγον (sc. σέ) O. 1. 46. θεόθεν ἐραίμαν καλῶν, δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ P. 11. 51. μελιγαρύων τέκτονες κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι the voice of the Muse N. 3. 5. λόγον ἄνακτος Εὐξαντίου ἐπαίνεσα [Κρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν Πα. 4. 36. μ]αιόμεναι (ἀοιδαί supp. Hermann) Θρ. 3. 4. b. *seek* c. inf. ἀνθρώπων πέρι μαιομένων μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν O. 8. 5.

μάκᾰρ] (μάκαρ nom., voc.; μάκαρες, -ων, -ες; μάκαιρα, -αν.) *blessed* a. of gods and heroes, pro subs. ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν O. 1. 52. ἔνθα μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν O. 2. 70. φυλάσσοντες μακάρων τελετάς O. 3. 41. χρὴ πρὸς μακάρων τυγχάνοντ' εὖ πασχέμεν P. 3. 103. Κρονίδαι μάκαρες P. 5. 118. ὦ μάκαρ Herakles N. 7. 94. ὦ μάκαιρα Θήβα I. 7. 1. ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί I. 8. 26. ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων fr. 33. τέρας, ἅν τε βροτοὶ Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ — χθονὸς ἄστρον fr. 33c. 5. "μακάρων τ' ἐπιχώριον τεθμὸν πάμπαν ἐρῆμον ἀπωσάμενος" Πα. 4. 46. ὦ μάκαρ Pan. fr. 96. 1. b. of men. ὦ μάκαρ υἱὲ Πολυμνάστου Battos P. 4. 59. μάκαρ μὲν ἀνδρῶν μέτα ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής Battos P. 5. 94. μάκαρ δὲ καὶ νῦν (sc. ἐσσί), κλεεννᾶς ὅτι εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν δέδεξαι τόνδε κῶμον ἀνέρων Arkesilas P. 5. 20. μόλεν Δανάας ποτὲ παῖς — ἐς ἀνδρῶν μακάρων ὅμιλον the Hyperboreans P. 10. 46. c. of cities, lands, ὀλβία Λακεδαίμων, μάκαιρα Θεσσαλία pr. P. 10. 2. cf. I. 7. 1. d. of the family hearth. ἐς ἀφνεὰν ἱκομένους μάκαιραν Ἱέρωνος ἑστίαν O. 1. 11. μετὰ χειμέριον ὄμβρον τεὰν καταιθύσσει μάκαιραν ἑστίαν i. e. of Arkesilas P. 5. 11. τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν I. 4. 17. e. fragg.]ει μακαρ[Πα. 13a. 21.]μακαρο[Πα. 21. 8.]μακάρων[P. Oxy. 841. fr. 48.

μᾰκᾰρίζω] *call blessed (for)* c. dupl acc. ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ'

'Αρκεσίλαν καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε σύγγονον (ἀμφίβολον Σ.) N. 11. 11.

μᾰκᾰ́ρῐος] *blessed* μακάριος, ὃς ἔχεις καὶ πεδὰ μέγαν κάματον λόγων φερτάτων μναμήι' of the charioteer, Karrhotos P. 5. 46.

μᾶκος] *length, distance* μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων O. 10. 72. δράκοντος — ὃς πάχει μάκει τε πεντηκόντερον ναῦν κράτει P. 4. 245.

μᾰκρᾱγορία] *long story* εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ P. 8. 30.

μακρός] (-ός, -ῷ, -όν; -ά nom., acc.: comp. μακρότερον, -ῳ; -ας, -αν, -αι.) a. of time, *long, enduring* μακ'ρότεραι Τερψίᾳ θ' ἕψοντ' 'Εριτίμῳ τ' ἀοιδαί O. 13. 41. μακ'ρὸν δ' οὐκ ὑπέμεινεν ὄλβον P. 2. 26. μὴ σὺν μακρῷ πόνῳ P. 8. 73. τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακ'ροτέρῳ ὄλβῳ τεθαλότα (Tric.: μακροτέρῳ σὺν ὄλβῳ codd.) P. 11. 52. [ὁ μακρὸς αἰὼν (θνατὸς v. l.) N. 3. 75.] μακ'ρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος pr. N. 10. 4. ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν. μακ'ροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς N. 10. 46. καὶ μηκέτι μᾰκροτέραν σπεύδειν ἀρετάν *too enduring* I. 4. 13. οὔτοι τετύφλωται μᾰκρὸς μόχθος ἀνδρῶν I. 5. 56. ἐμοὶ δὲ μᾰκρὸν (sc. ἐστι) πάσας ἀναγήσασθ' ἀρετάς I. 6. 56. ἀλλ' ἢ μακ[ρ]ότερον fr. 6a. c. n. pl. pro subs., βαιὰ δ' ἐν μακ'ροῖσι ποικίλλειν ἀκοὰ σοφοῖς P. 9. 77. add. art., τὰ μακ'ρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ' ἐπειγόμεναι N. 4. 33. cf. P. 4. 247. sc. χρόνον, ὄλβος οὐκ ἐς μακ'ρὸν ἀνδρῶν ἔρχεται P. 3. 105. b. of distance, *long, far* (n. pl.) μακ'ρά μοι νεῖσθαι κατ' ἀμαξιτόν P. 4. 247. μακ'ρά μοι αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις N. 5. 19. pro adv., μᾰκρὰ δὲ ῥίψαις P. 1. 45. μακ'ρὰ δισκήσαις ἀκοντίσσαιμι I. 2. 35. met., τὰ μακ'ρὰ δ' εἴ τις παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν *what is distant, unattainable* I. 7. 43.

μᾰκύνω] *put off, delay* οὐδὲ μακύνων τέλος οὐδέν P. 4. 286.

μάλα] 1. *greatly, really* a. c. verb. φιλεῖ δέ μιν Παλλὰς —, μάλα φιλεῖ δὲ παῖς O. 2. 27. μάλα δέ οἱ θερμαίνει φιλότατι νόον O. 10. 87. μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν N. 7. 10. 'Ησιόδου μάλα τιμᾷ τοῦτ' ἔπος I. 6. 67. separated from its verb, ἦ μάλα δὴ μετὰ καὶ νῦν ὦτε φοινικανθέμου ἦρος ἀκμᾷ, παισὶ τούτοις ὄγδοον θάλλει μέρος 'Αρκεσίλας P. 4. 64. b. c. adj., part. μιν αἰνέω, μάλα μὲν τροφαῖς ἑτοῖμον ἵππων O. 4. 14. κέρδει δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει; P. 2. 78. μάλα ἁδόντι νόῳ P. 6. 51. τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον σύγγονοι P. 9. 107. μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι N. 10. 54. κ]αὶ μάλ' ἐπισ[Δ. 4a. 2. c. ? c. adv. σφίσιν μάλα πρᾶξον δικαίως Πα. 8. 12.

2. comp., μᾶλλον, *more*, a. c. verb. καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον ἐπασκήσει fr. 194. 5. b. c. adj. in comparisons. τεκεῖν μή τιν' — πόλιν φίλοις ἄνδρα μᾶλλον εὐεργέταν — Θήρωνος O. 2. 93. ἔλπομαι δ' — τὸν 'Ιπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν P. 10. 57.

3. superl. μάλιστα, *especially, most of all* ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις P. 1. 84. ὧν θαλίαις ἔμπεδον εὐφαμίαις τε μάλιστ' 'Απόλλων χαίρει P. 10. 35. ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ N. 3. 7. "ὦ τέκνον, ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων" fr. 43. 2. 'Ελπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ fr. 214. 3. c. gen., μάλιστα μὲν Κρονίδαν — θεῶν σέβεσθαι P. 6. 23. τῶν νῦν δὲ καὶ Θρασύβουλος πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα P. 6. 45. τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν N. 6. 56. τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν εὔφρανας; I. 7. 2. frag.,]μαλισταβ[P. Oxy. 2445, fr. 21a.

μᾰλᾰκός] (-άν, -αῖσ(ι), -αῖσιν; -ά acc.: cf. μαλθακός.) *soft, gentle* μαλακαῖς ἐπαοι-

δαῖς P. 3. 51. μαλακὰν χέρα προσβάλλοντα (sc. Ἀπόλλωνα) P. 4. 271. ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις N. 10. 44. μαλακαῖς εὐδίαις Πα. 2. 52. χερσίν τ' ἐν μαλακαῖσιν ὅρπακ' ἀγλαὸν δάφνας ὀχέοισα of girls' hands Παρθ. 2. 7. n. pl. pro adv., μαλακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος (Er. Schmid: μαλθακά codd.: *with gentle disposition towards the noble*) N. 4. 95.

μᾰλᾰκόχειρ] *of gentle hands* Ἀσκλαπιόν, τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον N. 3. 55.

μᾰλάσσω] a. *soften, quieten* ἐπερχόμενον τε μαλάσσοντες βίαιον πόντον ὠκείας τ' ἀνέμων — ῥιπάς (sc. Διόσκουροι: v. l. μαλάξοντας) *fr. 140c. 1* b. met., *reduce to silence, worst* παλαίφατον ἀγορὰν οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεὰν ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ N. 3. 16.

Μᾰλέα] an area in the south of Laconia. ὃν Μαλέας ὄρος ἔθρεψε, Ναΐδος ἀκοίτας Σιληνός (Wil.: μαλέγορος codd.) fr. 156.

μᾰλερός] *fiery* ἐγὼ δέ τοι φίλαν πόλιν μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς O. 9. 22.

μαλθᾰκός] (-ᾶς, -ᾷ, -άν; -ῷ, -όν, -ά acc.: cf. μαλακός.) *soft, gentle* ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀιστοὺς ἱέντες O. 2. 90. οὐδέ μιν φόρμιγγες ὑπωρόφιαι κοινανίαν μαλθακὰν παίδων ὀάροισι δέκονται P. 1. 98. μαλθακᾷ φωνᾷ P. 4. 137. δρόσῳ μαλθακᾷ P. 5. 99. φθέγματι μαλθακῷ P. 8. 31. οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει γυῖα, τόσσον εὐλογία pr. N. 4. 4. νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορίᾳ σὺν ἀοιδᾷ N. 9. 49. ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι (Boeckh: μαλθακωρας codd.) fr. 122. 8. pro subs., τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι *gentleness* P. 8. 6.

μαλθᾰκόφωνος, -ον] *soft voiced* μαλθακόφωνοι ἀοιδαί I. 2. 8.

μᾶλον] *apple* met., test., Libanius, ep. 36. 1, Πίνδαρός πού φησιν εἶναι "μάλων χρυσῶν φύλαξ," τὰ δ' εἶναι Μουσῶν καὶ τούτων ἄλλοτε ἄλλοις νέμειν (μήλων codd.: corr. Boeckh) fr. 288.

μάν] 1. not combined with other particles, a. connective, emphasising a new point, never neg. ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν καιρόν O. 2. 53. [μήν (v. l. μιν) O. 3. 45.] λέγοντι μὰν χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος O. 9. 49. Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ οἱ στόμα (e Σ Er. Schmid: μὲν codd.) N. 10. 29. ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν I. 3. 15. ἴστε μὰν Αἴαντος ἀλκάν (v. l. καί) I. 4. 35. in subord. cl., δηρίομαι πολέσιν περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν O. 13. 45. b. *adversative, yet* ἐν δ' ἀρετὰν ἔβαλεν — αἰδώς· ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος O. 7. 45. ὅμως μὰν P. 2. 82. λέγονται μὰν P. 3. 88. αὐτὸν μὰν N. 1. 69. παῦροι δὲ — χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν N. 9. 39. (many miss good fortune, e. g. through lack of confidence.) συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας (Pauw: λίαν codd., Σ: contra G. P. 337) N. 11. 33.

2. combined with other particles. a. καὶ μὰν (γε), emphasising a new point, καί connective. καὶ μὰν ξεναπάτας Ἐπειῶν βασιλεὺς ὄπιθεν οὐ πολλὸν ἴδε O. 10. 34. "καὶ μὰν Τιτυὸν" P. 4. 90. καὶ μὰν κεῖνος Ἄτλας P. 4. 289. καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν δυνατός N. 2. 13. καὶ μὰν θεῶν πιστὸν γένος N. 10. 54. where καὶ connects individual words, while μὰν emphasises the last member in a series, θέλοντι δὲ Παμφύλου καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι — αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ Δωριεῖς P. 1. 63. Ἐμμενίδαις ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει P. 6. 6. b. γε μάν, adversative, *yet, but of course* νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν τέλος O. 13. 104. (Τυφώς) τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν P. 1. 17. νῦν γε μὰν P. 1. 50. αἰὼν δὲ κυλινδομέναις

ἁμέραις ἄλλ' ἄλλοτ' ἐξ ἄλλαξεν· ἄτρωτοι γε μὰν παῖδες θεῶν I. 3. 18. with a notion of affirmation, *after all, it is true* φαντί γε μὰν P. 7. 19. ἐπαοιδαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον θῆκεν· ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι N. 8. 50. dub.,]αλλεγεμαν P. Oxy. 2622, fr. 1. 11 ad ?fr. 346. **c.** ἦ μάν, in strong affirmation. "ἦ μάν νιν ὤτρυνον θαμὰ" P. 4. 40. ἦ μὰν ἀνόμοιά γε δᾳοισιν ἐν θερμῷ χροὶ ἕλκεα ῥῆξαν N. 8. 28. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει I. 1. 63. **d.** οὐδὲ μάν, where μὰν emphasises the second limb of a neg. assertion, *nor yet* "οὔ τί που οὗτος 'Απόλλων οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις 'Αφροδίτας" P. 4. 87. Τυφὼς — οὔ μιν ἄλυξεν, οὐδὲ μὰν βασιλεὺς Γιγάντων P. 8. 17.

3. frag. μάρναμαι μὰν Πα. 2. 39.

μανθάνω] (μανθάνων: aor. ἔμᾰθε, ἔμᾰθον; μᾰθών, -όντος, -όντες; μᾰθεῖν.) *learn (of)* σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ — ἄκραντα γαρύετον i. e. those who are without natural ability O. 2. 86. ὥστ' ἔμφρονι δεῖξαι μαθεῖν Πατρόκλου βιατὰν νόον O. 9. 75. ἔμαθε δὲ σαφές (sc. 'Ιξίων, τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι) P. 2. 25. γένοι' οἷος ἐσσὶ μαθών (i. e. οἷον ἔμαθες σεαυτὸν ὄντα, *what you have learned that you are*) P. 2. 72. τὰν (sc. 'Ησυχίαν) οὐδὲ Πορφυρίων μάθεν (ἔγνω Σ.) P. 8. 12. μαθὼν δέ τις ἀνερεῖ, εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων i. e. one who has learned, knows my ways N. 7. 68. c. gen., μανθάνων οἶσθα προτέρων· ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι i. e. having learned from earlier poets P. 3. 80. c. inf., ἔμαθε δ' ὑβρίζοντα μισεῖν P. 4. 284. c. acc. & part., σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον N. 7. 17. fragg. ἔμαθον δ' ὅτι μοῖραν[Πα. 13c. 5.]μαθοντ[P. Oxy. 2442, fr. 103.

μᾰνία] *frenzy* pl. *bouts of frenzy* καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν μανίαισιν ὑποκρέκει O. 9. 39. ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι N. 11. 48. ἐν δὲ Ναΐδων ἐρίγδουποι στοναχαὶ μανίαι τ' ἀλαλαί τ' ὀρίνεται in the Dionysiac rites Δ. 2. 13.

μᾶνις] *resentment* "δύνασαι δ' ἀφελεῖν μᾶνιν χθονίων" P. 4. 159.

μᾰνίω]]ι μανίει (ubi v. Σ in marg. pap., φθονεῖ, sed fort. μὰν ἵει scribendum) Πα. 2. 46.

μαντεῖος, -ήιος] *oracular* εἰ δ' εἴη μὲν 'Ολυμπιονίκας βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ O. 6. 5. μυχόν τ' ἀμφέπει μαντήιον (sc. 'Απόλλων: μαντεῖον coni. Hermann) P. 5. 69.]ευ μαν[τ]ήιον[fr. 59. 6.

μάντευμα] (-α nom., -άτων, -ασι(ν).) *oracle* ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ P. 4. 73. ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν (sc. 'Απόλλων) P. 5. 62. μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις (sc. 'Αλκμάν) P. 8. 60. ἕλον δ' 'Αμύκλας Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις I. 7. 15. μαντευμάτων τε θεσπεσίων δοτῆρα καὶ τελεσιε[πῆ] θεοῦ ἄδυτον Πα. 7. 1.

μαντεύομαι] **a.** *divine* μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ fr. 150. **b.** *consult the oracle* ἀλλ' ὁ μὲν Πυθῶνάδ' — ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας O. 6. 38. μαντεύσατο δ' ἐς θεὸν ἐλθὼν O. 7. 31. "μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ" P. 4. 163.

μαντήιος] v. μαντεῖος.

Μαντῐνέα] a city of Arkadia. ἀν' ἵπποισι δὲ τέτρασιν ἀπὸ Μαντινέας Σᾶμος ὁ 'Αλιροθίου (sc. ἐκράτησε) O. 10. 70.

μάντις] (ὁ, ἡ.) (-ις, -ιν, -ιες, -ίων.) *prophet(ess)* (αἶνος). ὃν — "Αδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς 'Αμφιάρηον φθέγξατ' O. 6. 13. "ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι Amphiareus O. 6. 17. περὶ θνατῶν δ' ἔσσεσθαι μάντιν ἐπιχθονίοις ἔξοχον Iamos O. 6. 50. Οὐλυμπία — ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου O. 8. 2. ἐπιχώριον μάντιν ἄσμενος εὗρεν Polyidos O. 13. 74. μάντις ὀρνίχεσσι καὶ κλάροισι

θεοπροπέων ἱεροῖς Μόψος P. 4. 190. Ἰσμήνιον δ' ὀνύμαξεν, ἀλαθέα μαντίων θῶκον (Hermann: μαντείων, -εῖον codd.) P. 11. 6. μάντιν τ' ὄλεσσε κόραν Kassandra P. 11. 33. μάντιν Οἰκλείδαν, πολέμοιο νέφος Amphiareus N. 10. 9. εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ Herakles I. 6. 51. ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα Teneros fr. 51d. κλυτοὶ μάντιες Ἀπόλλωνος Πα. 8. 13. Δελφοὶ θεμίστων μάντιες Ἀπολλωνίδαι (ὕμνων post θεμ. del. Heyne) fr. 192. ἐναργέα τ' ἔμ' ὥστε μάντιν οὐ λανθάνει (v. fr. 150.) fr. 75. 13. μάντις ὡς τελέσσω ἱεραπόλος Παρθ. 1. 5.

μαντοσύνα] *prophetic art* οἱ ὤπασε θησαυρὸν δίδυμον μαντοσύνας (sc. Ἀπόλλων) O. 6. 66.

μᾱνῡω] a. *declare* ὡς ἄρα μάνυε O. 6. 52. ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς P. 1. 93. τὸ κρατησίππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις (sc. Χρομίος: "donne le signale du chant." Puech) N. 9. 4. [μανύων (codd.: ματεῖσ' Schr.: ματεύοισ' Turyn) *fr. 107a. 5.*] b. *point out, make known* οἷς δῶμα Φερσεφόνας μανύων Ἀχιλεύς (οἷς σημαίνων τὸν Ἅιδην ἀντὶ τοῦ οὖς ἀναιρῶν. Σ.) I. 8. 55.

μάρα?] Σ. B. T. Hom., O. 137: μάρη γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον (αἱ χεῖρες v. l.: "Utrum Pindaro μάρα an μάρεα tribuendum sit, parum liquet," Schr.; v. Forssman, 135ff.) fr. 310.

Μᾰρᾰθών] in Attica, where games were held in honour of Herakles. οἷον δ' ἐν Μαραθῶνι — μένεν ἀγῶνα O. 9. 89. λιπαρὰ Μαραθών O. 13. 110. μυχῷ τ' ἐν Μαραθῶνος P. 8. 79.

μαργόομαι] *be intemperate* οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν' of the expedition of the Seven against Thebes N. 9. 19.

μάργος] *intemperate* ἀλλ' αἶνον ἐπέβα κόρος, οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν O. 2. 96.

μαρμᾰρύζω] *sparkle* τὰς δὲ Θεοξένου ἀκτῖνας πρὸς ὄσσων μαρμαρυζοίσας δρακεὶς (v. l. -ιζοίσας) fr. 123. 3.

μάρνᾰμαι] (μάρναμαι, -ασαι, -αται; μαρνάσθω; μάρνασθαι; μαρνάμενον, -ένων, -ένα.) a. *fight, contend* ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι O. 6. 17. φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν, τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον, τὰ δ' ἐν πεζομάχαισι P. 2. 65. ὧδ' εἶπε μαρναμένων *as they fought* P. 8. 43. ἀκόντεσσίν τε χαλκέοις φασγάνῳ τε μαρναμένα (sc. Κυράνα) P. 9. 21. τῶν ἀπειράτων γὰρ ἄγνωτοι σιωπαί, ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων I. 4. 31. b. *strive, exert oneself* αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον O. 5. 15. χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ N. 1. 25. χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις N. 5. 47. "εἰ δὲ κασιγνήτου πέρι μάρνασαι" N. 10. 86. μαρνάσθω τις ἔρδων ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου ἐκμαθών I. 5. 54. μάρναμαι μὰν Πα. 2. 39.

μάρπτω] *seize, gather* δισσαῖσι δοιοὺς αὐχένων μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας (sc. Ἡρακλέης) N. 1. 45. (ἄρουραι) τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν, τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔμαρψαν ("still legen", Fränkel, D & P, 540) N. 6. 11. frag. μ]αρψεν α[(supp. Lobel.) P. Oxy. 2446, fr. 23. in tmesis, κατὰ γαῖ' αὐτόν — ἔμαρψεν (v. καταμάρπτω) O. 6. 14.

μαρτῠρέω] *give evidence, bear witness* of something on someone's behalf, c. acc. & dat. καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως μαρτυρήσω O. 6. 21. met., ὅσα τ' Ἀρκάσιν †ἀνάσσων μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ O. 13. 108. καὶ νῦν ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις I. 5. 48.

μαρτῠ́ριον] *evidence* c. gen. ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται μαρτύρια φθιμένων ζωῶν τε φωτῶν ἀπλέτου δόξας, ἐπέψαυσαν I. 4. 10.

μάρτῦς] (-υς, -υρ(α), -υρες, -υρας.) *witness* ἀμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι O. 1. 34. τεαὶ γὰρ Ὧραι — μ' ἔπεμψαν — μάρτυρ' ἀέθλων O. 4. 3. πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί P. 1. 88. "καρτερὸς ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεύς" P. 4. 167. δονάκων, τοὶ παρὰ καλλιχόρῳ ναίοισι πόλι Χαρίτων Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες P. 12. 27. κιόνων ὕπερ Ἡρακλέος — ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτούς (Wil.; cll. O. 1. 34: κλυτάς codd.) N. 3. 23. οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ, Αἴγινα, τεῶν Διός τ' ἐκγόνων (Neoptolemos?, Pindar?; v. Tugendhat, Hermes, 1960, 395[1]) N. 7. 49. πιστὰ δ' Ἀγασικλέει μάρτυς ἤλυθον ἐς χορὸν a chorus of girls sings Παρθ. 2. 39.

μάσσων] *more, greater* in quantity. εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν (byz.: μᾶσσον codd.: sc. ἃ ἐκράτησε) O. 13. 113. c. gen., τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ pr. N. 2. 23. ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων pr. I. 3. 5.

μαστεύω] *seek* χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν P. 3. 59. c. inf. "ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευε δοῦναι" P. 4. 35. μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν N. 8. 43.

μάστιξ] *lash* met. ποθεινὰ δ' Ἑλλὰς αὐτὰν — δονέοι μάστιγι Πειθοῦς P. 4. 219.

μαστός] *breast* met., *hill* κτίσσειεν εὐάρματον πόλιν ἐν ἀργεννόεντι μαστῷ P. 4. 8.

μᾰταιος] *ineffectual* ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον P. 3. 21. ματ[αί]ων δὲ [—] ἑκὰς ἐόντων Pα. 4. 34.

μᾰτᾱν] *to no purpose* τά κέ τις ἀνώνυμον γῆρας — ἕψοι μάταν; O. 1. 83.

μᾰτεύω] (cf. μάστευω) *seek* οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες· οἴκοθεν μάτευε N. 3. 31. ἀπὸ τᾶς ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδάλεον ματεύειν fr. 106. 7. c. inf., μὴ ματεύσῃ θεὸς γενέσθαι O. 5. 24. μὴ μάτευε Ζεὺς γενέσθαι I. 5. 14.

μάτημι?] *seek* c. inf. πέταται θάνατον κεροέσσᾳ εὑρέμεν ματεῖσ' ἐλάφῳ (coni. Schr.: μανύων codd.: μανίων Galavotti: sc. κύων) *fr. 107a. 5.*

μάτηρ] (μάτηρ, ματρός, ματέρος, ματρί, ματέρι, ματέρ(α), μᾶτερ.)

1. lit., *mother* οὐδὲ ματρὶ πολλὰ μαιόμενοι φῶτες ἄγαγον mother of Pelops O. 1. 46. Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ Thetis O. 2. 80. τὸ καὶ κατεφάμιξεν καλεῖσθαί μιν χρόνῳ σύμπαντι μάτηρ τοῦτ' ὄνυμ' ἀθάνατον Euadne O. 6. 56. "ματρὸς βαρείᾳ σὺν πάθᾳ" Koronis P. 3. 42. "μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ — Σαλμωνεῖ" Enarea P. 4. 142. τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ' (ἀδόξως. Σ.) P. 4. 186. ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας (sc. Ἀρκεσίλας: ἀμφίβολον, πότερον ἀπὸ μητρὸς πεπαιδευμένος ἢ ἀπὸ τῆς πρώτης ἡλικίας ἔνδοξος ἦν. Σ.) P. 5. 114. οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν (i. e. οἴκαδε. Σ.) P. 8. 85. "φίλας ὑπὸ ματέρος" Cyrene P. 9. 61. σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ Alkmene P. 11. 4. ἀλλὰ χρονίῳ σὺν Ἄρει πέφνεν τε ματέρα Klytaimnestra P. 11. 37. λυγρόν τ' ἔρανον Πολυδέκτα θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν τό τ' ἀναγκαῖον λέχος Danae P. 12. 14. σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν ἐς αἴγλαν παῖς Διὸς — μόλεν Alkmene N. 1. 35. ματέρι καὶ διδύμοις παίδεσσιν Leto N. 9. 4. Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοισ' Hera N. 10. 18. "ματρὶ τεᾷ" Leda N. 10. 81. μᾶτερ Ἀελίου πολυώνυμε Θεία I. 5. 1. "ἐμὰν ματέρα λιπόντες καὶ ὅλον οἶκον Dexithea Πα. 4. 44. ἦτορι δὲ φίλῳ παῖς ἅτε ματέρι κεδνᾷ πειθόμενος Πα. 6. 12. ἀλλ' οὔτε ματέρ' ἔπειτα κεδνὰν ἔιδεν mother of Neoptolemos Πα. 6. 105.]ματερ[Πα. 7B. 3. θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ fr. 61. 5.]φύτευεν ματρί[Danae Δ. 4. 14. θεῶν Κυβέ[λαν] ματ[έρα] (supp. Gomperz, Snell) fr. 80. Φερσεφόνᾳ ματρί τε Demeter ?fr. 346 = P. Oxy. 2622, fr. 1. 4.

2. epith. of divinities. a. Mother Earth. Οὐρανὸς — καὶ Γαῖα μάτηρ

O. 7. 38. πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος P. 4. 74. ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι (sc. ἄνδρες καὶ θεοί) N. 6. 2. **b.** Kybele, the great mother, cf. fr. 80. ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω Ματρί P. 3. 78. σεμνᾷ μὲν κατάρχει Ματέρι πὰρ μεγάλᾳ ῥόμβοι τυπάνων Δ. 2. 9. Ματρὸς μεγάλας ὀπαδέ (sc. ὦ Πάν) fr. 95. 3.

3. met., **a.** ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, λίσσομαι i. e. mother of poets N. 3. 1. μᾶτερ ἐμὰ — χρύσασπι Θήβα (cf. O. 8. 64.) I. 1. 1. Αἴγινα φίλα μᾶτερ (a chorus of Aiginetans sings) P. 8. 98. **b.** μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Οὐλυμπία O. 8. 1. οὔπω γένυσι φαίνων τερείνας ματέρ' οἰνάνθας ὀπώραν (Dreykorn: τέρειναν codd: οἰνάνθαν ὀπώρας Pauw.) N. 5. 6. Ὕβριν, Κόρου ματέρα θρασύμυθον O. 13. 10. μάτηρ ἀκόντων fr. 6b. b. ἀκτὶς ἀελίου, — ὦ μᾶτερ ὀμμάτων Πα. 9. 2. ματέρ' ἐρώτων οὐρανίαν — πρὸς Ἀφροδίταν (Boeckh: ματέρας codd.) fr. 122. 4. **c.** of cities, *mother city* κῶμον — ἀπὸ Στυμφαλίων τειχέων ποτινισόμενον, ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας Stymphalos O. 6. 100. στεφάνων ἄωτοι κλυτὰν Λοκρῶν ἐπαείροντι ματέρ' ἀγλαόδενδρον Opous O. 9. 20. νεόπολίς εἰμι· ματρὸς δὲ ματέρ' ἐμᾶς ἔτεκον ἔμπαν i. e. Teos, recolonized? by Abdera, the mother city of the chorus Πα. 2. 28—9. cf. I. 1. 1. P. 8. 98.

4. fragg. ματερ[Πα. 3. 6.]ματε[ρ Δ. 2. 32.

μᾶτρᾰδελφεός] (cf. μάτρως 2.) *mother's brother* παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεούς P. 8. 35.

μᾶτρόδοκος, -ον] *received by his mother* λέγοντι γὰρ Αἰακόν μιν (= Ζῆνα) ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι N. 7. 84.

μᾶτρόθεν] *on their mothers' side* τὸ δ' Ἀμυντορίδαι ματρόθεν Ἀστυδαμείας (sc. εὔχονται) O. 7. 24. ἀμφοτέροις ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατρός P. 2. 48. καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις I. 3. 17.

μᾶτρομάτωρ] *mother's mother* ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα (ἡ Μετώπη δὲ Ἀσωποῦ μὲν ἦν γυνή, θυγάτηρ δὲ Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ, μήτηρ δὲ Θήβης, ἀφ' ἧς ἡ Πινδάρου πατρίς) O. 6. 84.

μᾶτρόπολις] *mother city* "μεγαλᾶν πολίων ματρόπολιν Θήραν γενέσθαι" P. 4. 20. Αἰακίδας ἐγέραιρεν ματρόπολίν τε, φίλαν ξένων ἄρουραν Aigina N. 5. 8.

μᾶτροπόλος, -ον] *attending to mothers* ματροπόλῳ σὺν Ἐλειθυίᾳ (καταχρηστικῶς Schr., Pyth. Comm.) P. 3. 9.

μᾶτρυιά] *mother in law* "ἔκ τε ματρυιᾶς ἀθέων βελέων" Damodike, mother in law of Phrixos, cf. fr. 49 P. 4. 162.

μάτρως] (-ως, -ωος, -ωι, -ῳ; -ωες, -ώων.) *relative on the mother's side.* **a.** *mother's father* μάτρωος δ' ἐκάλεσσέ νιν ἰσώνυμον ἔμμεν Opous O. 9. 63. **b.** *mother's brother, uncle* εἰ δέ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν N. 4. 80. καὶ νῦν τεὸς μάτρως ἀγάλλει κείνου ὁμόσπορον ἔθνος, Πυθέα (Mingarelli, et Σ^γρ ut vid.: Πυθέας codd., Wil., sed cf. I. 6. 62) N. 5. 43. ἄραντο γὰρ νίκας — ἀγλαοὶ παῖδές τε καὶ μάτρως (Er. Schmid: μάτρωες codd.: i. e. the sons of Lampon and their uncle Euthymenes) I. 6. 62. dub., μάτρωί θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος I. 7. 24. **c.** *ancestor on the mother's side* εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος, Ἁγησία, μάτρωες ἄνδρες ναιετάοντες ἐδώρησαν O. 6. 77. ἕπεται δὲ (ἐπέβα δὲ coni. Wil.), Θεαῖε, ματρώων πολύγνωτον γένος ὑμετέρων εὐάγων τιμά N. 10. 37. συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας, — καὶ παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον ἐκ Μελανίπποιο μάτρωος N. 11. 37.]ματρω[Πα. 7C. b. 2.

μάχα] (-α, -ας, -ᾳ, -αν; -ᾶν, -αις.) *battle* ἐν μάχαις τε πολέμου τιμώμενος O. 2. 44. πτολιπόρθοις ἐν μάχαις O. 8. 35. ἔα πόλεμον μάχαν τε πᾶσαν χωρὶς ἀθανάτων O. 9. 40. τράπε δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον Ἡρακλέα O. 10. 15. ἐδόκησαν

ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος O. 13. 57. ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις τλάμονι ψυχᾷ παρέμειν' P. 1. 47. ἐν Σπάρτᾳ δ' ἄρα τᾶν πρὸ Κιθαιρῶνος μαχᾶν (sc. χάριν μισθὸν ἀρέομαι: τὰν μάχαν codd., corr. Wil.: i. e. at Plataiai) P. 1. 77. νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς ὑπερτάτους ἥρωας ἐν μάχαις P. 8. 27. πόνων δὲ καὶ μαχᾶν ἄτερ οἰκέοισι P. 10. 42. πειρᾶτο δὲ πρῶτον μάχας N. 1. 43. ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν N. 1. 67. μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον (Tric.: ἐν μάχᾳ codd.) N. 3. 46. κράτιστον (sc. Αἴαντα) 'Αχιλέος ἄτερ μάχᾳ N. 7. 27. παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις N. 9. 34. τοὶ καὶ σὺν μάχαις δὶς πόλιν Τρώων πράθον I. 5. 35. Τρείας ἶνας ἐκταμὼν δορί, ταί μιν ῥύοντό ποτε μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα (Tric.: ἐκ μάχας codd.) I. 8. 53.]τε μαχα[fr. 140a. 74 (48). κέντρον δὲ μάχας ὁ κραπιστεύων λόγος fr. 180. 3. Φρυγίας κοσμήτορα μάχας (sc. Ὅμηρον) ?fr. 347. of individual contests, fights, ἐρέω ταύταν χάριν, τὰν δ' ἔπειτ' ἀνδρῶν μάχας ἐκ παγκρατίου (Schr.: μάχαν codd.) O. 8. 58. ἵνα κρεῶν νιν ὕπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ N. 7. 42.

μᾰ́χαιρα] *curved sword* μαχαίρᾳ τάμον κατὰ μέλη O. 1. 49. ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι (sc. δέρμα λαμπρόν) P. 4. 242. τᾷ Δαιδάλου δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον N. 4. 59. ἵνα κρεῶν νιν ὕπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ (οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν αὐτόν, sc. Νεοπτόλεμον, — ὑπὸ Μαχαιρέως: Σ: v. Wil., 130[1]) N. 7. 42.

μᾱχᾱνά] *resource(s), resourcefulness* ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς P. 1. 41. τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν P. 3. 62. δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν P. 3. 109. τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν, ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ P. 8. 34. βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς P. 8. 75. ἐπεὶ ψεύδεσί (οἱ = 'Ομήρῳ) ποτανᾷ τε μαχανᾷ σεμνὸν ἔπεστί τι N. 7. 22.

μαχατάς] *warrior* καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν δυνατός N. 2. 13. δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν θυμὸν αἰσχυνθῆμεν N. 9. 26. μαχατὰν αἰνέων Μελέαγρον I. 7. 31.

μαψυλάκας] *chatterer* ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας "Διὸς Κόρινθος" (μαψυλάκαις coni. J. G. Schneider: cf. Fränkel, Nom. Ag., 2. 95.) N. 7. 105.

Μεγᾰκλέης] son of Hippokrates of Athens, of the clan Alkmaionidai, winner with the four-horse chariot at Delphi, 486 B. C. ὦ Μεγάκλεες P. 7. 17.

(Μεγάκλεια)] wife of Pindar, test., Vit. Ambr., p. 3. 3. Dr., γήμας δὲ Μεγάκλειαν τὴν Λυσιθέου καὶ Καλλίνης (sc. Πίνδαρος) test. ad fr. 94c.

μεγᾰλᾱνορία] *ambitious action* ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν, ἔργα τε πολλὰ μενοινῶντες N. 11. 44.

μεγᾰλᾱ́νωρ] *proud* σὺν δ' ἀνάγκᾳ μιν φίλον καί τις ἐὼν μεγαλάνωρ ἔσανεν P. 1. 52. μεγαλάνορος 'Ησυχίας fr. 109. 2.

μεγᾰ́λαυχος] pro subs., *a man of supreme confidence* βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ P. 8. 15.

μεγᾰλήτωρ] *great hearted* ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ Αἰακοῦ παίδων τε I. 5. 34.

μεγᾰλόδοξος, -ον] *of great fame* σώτειρα — μεγαλόδοξος Εὐνομία O. 9. 16.

μεγᾰλοκευθής] *with vast interior* μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις P. 2. 33.

μεγᾰλόπολις] f. adj., *great city* μεγαλοπόλιες ὦ Συράκοσαι P. 2. 1. αἱ μεγαλοπόλιες 'Αθᾶναι P. 7. 1.

μεγᾰλοσθενής] *of great strength* μεγαλοσθενεῖ — ὀρφανιζομένῳ Πηλεΐδᾳ P. 6. 21. παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥρας N. 7. 2.]χα μεγαλοσθεν[?fr. 333b. 1.

μεγαλόφρων]]μεγαλοφρω[ν P. Oxy. 2442, fr. 72.

μεγᾰ́νωρ] *lordly* μεγάνορος ἔξοχα πλούτου O. 1. 2.

Μεγάρα] daughter of Kreon of Thebes, wife of Herakles αὔξομεν ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς I. 4. 64.

Μέγᾰρα] (τά) where games were held in honour of Alkathoos and Apollo (N. 5. 84a Σ, N. 3. 147 Σ., cf. Νίσος.) ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον (κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. Σ.) O. 7. 86. Πέλλανά τε καὶ Σικυὼν καὶ Μέγαρ' (sc. μαρτυρήσουσι νίκας) O. 13. 109. Μεγάροις δ' ἔχεις γέρας (byz.: ἐν Μεγάροις codd.) P. 8. 78. τίν γε μὲν — ἀεθλοφόρου λήματος ἕνεκεν Νεμέας 'Επιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορκεν φάος N. 3. 84.

μέγᾰρον] (-ον, -ῳ, -ον; -ων, -οις.) a. *hall, palace* χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας ὡς ὅτε θαητὸν μέγαρον πάξομεν O. 6. 2. τοῖσι μὲν ἐξεύχετ' ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον O. 13. 62. καί ῥ' ἦλθον Πελία μέγαρον P. 4. 134. ἐπέγνω μὲν Κυράνα καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν Δαμοφίλου πραπίδων P. 4. 280. οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν N. 1. 31. b. pl. pro s. οἵαν Βρομίου τελετὰν καὶ παρὰ σκᾶπτον Διὸς Οὐρανίδαι ἐν μεγάροις ἵσταντι Δ. 2. 8. αὐτίκα δ' ἐκ μεγάρων Χίρωνα προσήνεπε φωνᾷ (sc. 'Απόλλων, i. e. from his cave) P. 9. 29.

Μέγᾰς] father of Deinis of Aigina. Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα N. 8. 16. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν N. 8. 44.

μέγᾰς] 1. (μέγας, -αν, -άλοι, -άλων; -άλα, -άλας, -άλᾳ, -άλαν, -άλαι, -αλᾶν, -άλαις, -άλας; μέγα, μεγάλῳ, μέγα, μεγάλων, μεγάλα.) a. *great* in size. α. of people, animals. τὸν μέγαν πολεμιστὰν ἔκπαγλον 'Αλκυονῆ N. 4. 27. ἀρχὸν οἰωνῶν μέγαν αἰετόν I. 6. 50. β. of things, μέγαν ὄλβον O. 1. 56. θόρυβον — μέγαν O. 10. 73. μεγάλας δρυός P. 4. 264. "μέγαν ἄλλοθι κλᾶρον ἔχω;" Πα. 4. 48.]ἐσελθὼν μέγα[(sc. στέγος, simm.) fr. 169. 18. λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον fr. 196. b. α. of people, *mighty, sovereign* †ἄλλοισι δ' ἄλλοι μεγάλοι (ἐπ' ἄλλοισι coni. byz.) O. 1. 113. πατὴρ — μέγας (Π: γᾶς codd.: Kronos) O. 2. 76. θεῶν βασιλεὺς ὁ μέγας Zeus O. 7. 34. σεμνᾷ μὲν κατάρχει Ματέρι πὰρ μεγάλᾳ ῥόμβοι τυπάνων Δ. 2. 9. Ματρὸς μεγάλας fr. 95. 3. μεγάλας θεοῦ Great Mother fr. 96. 1. β. of things, *great* μεγάλων ἀέθλων ἁγνὰν κρίσιν O. 3. 21. μέγαν ὅρκον ὀμόσσαις O. 6. 20. θεῶν δ' ὅρκον μέγαν μὴ παρφάμεν O. 7. 65. μεγάλαν ἀρετὰν O. 8. 5. μέγα τοι κλέος αἰεὶ O. 8. 10. μεγάλαις ἀρεταῖς O. 11. 6. εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται πὰρ σέθεν pr. *weighty* P. 1. 87. ἔδωκεν μέγα κῦδος P. 2. 89. ὁ μέγας πότμος P. 3. 86. σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις ἔσσομαι P. 3. 107. "μεγαλᾶν πολίων" P. 4. 19, P. 5. 16. "μεγάλας — Λακεδαίμονος" P. 4. 48. "μεγάλαν προγόνων τιμὰν" P. 4. 148. μεγαλᾶν δ' ἀρετᾶν (v. l. μεγάλαν δ' ἀρετὰν) P. 5. 98. Διός τοι νόος μέγας P. 5. 122. ὁ δὲ καλόν τι νέον λαχὼν ἁβρότατος ἔπι μεγάλας ἐξ ἐλπίδος πέταται (perhaps ἀπὸ κοινοῦ with ἁβρότατος and ἐλπίδος) P. 8. 89. "μεγάλαν δύνασιν" P. 9. 30. ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι P. 9. 76. θέμεν αἶνον ἀελλοπόδων μέγαν ἵππων pr. N. 1. 6. μεγάλων δ' ἀέθλων N. 1. 11. ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις N. 1. 34. ταῖς μεγάλαις — 'Αθήναις N. 2. 8. 'Αχιλεὺς — παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα N. 3. 44. αἰδέομαι μέγα εἰπεῖν N. 5. 14. ἔλπομαι μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν ὥτ' ἀπὸ τόξου ἱείς *having made a proud claim* N. 6. 27. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις N. 6. 4. ἀρετὰς ἀποδεικνύμενοι μεγάλας N. 6. 47. ταὶ μεγάλαι γὰρ ἀλκαὶ N. 7. 12. παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου μόλεν χθονός N. 7. 33. καὶ μέγα ἔργον

ἐμήσαντ' ὠκέως N. 10. 64. μεγάλαι δ' ἀρεταί I. 3. 4. μή μοι μέγας ἕρπων κάμοι ἐξοπίσω χρόνος ἔμπεδος Πα. 2. 26.]ν ἐν Ἄργει μεγάλῳ Δ. 1. 7. ἀρχὰ μεγάλας ἀρετᾶς fr. 205. ὁ μέγας — κίνδυνος O. 1. 81. ἔπαθον — μεγάλα O. 2. 23. ταύταν μεγάλαν ἀυάταν P. 3. 24. πεδὰ μέγαν κάματον P. 5. 47. ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον N. 1. 70. ἐκ μεγάλων δὲ πενθέων λυθέντες I. 8. 6. πρὸ πόνων δέ κε μεγάλων Πα. 6. 90. τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ P. 4. 75. **γ.** n. s. pro adv., *greatly* συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει N. 3. 40. **δ.** frag.]ιαντα μεγαν[fr. 169. 14.

2. comp., μείζων. (-ων, -ω; -ονα acc.) *greater* κτίσεν δ' ἄλσεα μείζονα θεῶν P. 5. 89. δαέντι δὲ καὶ σοφία μείζων ἄδολος τελέθει (pr.: v. von d. Mühll, M. H., 1963, 200) O. 7. 53. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει I. 1. 63.]κε μεζον θε[(Π^{s}: μεγα Π.) P. Oxy. 2445, fr. 6.

3. superl., μέγιστος. (-ῳ, -ον, -οι; -αν, -αις; -ον nom., acc., -α acc.) **a.** of people, *mightiest* πατρὶ μεγίστῳ Zeus O. 10. 45, cf. O. 9. 61. Δαναῶν ἦσαν μέγιστοι ⟨⏑⏑—⟩ the sons of Talaos N. 9. 17. σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξοντ' fr. 133. 4. **b.** of things, *preeminent, foremost* ἑορταῖς θεῶν μεγίσταις O. 5. 5. τεθμόν τε μέγιστον ἀέθλων O. 6. 69. τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν P. 4. 278. τὸ μὲν μέγιστον τόθι χαρμάτων ὤπασας P. 8. 64. τὰ μέγιστ' ἀέθλων ἕλη τόλμᾳ τε καὶ σθένει P. 10. 24. μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται N. 8. 25. ἀστῶν γενεᾷ μέγιστοι κλέος αὔξων pr. I. 7. 29. ἔχεν δὲ σπέρμα μέγιστον ἄλοχος (i. e. τοῦ μεγίστου, of Zeus) O. 9. 61. c. fragg. ὁ μέγιστ[ος Πα. 7. a. 3.]μ̣εγιστων[fr. 215c. 2.

μεγασθενής] *mighty in strength* μεγασθενὴς — Γαιάοχος Ποσειδάν O. 1. 25. σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων pr. I. 5. 2. Δωδωναῖε μεγασθενὲς ἀριστότεχνα πάτερ Zeus fr. 57. 1.

μεγαυχής] *proud* πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ (Er. Schmid: μεγαλαυχεῖ codd.) N. 11. 21.

μεγιστόπολις] f. adj., *who makes cities supremely great* (v. Williger, Sprachl. Untersuchungen, 18) Ἡσυχία, Δίκας ὦ μεγιστόπολι θύγατερ P. 8. 2.

μεδέων] *ruling over* c. gen., dat. ὦ Πάν, Ἀρκαδίας μεδέ̆ων fr. 95. 1. ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου μεδέων O. 7. 88. ὀνυμακλύτα γ' ἔνεσσι Δωριεῖ μεδέοισα πόντῳ νᾶσος, — Αἴγινα Πα. 6. 124.

Μέδοισα] one of the three Gorgon sisters. εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας υἱὸς Δανάας P. 12. 16. μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος N. 10. 4.

μεθέπω] **a.** *follow (after)* τὰν (ἔλαφον) μεθέπων ἴδε καὶ κείναν χθόνα O. 3. 31. ἐπεὶ νεφέλᾳ παρελέξατο, ψεῦδος γλυκὺ μεθέπων P. 2. 37. **b.** *embrace* ταύταν μεθέπων Διόθεν αἶσαν νῦν πέφανται οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας N. 6. 13. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος ἄγγελος ἔβαν N. 6. 57.

μεθομήρεος] *accompanying* c. gen. Et. Mag., Πίνδαρος δὲ ἐν ὕμνοις· ἐρίφων μεθομήρεον, οἷον ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον of Pan? fr. 47.

μεθύω] *be drunken* ὄφρα σὺν Χειμάρῳ μεθύων Ἀγαθωνίδᾳ βάλω κότταβον fr. 128. 2.

μείγνυμι] (μειγνύντων (μίγ. codd. Plut.); μειγνύμεν (μιγ. codd. Plut.): impf. μείγνυον (μίγ. codd.): aor. ἔμειξεν (ἔμιξ. codd., Π); μεῖξαι (μῖξ. codd.): pass. μείγνυνται (μίγ. codd. Dion. Hal.); μειγνύμενον (μιγ. codd.): impf. ἐμείγνυτ' (ἐμίγ. codd.), ἐμείγνυντο (ἐμίγ. codd. Plut.): aor. 1, μίχθη, ἔμιχθεν; μιχθείς, -έντα, -έντες, -εῖσα; aor. 2, μίγεν; μῖγεῖσ(α): pf. μέμικται; μεμιγμένον; μεμίχθαι: μι passim codd., Π: μει Schr.: it is uncertain whether μι or μει should be written in aor. 1 pass. and pf. pass.: also pass. μίσγονται; μισγομέναν.) *mingle*

1. c. acc. and dat., a. *mingle with* ῥόδα τε κόμαισι μείγνυται (Schr.: μίγνυται, μίγνυνται codd. Dion. Hal.) fr. 75. 17. met., ἐλαφρὸν ὄρχημ' οἶδα ποδῶν μειγνύμεν (sc. αὐλοῖς, simm., Wil.: μίγνυμεν codd. Plutarchi: corr. Stephanus, Schr.) *fr. 107b. 1.* pass., ἔχει συγγενὴς ὀφθαλμὸς αἰδοιόστατον γέρας τεᾶ τοῦτο μειγνύμενον φρενὶ (Schr.: μιγν. codd.: i. e. *with the addition of your wisdom*) P. 5. 19. b. *bring to, among* ναόν· τὸν μὲν Ὑπερβορ[έοις] ἄνεμος ζαμενὴς ἔμειξ[(Schr.: εμιξ[Π: cf. Paus., 10. 5. 9, of the second Delphic temple of Apollo, πεμφθῆναι — ἐς Ὑπερβορέους φασὶν — ὑπὸ τοῦ Ἀπόλλωνος) Πα. 8. 64. θύματα μειγνύντων πυρὶ τηλεφανεῖ (Schr.: μιγν. codd. Plutarchi) Θρ. 7. 9. met., *inflict upon*, Κόλχοισιν βίαν μεῖξαν (Schr.: μῖξαν codd.: "intellego de ludis dictum," Schr.) P. 4. 213. μάτρωι — χάλκασπις ᾧ πότμον μὲν Ἄργς ἔμειξεν I. 7. 25. pass., καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν ἤθεσιν ἔν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ νᾶσον *being brought among the habitations of the Spartans* P. 4. 257, cf. P. 4. 251. c. α. *crown with* λαὸν — θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλλοις ἐλαιᾶν χρυσέοις μιχθέντα N. 1. 18. Κορινθίων ὑπὸ φωτῶν ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη N. 2. 22. Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον (Schr.: μίγνυον codd.) N. 4. 21. ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι I. 3. 3. β. pass., *be affected by* ἔστα δὲ θάμβει δυσφόρῳ τερπνῷ τε μιχθείς N. 1. 56. d. *contract* a marriage, for, between pers. ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος (v. l. μιχθέντι) P. 9. 13. καταίνησάν τε κοινὸν γάμον γλυκὺν ἐν ἀλλάλοισι μεῖξαι (μῖξαι, μίξειν codd.: corr. Schr.) P. 4. 223.

2. c. ἐν + dat., pass., met., *come into touch with* ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων (zeugma of senses 1. b and 4. b is intended) P. 4. 251. and so *be endowed with* νῦν δ' ἐν αἱμακουρίαις — μέμικται (sc. Πέλοψ) O. 1. 91. (Ὀλυμπία) ἵν' ἀθανάτοις Αἰνησιδάμου παῖδες ἐν τιμαῖς ἔμιχθεν I. 2. 29.

3. c. σὺν + dat., pass., *be mixed, combined with* ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι N. 3. 77.

4. pass. *mingle together* a. abs. ἥρωες αἰδοίαν ἐμείγνυντ' ἀμφὶ τράπεζαν θαμά (Stephanus: ἥρως — ἐμίγνυτο codd. Plutarchi) fr. 187. b. c. dat., *be united with* of sexual intercourse. (Πιτάνα). ἃ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται παῖδα — τεκέμεν O. 6. 29. Ῥόδῳ ποτὲ μιχθεὶς τέκεν ἑπτὰ — παῖδας O. 7. 71. Ὀλύμπιος ἀγεμὼν θύγατρ' — Ὀπόεντος ἀναρπάσαις ἕκαλος μίχθη O. 9. 59. Κένταυρον, ὃς ἵπποισι Μαγνητίδεσσιν ἐμείγνυτ' (Schr.: ἐμίγνυτ' codd.) P. 2. 45. πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ P. 3. 14. θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ Λιβύας P. 9. 68. τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαίφρων ἐν μόναις ὠδῖσιν Ἀλκμήνα P. 9. 84. ποντίαν θεὸν — Ζηνὶ μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν I. 8. 35.]μιγεῖσ' α[Πα. 7. a. 1. τᾶς ὁ κράτιστος ἐράσσατο μιχθεὶς τοξοφόρον τελέσαι γόνον[Πα. 7B. 51.]κόρα μιγεῖσ' Ὠκεανοῦ Μελία σέο, Πύθι[ε (λέχει supp. G-H.) Πα. 9. 43. Μένδητα — αἰγιβάται ὅθι τράγοι γυναιξὶ μίσγονται fr. 201. 3.

Μειδίας] an Isthmian victor, relative of Pytheas of Aigina. test., Σ, I. 5. inscr., ἐν γὰρ τῇ γεγραμμένῃ Μειδίᾳ ᾠδῇ. (Wil.: ᾠδῇ μίδα, μι' ᾠδῇ codd.: Μίδᾳ edd. vulg.) v. test. ad fr. 4.

Μειδυλίδαι] an Aiginetan clan. αὔξων δὲ πάτραν Μειδυλιδᾶν λόγον φέρεις (Bergk: Μιδυλιδᾶν codd.) P. 8. 38.

Μειδύλος] of Aigina, progenitor of the Meidylidai. ἁ Μειδύλου δ' αὐτῷ γενεά (Bergk: Μιδύλου codd.) fr. 190.

μείζων] v. μέγας.

μειλίχιος] *gentle* μειλιχίοισι λόγοις. P. 4. 128. μειλιχίοις τε λόγοις P. 4. 240.

μείλιχος, -ον] *gentle* Χάρις δ' ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς O. 1. 30. "ἔ-

τραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον" P. 9. 43. λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών P. 8. 97.

μείς] v. μήν.

μείων] v. μικρός.

μέλαθ'ρον] *chamber* σφ' (= χεριαρᾶν τεκτόνων δαίδαλα) ἔχει κυπαρίσσινον μέλαθρον P. 5. 40.

Μέλαμπος] (cf. Barrett, Hermes, 1954, 433[1].) son of Amythaon, a seer, cousin of Jason. ταχέως δ' Ἄδματος ἷκεν καὶ Μέλαμπος εὐμενέοντες ἀνεψιόν P. 4. 126. ἀλλ' ὅ γε Μέλαμπος οὐκ ἤθελεν λιπὼν πατρίδα μοναρχεῖν Ἄργει θέμενος οἰωνοπόλον γέρας (μελάμπος Π: v. Thummer, 15) Πα. 4. 28.

μελάμφυλλος, -ον] *dark with foliage* Αἴτνας ἐν μελαμφύλλοις — κορυφαῖς P. 1. 27.

Μελάμφυλλον] a mountain near Abdera, where the people of Abdera won a victory. κείνοις δ' ὑπέρτατον ἦλθε φέγγος ἄντα δυσμενέων Μελαμφύλλου προπάροιθεν Πα. 2. 69.

μελάναιγις?] *with black aegis*]γαιγιν χθόν' α[(μελα], κυα] supp. Lobel) fr. 215b. 7.

Μελάνιππος] a Theban hero, who wounded Tydeus and was killed by him in defending Thebes against the Seven. (αἷμα) παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον ἐκ Μελανίπποιο μάτρωος N. 11. 37.

μελαντειχής] *with black walls* μελαντειχέα νῦν δόμον Φερσεφόνας ἔλθ', Ἀχοῖ (μειλαντειχέα Maas) O. 14. 20.

μέλας] (μέλᾰνος, -ᾰνι; -αίνας, -αίνᾳ, -αιναν, -αιναι; μέλαν acc.) *dark* met., *dismal* λάχναι νιν μέλαν γένειον ἔρεφον pr. O. 1. 68. λέγοντι μὰν χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος O. 9. 50. μέλανος ἂν ἐσχατιὰν καλλίονα θανάτου (θάνατον v. l.) P. 11. 56. οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν N. 7. 3. ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι N. 11. 39. Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον I. 8. 50.]α φυγόντα νιν καὶ μέλαν ἕρκος ἅλμας[Δ. 1. 16. ὑπὸ σιγᾷ μελαίνᾳ κάρα κέκρυπται Παρθ. 1. 10. θεῷ δὲ δυνατὸν μελαίνας ἐκ νυκτὸς ἀμίαντον ὄρσαι φάος fr. 108b. 1. ἣ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν ψυχρᾷ φλογί *unenlightened* fr. 123. 5. πάρος μέλαιναν καρδίαν ἐστυφέλιξεν pr. fr. 225.

Μέλας] a river flowing into lake Kopais in Boeotia; its reed beds were famous for producing flutes. πρόσθα μὲν ἴς Ἀχελωίου τὸν ἀοιδότατον Εὐρωπία κράνα Μέλ[ανό]ς τε ῥοαὶ τρέφον κάλαμον (supp. Wil.: τε ποταμοῦ ῥοαὶ Π: ποταμοῦ del. Wil. ut glossema) fr. 70. 2.

Μελέαγ'ρος] son of Oineus, killed by Apollo. μαχατὰν αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα Ἀμφιάρηόν τε I. 7. 32. Με]λεαγρον (supp. Lobel) P. Oxy. 2622. 17 ad ?fr. 346. test., Σ Gen., Hom., Φ 194, Ἡρακλῆς εἰς Ἅιδου κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ κτέ. fr. 149a ad Δ. 2. cf. Σ ad Δ. 4g, Δ. 4f.

μέλει] v. μέλω.

μελέτα] (-α, -ᾳ, -αν; -αις.) a. taking pains, *resolution, diligence* ἐν θυμῷ πιέσαις χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ O. 6. 37. ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν N. 6. 54. Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος (v. Ἡσίοδος) I. 6. 66. b. object of care, *concern, preoccupation* μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει μελέτα O. 9. 107. μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι (sc. ἥροες: *matter for thought*) I. 5. 28. pl., Λυδῷ γὰρ Ἀσώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον *among my (poetic) preoccupations* O. 14. 18.

μέλημα] a. *care* γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος. fr. 217. b. *object of care*; of people, *darling* τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις, νέαισίν τε παρθένοισι μέλημα P. 10. 59. σεμνᾶν Χαρίτων μέλημα τερπνόν (sc. Πάν) fr. 95. 4.

Μελησίας] an Athenian trainer of wrestlers. εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ (Μελησίᾳ v. l.) O. 8. 54. οἷον αἰνέων κε Μελησίαν ἔριδα

στρέφοι N. 4. 93. δελφῖνι καὶ τάχος δι' ἅλμας ἰσόν κ'εἴποιμι Μελησίαν, χειρῶν τε καὶ ἰσχύος ἀνίοχον N. 6. 65.

μελησίμβροτος, -ον] *dear to men* "ἀ-στέων ῥίζαν φυτεύσεσθαι μελησίμβροτον" (pr.: -βρότων coni. Barrett, Hermes, 1954, 436[1]) P. 4. 15.

μέλῐ] (μέλι, -ιτος, -ιτι, -ι.) *honey* κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια N. 7. 53. met., μέλιτι εὐάνορα πόλιν καταβρέχων (αὐτῷ τῷ ποιήματι. Σ.) O. 10. 98. ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι (ἀλληγορικῶς οὖν τὸν ὕμνον φησί, τὸ καλὸν καὶ ἡδύτατον αὐτοῦ ἐπιδεικνύμενος. Σ.) N. 3. 77. ἐν δ' ἐρατεινῷ μέλιτι καὶ τοιαῖδε τιμαὶ καλλίνικον χάρμ' ἀγαπάζοντι *amid the beautiful honey of song* I. 5. 54. ἔραται δέ μοι γλῶσσα μέλιτος ἄωτον γλυκύν[(sc. καταλείβειν, simm., Wil.) Πα. 6. 59. τὸ σὸν αὐτοῦ μέλι γλάζεις (Wil. e Σ: μέλος codd. Theocriti: sc. ὦ Πάν) fr. 97.

Μελία] daughter of Ocean, mother by Apollo of Teneros. ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων θησαυρόν i. e. to the temple of Apollo Ismenios in Thebes P. 11. 4. Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν — ὑμνήσομεν fr. 29. 1. ἀγλαάν τ' ἐς αὐλὰν Ὠκεανοῖο[—] Μελίας Πα. 7. 4. λέχει πέλας ἀμβροσίῳ Μελίας (τῷ Ἰσμηνίῳ λέγει. Σ.) Πα. 9. 35. Τήνερον — ἔτεκ[εν —] κόρα μιγεῖσ' Ὠκεανοῦ Μελία σέο, Πύθι[ε (λέχει supp. G-H.) Πα. 9. 43.

μελῐᾱδής] *honey sweet* "καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν" P. 9. 37. μελιαδέος οἴνου fr. 166.

μελιγᾱθής] *delighting like honey* μελιγαθὲς ἀμβρόσιον ὕδωρ fr. 198b.

μελῐγᾱρυς] *sweet voiced* μελιγάρυες ὕμνοι O. 11. 4, P. 3. 64. μελιγαρύων τέκτονες κώμων νεανίαι N. 3. 4. μελιγάρυας ὕμνους I. 2. 3. κελαδεννᾷ σὺν μελιγάρυι παιᾶνος ἀγακλέος ὀμφᾷ Πα. 5. 47.

μελίγδουπος, -ον] *sounding honey sweet* μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς N. 11. 18.

μελίζω] *celebrate in song* ἐπαινεῖσθαι χρεών, καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς (μελίζεν ἀοιδαῖς coni. Pauw.: sc. Ἀρισταγόραν) N. 11. 18.]τεὰν τε[λετ]ὰν μελίζοι[Δ. 3. 6. ἐγὼ μ[—] παῦρα μελιζομεν[fr. 140b. 12.

Μελικέρτας] son of Athamas and Ino (fr. 6.); in his honour his uncle Sisyphos founded the Isthmian games. Αἰολίδαν δὲ Σίσυφον κέλοντο ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας φθιμένῳ Μελικέρτᾳ fr. 5. 3.

μελῐκομπος, -ον] *with honey sweet praise* μελικόμπων ἀοιδᾶν I. 2. 32.

μελικτάς] *singer* (of dolphins?) μελικτὰς ὁδοιπόρους θαλάσσας (Meineke: μέλιγγας ὄλοιτο παῖς Hesych., Pindaro tribuit Latte) ?fr. 340.

μελίρροθος] *sounding sweet as honey* μελιρρόθων δ' ἕπεται πλόκαμοι (sc. ἐπέων, simm., Schr.) fr. 246a.

μέλισσα] (-α, -ας, -ᾶν, -αις.) **a.** *bee* ἀμεμφεῖ ἰῷ μελισσᾶν honey O. 6. 47. μελισσᾶν ἀμείβεται τρητὸν πόνον honeycomb P. 6. 54. ἐγκωμίων γὰρ ἄωτος ὕμνων ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον (cf. b. below) P. 10. 54. ἀλλ' ἐγὼ τᾶς (sc. Ἀφροδίτας) κηρὸς ὣς δαχθεὶς ἕλᾳ ἱερᾶν μελισσᾶν τάκομαι fr. 123. 11. test., v. fr. 252. **b.** *priestess* esp. of Demeter (διὰ τὸ τοῦ ζῴου καθαρόν Σ, P. 4. 106c. But from fr. 252 it is clear that bees sometimes had power to give indications of the future: cf. also ἱεραί, fr. 123. 11.) ταῖς ἱεραῖσι μελίσσαις τέρπεται fr. 158. μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ the priestess of Apollo at Delphi P. 4. 60.

Μέλισσος] son of Telesiadas of Thebes, of the family of the Kleonymidai; victor at the Nemean and Isthmian games. ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ μοῖρα I. 3. 9. ὦ Μέλισσ' I. 4. 2. κεῖνον ἅψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ — ἔρνει Τελεσιάδα I. 4. 44.

μελισσότευκτος] *made by bees* μελισσοτεύκτων κηρίων fr. 152.

μελιτόεις] *honey sweet* ὁ νικῶν δὲ — ἔχει μελιτόεσσαν εὐδίαν O. 1. 98.

μελίφθογγος, -ον] *honey-voiced* μελίφθογγοι — Μοῖσαι O. 6. 21. μελιφθόγγου ποτὶ Τερψιχόρας (Heyne: -φθογγοι codd.) I. 2. 7. μελιφθόγγοις ἀοιδαῖς I. 6. 9.

μελίφ'ρων] *honey sweet to the mind* μελίφρον' αἰτίαν ῥοιαῖσι Μοισᾶν ἐνέβαλε N. 7. 11. μελίφρονι αὐδ[ᾷ (hiatus notabilis.) Πα. 8. 78. τοιάνδε μελίφρονος ἀρχὰν — σκολίου fr. 122. 14.

μέλλω] (μέλλεις, -ει; μέλλων, -οντα, -οντες, -όντων, -ον acc.: impf. μέλλεν.) **a.** abs., *be about to be* "χῶ τι μέλλει, χὠπόθεν ἔσσεται, εὖ καθορᾷς" P. 9. 49. esp. part., *future*, μέλλον ἔντειλεν φυλάξασθαι χρέος παισὶν φίλοις O. 7. 40. ἕκαθεν δ' ἐπελθὼν ὁ μέλλων χρόνος (Schadewaldt, 273[2]: contra Wil., "Zeit des Zögerns") O. 10. 7. τῶν δὲ μελλόντων τετύφλωνται φραδαί O. 12. 9. σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον N. 7. 17. **b.** *be about to, intend* **α.** c. aor. inf. Ζεὺς ἄμπαλον μέλλεν θέμεν O. 7. 61. Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι O. 8. 32. "καὶ μέλλεις ὑπὲρ πόντου Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι" P. 9. 52. **β.** c. pres. inf. ἄνδρα — ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν O. 8. 64.

μέλος] (-ος, -ει, -ος; -έων, -εσσιν, -η.) **a.** *limb* μαχαίρᾳ τάμον κατὰ μέλη (sc. Πέλοπα) O. 1. 49. πολιῷ χαλκῷ μέλη τετρωμένοι P. 3. 48. ἀγχομένοις δὲ χρόνος ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων of serpents N. 1. 47. θνατὰ μεμνάσθω περιστέλλων μέλη N. 11. 15. μελέων ἄπο ποικίλον [σπά]ργανον ἔρριψεν (sc. Ἡρακλέης) Πα. 20. 11. εὕδει δὲ πρασσόντων μελέων sc. the soul fr. 131b. 3. **b.** **α.** *song* ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν O. 2. 47. τὸ μὲν Ἀρχιλόχου μέλος, φωνᾶεν Ὀλυμπίᾳ O. 9. 1. [σεμνόν τ' ἐπίνειμαι ἀκρωτήριον Ἄλιδος τοιοῖσδε μέλεσσιν (v. l. βέλεσσιν) O. 9. 8.] γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπιλέλαθ' O. 10. 3. χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων O. 10. 84. τόδε — φέρων μέλος ἔρχομαι P. 2. 4. τόδε μὲν — μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται P. 2. 68. (Ἀρκεσίλαν) ἔχοντα Πυθωνόθεν τὸ καλλίνικον λυτήριον δαπανᾶν μέλος χαρίεν P. 5. 107. ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος N. 1. 7. θαμά κε, τῷδε μέλει κλιθείς, ὕμνον κελάδησε καλλίνικον N. 4. 15. ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον Οἰνώνᾳ N. 4. 45. δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν I. 6. 2. ἀνδ]ρὶ σοφῷ παρέχει μέλος[Πα. 18. 3. ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς fr. 75. 18. [μέλος (μέλι Wil. e Σ.) fr. 97.] καμπύλον μέλος διώκων hyporchema *fr. 107a. 3.* τροχὸν μέλος fr. 177c.]σ' ἀγλαὸν μέλος [παρ]θενηίας ὀπὸς εὐηρ[ατ ?fr. 333a. 13. **β.** *music*, of flutes. παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος P. 12. 19. (δελφίς) τὸν μὲν — αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος fr. 140b. 17. **γ.** met. μαθὼν δέ τις ἀνερεῖ, εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων *go out of tune* N. 7. 69.

μέλπομαι] *celebrate with song* Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι P. 3. 78. χρυσαμπύκων μελπομενᾶν ἐν ὄρει Μοισᾶν P. 3. 90. ἔσταν δ' ἐπ' αὐλείαις θύραις ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος N. 1. 20. Λατοίδαν θαμινὰ Δελφῶν κόραι χθονὸς ὀμφαλὸν παρὰ σκιάεντα μελπόμεναι Πα. 6. 17. γόνον ὑπάτων μὲν πατέρων μελπόμενοι γυναικῶν τε Καδμειᾶν (Hermann: μέλπομεν. codd.) fr. 75. 11.

μέλω] (μέλει; -ων; -ειν: pf. ?μ]έμαλεν, ?μεμᾶλότας.) *be of concern to* c. dat. μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης O. 10. 14. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν I. 8. 15. μ]έμαλεν πατρὸς νόῳ (hyperdorismum vid. Lobel: μ]έμηλεν Snell: sc. τοιαῦτα, simm.: cf. O. 1. 89.) Δ. 4. 35. τί ἔρδων φίλος σοί τε, καρτερόβρεντα Κρονίδα, φίλος δὲ Μοίσαις Εὐθυμίᾳ τε μέλων εἴην; (*be dear to* cf. μελησίμβροτος) fr. 155. 3. [ἀρεταῖσι μεμαλότας

υἱούς (byz.: μεμαότας codd.: cf. Δ. 4. 35, Forssman, 69ff.) O. 1. 89.]

μεμαώς] *eager* τέκε λαγέτας ἐξ ἀρεταῖσι μεμᾱότας υἱούς (μεμᾰλότας byz., i. e. pf. of μέλω, cf. Δ. 4. 35, Forssman, 65ff.) O. 1. 89. τέκνοισιν ὠκείας γνάθους ἀμφελίξασθαι μεμᾰῶτες (sc. δράκοντες) N. 1. 43.

Μέμνων] son of Tithonos and Eos, king of the Ethiopians, killed by Achilles at Troy. ἐναρίμβροτον ἀναμείναις στράταρχον Αἰθιόπων Μέμνονα (sc. Ἀντίλοχος, killed by Memnon while defending his father) P. 6. 32. ἐν φρασὶ πάξαιθ' (sc. Ἀχιλλεύς) ὅπως σφίσι μὴ κοίρανος ὀπίσω πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι since Tithonos and Priam were brothers N. 3. 63. καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλτο (sc. ὄνυμ' Αἰακιδᾶν) N. 6. 50. τίνες Ἕκτορα πέφνον, καὶ στράταρχον Αἰθιόπων ἄφοβον Μέμνονα χαλκοάραν; I. 5. 41. Τροίας ἶνας ἐκταμὼν δορὶ — Μέμνονός τε βίαν ὑπέρθυμον Ἕκτορά τ' ἄλλους τ' ἀριστέας I. 8. 54.

μεμπτός] *contemptible* οὔτε τι μεμπτὸν οὔτ' ὦν μεταλλακτόν (sc. τῶν ἐπὶ ταῖς τραπέζαις) fr. 220. 1.

μέμφομαι] (μέμφομ(αι); μεμφομένοις: fut. μέμψεται: aor. pass. pro med., ἐμέμφθη.) *censure* c. acc. τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ ὄλβῳ τεθαλότα, μέμφομ' αἶσαν τυραννίδων P. 11. 53. λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν ἀντίον *against those that criticize him* N. 1. 24. ἐὼν δ' ἐγγὺς οὐ μέμψεταί μ' ἀνὴρ Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων N. 7. 64. οὐκ ἐμέμφθη ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός *had cause to thank* Fennel. I. 2. 20.

μέν] 1. where μέν is merely an emphatic particle, and is not balanced by δέ or another particle. a. emphasising a demonstrative, not in nom., which refers back to a word in (esp. subject of) a preceding sentence. ὁ δ' αὐτῷ πὰρ ποδὶ σχεδὸν φάνη· τῷ μὲν εἶπε O. 1. 75. οὐδ' ἀκράντοις ἐφάψατο ἔπεσι· τὸν μὲν ἀγάλλων θεὸς ἔδωκεν O. 1. 86. μαντεύσατο δ' ἐς θεὸν ἐλθών. τῷ μὲν ὁ Χρυσοκόμας — εἶπε O. 7. 32. Γλαῦκον — τρόμεον Δαναοί. τοῖσι μὲν ἐξεύχετ' O. 13. 60. (ὅρος) τοῦ μὲν ἐπωνυμίαν κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν γείτονα P. 1. 30. πατήρ. τῷ μὲν — εἰ κατέβαν ὑγίειαν ἄγων P. 3. 72. δεσπόταν· τὸν μὲν — Φοῖβος ἀμνάσει P. 4. 53. ὣς φάτο· τὸν μὲν — ἔγνον ὀφθαλμοὶ πατρός P. 4. 120. (δοιοὶ δ' ὑψιχαῖται ἀνέρες). τῶν μὲν κλέος P. 4. 174. Κυράναν· ἁ μὲν οὔθ' ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδούς P. 9. 18. γαμβρὸς Ἥρας. τῷ μὲν — δαῖτα πορσύνοντες ἀστοὶ I. 4. 61. (Αἰακὸν) τοῦ μὲν ἀντίθεοι ἀρίστευον υἱέες I. 8. 24. (Ἀχιλεύς) τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ †ἔλιπον I. 8. 56. (καὶ κεῖνος) τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ πατραδελφεοῦ I. 8. 65. Ὕλλου τε καὶ Αἰγιμιοῦ —· τῶν (Hermann: τὰ cod.) μὲν ὑπὸ στάθμᾳ νέμονται I. 9. 4. cf. fr. 140b. 16. b. emphasising adv., esp. temporal. νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων O. 8. 65. μελέων, τὰ παρ' εὐκλέι Δίρκᾳ χρόνῳ μὲν φάνεν O. 10. 85. σάμερον μὲν χρή P. 4. 1. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν N. 5. 25. ὃς τότε μὲν βασιλεύων κεῖθι N. 9. 11. (Διόσκουροι) μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι N. 10. 54. adv. phrase, "τὸ μὲν ἐμόν, Πηλέι γέρας θεόμορον ὀπάσσαι γάμου Αἰακίδᾳ" I. 8. 38. c. emphasising verb. ἐπέγνω μὲν Κυράνα P. 4. 279. d. where the balancing thought is, α. suppressed. παῖδας, ὧν εἷς μὲν Κάμιρον πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τε O. 7. 73. τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι (v. also μέν — τε) P. 11. 46. ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις, παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα N. 3. 43. πρῶτον μὲν fr. 30. 1. β. not expressed in coordinated clause. ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων, διχόμηνις — ἀντέφλεξε Μήνα O. 3. 19. τοὺς μὲν ὦν P. 3. 47. τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω P. 3. 83. e. contrasting with what precedes,

ὅτε] 1. *when, at the time when* a. c. impf. ind. ὅτε — λάχναι νιν μέλαν γένειον ἔρεφον, ἑτοῖμον ἀνεφρόντισεν γάμον O. 1. 67. φαντὶ δ' — οὔπω, ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι, φανερὰν ἐν πελάγει 'Ρόδον ἔμμεν O. 7. 55. ἔσσατο ἄνακτι βωμὸν — ὅτε Λαομέδοντι πεπρωμένοι' ἤρχετο μόροιο κάρυξ fr. 140a. 66 (40). b. c. aor. ind. νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν, ὅτε παρ' 'Αλφεῷ σύτο O. 1. 20. ἔστα σὺν 'Αχιλλεῖ μόνος, ὅτ' — πρύμναις Τήλεφος ἔμβαλεν O. 9. 72. ἦλθον τιμάορος 'Ισθμίαισι Λαμπρομάχου μίτραις, ὅτ' ἀμφότεροι κράτησαν O. 9. 84. οὐχ ὑπέμεινεν ὄλβον, μαινομέναις φρασὶν Ἥρας ὅτ' ἐράσσατο P. 2. 27. ἀλλ' ὅτ' Αἰήτας — ἄροτρον σκίμψατο P. 4. 224. ἢ ὅτε καρτερᾶς Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας I. 7. 10. ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί, Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδὰν γάμῳ I. 8. 27. c. ἔστιν ὅτε. ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα χρῆσις O. 11. 1. ἦν ὅτε σύας Βοιώτιον ἔθνος ἔνεπον fr. 83. ἔσθ' ὅτε πιστόταται σιγᾶς ὁδοί fr. 180. 2. d. fragg.]ὅτ' ἦσαν[fr. 111a. 3.]οιδ' ὅτ' ἐστρα[τευ fr. 111a. 6.
2. ὡς ὅτε, in comparisons, *like* a. without verb. χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας ὡς ὅτε θαητὸν μέγαρον πάξομεν O. 6. 2. ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν ὡς ὅτ' ἄκατον ἐνναλίαν; P. 11. 40. ἀνδροδάμαντ' 'Εριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν, δόντες N. 9. 16. θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν I. 6. 1. b. dub., followed by verb. αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ᾄσσει (Boeckh: ἀίσσει codd.: locus suspicionem multis metri, sensus causa movit, unde Fel. Vogt lacunam pro ᾄσσει statuit) N. 8. 40.

ὅτῐ] a. causal conj., *because* c. ind. ἔχει δ' ἀπάλαμον βίον —, ἀθανάτους ὅτι κλέψαις ἁλίκεσσι συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν O. 1. 60. κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν, ὅτι πλείσταισι — αὐτοὺς ἐποίχονται τραπέζαις O. 3. 40. καλέσαντο συνεργὸν τείχεος, ἦν ὅτι νιν πεπρωμένον O. 8. 33. δάμασε καὶ κείνους —, ὅτι πρόσθε ποτὲ Τιρύνθιον ἔπερσαν αὐτῷ στρατόν O. 10. 31. αἱ δύο δ' ἀμπλακίαι φερέπονοι τελέθοντι· τὸ μὲν ἥρως ὅτι — ἐπέμειξε —, ὅτι τε — ἐπειρᾶτο (ὅτι Hermann: ὅτι τ' codd.) P. 2. 31. ὁ δὲ 'Ραδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν ἔλαχε καρπὸν ἀμώμητον P. 2. 73. τὸ μέν, ὅτι βασιλεὺς ἐσσί — μάκαρ δὲ καὶ νῦν, — ὅτι εὖχος — ἑλὼν δέδεξαι τόνδε κῶμον ἀνέρων P. 5. 15—20. ῥαίνω δὲ καὶ ὕμνῳ, γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν ὑπάντασεν

P. 8. 58. ἀδελφεοῖσί τ' ἐπαινήσομεν ἐσλοῖς, ὅτι ὑψοῦ φέροντι νόμον Θεσσαλῶν αὔξοντες P. 10. 69. χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις N. 5. 46. μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες, μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν I. 2. 43. ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος, ὅτι τερπνὸν ἐφάμερον διώκων ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον αἰῶνα I. 7. 40. καὶ Νεμέᾳ ἀέθλων ὅτι κράτος ἐξεῦρε I. 8. 5. ἀλλὰ παρθένοι γάρ, ἴσθ' ὅτ[ι], Μοῖσαι, πάντα, — τοῦτον ἔσχετε τεθμόν, κλῦτε νῦν (supp. Jurenka) Πα. 6. 54. γέ[ρον]θ' ὅ[τι] Πρίαμον πρὸς ἑρκεῖον ἥναρε βωμὸν ἐπενθορόντα (supp. Turyn) Πα. 6. 113. ἔκρυψαν τὸ πάντων ἔργων ἱερώτ[ατον], γλυκείας ὀπὸς ἀγασθέντες ὅτι ξένοι ἔφθινον Πα. 8. 76. **b.** introducing indir. statement, *that* c. ind. ἔννεπε κρυφᾷ τις — ὕδατος ὅτι τε πυρὶ ζέοισαν εἰς ἀκμὰν μαχαίρᾳ τάμον κατὰ μέλη τραπέζαισί τ' — διεδάσαντο καὶ φάγον O. 1. 48. εἰ δέ — τις οἶδεν τὸ μέλλον, ὅτι θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες ποινὰς ἔτεισαν τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ ἀλιτρὰ κατὰ γᾶς δικάζει τις O. 2. 57. ὄφρ' — υἱὸν εἴπῃς ὅτι οἱ νέαν — ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν O. 14. 22. εὖ οἶδ' ὅτι Χρόνος ἕρπων πεπρωμέναν τελέσει N. 4. 43. στεῖχ' ἀπ' Αἰγίνας διαγγέλλοισ' ὅτι Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον N. 5. 3. μνάσθηθ' ὅτι τοι — ἔσσατο ἄνακτι βωμὸν fr. 140. 62 (36). **c.** frag., dub.]ἔμαθον δ' ὅτι μοῖραν[Πα. 13. c. 5. [ὅτι πεδαθέντα (codd.: ὅτι del. Hermann) Θρ. 3. 10.]

ὀτρύνω] (ὀτ'ρύνει; ὀτ'ρύνων: impf. ὤτρυνον: aor. ὄτρυνον.) **a.** *rouse* met., c. acc. ἀρχαῖον ὀτρύνων λόγον, ὡς N. 1. 34. **b.** *urge, prompt* **α.** c. acc. & inf. ἐμὲ δ' ὦν πᾳ θυμὸς ὀτ'ρύνει φάμεν O. 3. 38. ὄτρυνον νῦν ἑταίρους, Αἰνέα, πρῶτον μὲν — κελαδῆσαι O. 6. 87. "καὶ ὡς τάχος ὀτ'ρύνει με τεύχειν ναὶ πομπάν" P. 4. 164. ἅρμα δ' ὀτ'ρύνει Χρομίου Νεμέα τ' ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος N. 1. 7. **β.** c. dat. & inf. "ἦ μάν νιν ὤτρυνον θαμὰ λυσιπόνοις θεραπόντεσσιν φυλάξαι" (byz.: ὄτρυνον codd.) P. 4. 41. **γ.** c. acc. ἀγὼν τοι χάλκεος δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας N. 10. 23.

οὐ] (οὔ O. 7. 48: κοὐ P. 4. 151.)

1. negatives vb., sent. **a.** οὐκ ἐδυνάσθη O. 1. 56. ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος O. 3. 23. οὔ μιν διώξω O. 3. 45. οὐ ψεύδει τέγξω λόγον O. 4. 17. ἀλλά μιν οὐκ εἴασεν O. 7. 61. κατακρύπτει δ' οὐ κόνις συγγόνων κεδνὰν χάριν O. 8. 79. θάνατον αἰπὺν οὐκ ἐξέφυγεν O. 10. 42. Νέμεά τ' οὐκ ἀντιξοεῖ O. 13. 34. σαφὲς οὐκ ἂν εἰδείην λέγειν O. 13. 46. οὐ ψεύσομ' O. 13. 52. οὐ χρή O. 13. 94. οὐ φθίνει P. 1. 94. οὔ οἱ μετέχω θράσεος P. 2. 83. οὐκ ἔμειν' P. 3. 16. οὐχ ἅπτεται P. 3. 29. τὰ μὲν ὦν οὐ δύνανται P. 3. 82. οὐκ ἐς μακρὸν — ἔρχεται P. 3. 105. τὸν μὲν οὐ γίνωσκον P. 4. 86. "οὐ πρέπει" P. 4. 147. οὐκ ἐόλει P. 4. 233. οὐκ ἀπέριψεν P. 6. 37. τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται P. 8. 76. τί δέ τις; τί δ' οὔ τις; P. 8. 95. "οὐ κεχείμανται" P. 9. 32. οὐκ ἀποδαμεῖ P. 10. 37. οὐ φαίνεται P. 12. 29. οὐκ ἔραμαι N. 1. 31. οὐκ ἐλεγχέεσσιν — ἐμίανε N. 3. 15. τῶν οὐκ ἄπεσσι N. 3. 76. Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν N. 4. 69. οὐ νέοντ' N. 4. 77. οὐκ ἀνδριαντοποιός εἰμ' N. 5. 1. οὐ σπανίζει N. 6. 31. οὔ κεν — ἔπαξε N. 7. 25. οὐκ ἔχω εἰπεῖν N. 7. 56. οὐκ ἀποβλάπτει N. 7. 60. οὐ μέμψεται N. 7. 64. χειρόνεσσι δ' οὐκ ἐρίζει N. 8. 22. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν N. 8. 45. οὐκ ἔστι πρόσωθεν (Boehmer: οὐκέτι πόρσω, οὐκ ἔστι πρόσω codd.) N. 9. 47. οὐ θαῦμα σφίσιν ἐγγενὲς ἔμμεν N. 10. 50. οὐ γνώμᾳ διπλόαν θέτο βουλάν N. 10. 89. οὐχ ἕπεται N. 11. 43. οὐ φράζεται I. 1. 68. οὐκ ἐμέμφθη I. 2. 20. οὐ κατελέγχει I. 3. 14. οὐ φείσατο I. 6. 33. γλῶσσα δ' οὐκ ἔξω φρενῶν I. 6. 72. ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν

πραπίδες I. 8. 30. οὐ κατέφθινε I. 8. 46. οὐ κατελέγχει I. 8. 65. οὐ ψεῦδος ἐρίξω fr. 11. οὐκ ἤθελεν Πα. 4. 28. οὐ τόλμα Πα. 6. 94. οὔ κεν ἐς ἀπλακ[Πα. 18. 6. ο]ὐκ ἐννέπει (supp. Snell) fr. 60. b. 15. οὐ λανθάνει fr. 75. 13. οὐ πέπαται fr. 105b. 2.]κράνας ο[ὐ π]ρολείπει[(supp. Lobel) Θρ. 4. 18. οὐκ ἔστιν fr. 134. οὐ φίλων ἐναντίον ἐλθεῖν (καί, καὶ οὐδὲ vv. ll.) fr. 229. οὐκ ἔλιπον fr. 236. b. οὐκ — ἀλλά (v. also ἀλλά). οὐ χθόνα ταράσσοντες — ἀλλὰ O. 2. 63. οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις O. 8. 45. οὐχ ὑπέμεινεν ὄλβον — ἀλλὰ P. 2. 26. "κού με πονεῖ — ἀλλά" P. 4. 151. ὃς οὐ — ἀλλ' P. 5. 27. P. 5. 76, I. 1. 26, I. 4. 49. οὕνεκεν οὔ σε παιηόνων ἄδορπον εὐνάξομεν, ἀλλ' — κατερεῖς Πα. 6. 127. c. οὐ γάρ. οὐ γὰρ ἦν πενταέθλιον, ἀλλ' I. 1. 26. οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν, ἀλλ' I. 4. 49. οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει fr. 61. 3. οὐ γὰρ εικ[P. Oxy. 2442, fr. 68. d. οὐ — γε, qualifying subord. cl. πόρθησε — τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ, οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ — ἕλεν N. 4. 28.

2. combined with other neg. οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ οὐδὲ πόντιον ὕδωρ O. 2. 63. κλέπτει τέ μιν οὐ θεὸς οὐ βροτὸς P. 3. 30. αἰὼν δ' ἀσφαλὴς οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ οὔτε παρ' ἀντιθέῳ Κάδμῳ P. 3. 87. "οὔ τι — οὐδὲ μὰν" P. 4. 87. πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται P. 5. 54. οὔ μιν ἄλυξεν, οὐδὲ μὰν βασιλεὺς Γιγάντων P. 8. 16. Οὐλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις, οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ P. 8. 37. ἄνευ σέθεν οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν τεὰν ἀδελφεὰν ἐλάχομεν N. 7. 3. ἀλλ' οὔ νιν φλάσαν οὐδ' ἀνέχασσαν N. 10. 68. ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι, δένδρεά τ' οὐκ ἐθέλει — ἄνθος εὐῶδες φέρειν N. 11. 40. ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις I. 2. 6. οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος γίνεται I. 2. 33. πόλις, ἅτις οὐ Πηλέος ἀίει κλέος ἥρωος — οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα καὶ πατρός I. 6. 25. τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες I. 9. 5. οὐ πενθέων δ' ἔλαχον, ⟨οὐ⟩ στασίων (supp. et add. e Plutarcho et Σ pap. Blass) Πα. 4. 53. κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει fr. 222. 2. τὸ πεπρωμένον οὐ πῦρ οὐ σιδάρεον σχήσει τεῖχος fr. 232. στῆναι μὲν οὐ θέμις οὐδὲ παύσασθαι φορᾶς ?fr. 358.

3. a. c. part. κόρος οὐ δίκᾳ συναντόμενος O. 2. 96. ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων ἐξένεπε O. 8. 19. ἀνορέας δ' οὐκ ἀμπλακὼν O. 8. 67. βασιλεὺς — οὐ φθονέων ἀγαθοῖς P. 3. 71. οὐκ ἐρίζων P. 4. 285. οὐκ ἀτιμάσαντα P. 9. 80. οὐ λαθὼν χρυσόθρονον Ἥραν N. 1. 37. καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμε πότμος ἄντιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν N. 6. 6. ἐπεί τοι οὐκ ἐλινύσοντας αὐτοὺς ἐργασάμαν I. 2. 46. οὐκ ἐθέλο[Πα. 7B. 43. οὐκ ἰδυῖα fr. 182. καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ O. 7. 48. b. c. adj. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει O. 1. 81. χόλον οὐ φατὸν O. 6. 37. οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον O. 7. 86. οὐ σκαιότερον χρῆμ' ἕκαστον O. 9. 104. μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει μελέτα O. 9. 106. χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος P. 1. 59. χόλος δ' οὐκ ἀλίθιος γίνεται παίδων Διός P. 3. 11. οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος P. 4. 5. "οὐ ξείναν — γαῖαν ἄλλων" P. 4. 118. "σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν" P. 9. 42. λαχόντες οὐκ ὀλίγαν δόσιν P. 10. 20. ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον P. 11. 29. τὸ δὲ μόρσιμον οὐ παρφυκτόν P. 12. 30. θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατοι δόμοι ἐντὶ N. 1. 23. οὐκ ἀέκοντες ἄνθεσι μείγνυον N. 4. 21. πέφανται οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας N. 6. 14. ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα N. 7. 5. οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ N. 7. 49. οὐ τραχύς εἰμι N. 7. 76. οὐ δυνατὸν ἐξελέγχειν N. 10. 45. ἀνία τ'

ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ' I. 1. 15. οὐκ ἄγνωτ' ἀείδω I. 2. 12. οὐκ ἀγνῶτες I. 2. 30. ἄγει τ' ἀρετὰν οὐκ αἴσχιον φυᾶς I. 7. 22. ἔτλαν δὲ πένθος οὐ φατόν I. 7. 37. ἥβαν γὰρ οὐκ ἄπειρον I. 8. 70. ο]ὐκ αἰσχρὸν πάθοις[Πα. 13. b. 6.]τον οὐ ῥητ[ὸ]ν[Πα. 17. a. 4. ἐχθρὰν ἔριν οὐ παλίγγλωσσον, ἀλλὰ Παρθ. 2. 63. "⟨οὐ⟩ πολλὸς ἐν καιρῷ χρόνος" (οὐ add. Coraes: παῦρος pro πολλὸς coni. Schr.) fr. 168. 6. στρατὸς οὐκ ἀέκ[ων (supp. Lobel) fr. 169. 52. οὐκ ἄναλκις, ὡς τόσον ἀγῶνα δῦναι ?fr. 342.

4. c. subs. πολλῶν ἐπέβαν καιρὸν οὐ ψεύδει βαλών N. 1. 18. θεράπων δέ οἱ, οὐ δράστας ὀπαδεῖ P. 4. 287. ἐν ἔργμασιν δὲ νικᾷ τύχα, οὐ σθένος fr. 38.

5. c. adv. a. ὅπιθεν οὐ πολλὸν O. 10. 86. οὐχ ὁμῶς I. 3. 6. b. οὔ ποτε. ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ P. 10. 27. οὔ ποτ' ἀτρεκεῖ κατέβα ποδί N. 8. 41. τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ N. 7. 102. c. οὐκ ἔτι (cf. οὐκέτι) ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ N. 9. 14.

6. c. prep., in meiosis. οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' O. 8. 45. ἅς οὐκ ἄτερ P. 2. 7. οὐκ ἄτερ τέχνας P. 2. 32. "οὐ κατ' αἶσαν" P. 4. 107. οὐ θεῶν ἄτερ, ἀλλὰ P. 5. 76. οὐ Χαρίτων ἑκάς P. 8. 21. αἰσιᾶν οὐ κατ' ὀρνίχων ὁδόν N. 9. 19. οὐκ ἄτερ Αἰακιδᾶν I. 5. 20. οὐ πὰρ σκοπόν fr. 6a. g.

7. c. inf. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν P. 2. 88.

8. a. οὔπω, v. πω. b. οὔτοι, οὔ τοι. οὔτοι χαμαιπετέων λόγων ἐφάψεαι O. 9. 12. οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκές N. 5. 16. οὔτοι τετύφλωται μακρὸς μόχθος ἀνδρῶν, οὐδ' ὁπόσαι δαπάναι †ἐλπίδων ἔκνιξ' ὄπιν† I. 5. 58. οὔτοι με ξένον οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι fr. 198a. c. οὔ τις, (cf. οὔτις) πεῖρας οὔ τι θανάτου O. 2. 31, cf. O. 12. 7. πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσσεται P. 5. 54. ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία ⟨πλεόνων⟩ ταμίαν στεφάνων N. 6. 25. cf. τί δ' οὔ τις; P. 8. 95. d. οὔ τί που. "οὔ τί που οὗτος 'Απόλλων, οὐδὲ μὰν" P. 4. 87.

9. frag. οὐκ ἂν παρ[Θρ. 2. 3.

οὐδέ] 1. following affirmative sent., cl. a. *and . . . not* ὡς δ' ἄφαντος — ἔπελες, οὐδὲ — φῶτες ἄγαγον O. 1. 46. ὣς ἔννεπεν, οὐδ' ἀκράντοις ἐφάψατο ἔπεσι O. 1. 86. περὶ θνατῶν δ' ἔσσεσθαι μάντιν — ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν O. 6. 51. ἤρειδεν δέ μιν — Φοῖβος, οὐδ' 'Αίδας ἀκινήταν ἔχε ῥάβδον O. 9. 33. οὐδέ μιν φόρμιγγες — δέκονται P. 1. 97. φρενῶν ἔλαχε καρπὸν ἀμώμητον, οὐδ' ἀπάταισι θυμὸν τέρπεται P. 2. 74. οὐδ' ἀπίθησέ νιν, ἀλλ' P. 4. 36. οὐδὲ κομᾶν πλόκαμοι — ᾤχοντ' ἀγλαοί, ἀλλ' P. 4. 82. οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες N. 3. 30. οὐδέ μίν ποτε φόβος ἀνδροδάμας ἔπαυσεν ἀκμὰν φρενῶν N. 3. 39. οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει γυῖα N. 4. 4. σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον οὐδ' ὑπὸ κέρδει βλάβεν N. 7. 18. οὐδ' 'Υπερμήστρα παρεπλάγχθη N. 10. 6. οὐδ' ἀμόχθῳ καρδίᾳ προσφέρων τόλμαν παραιτεῖται χάριν N. 10. 30. οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον καμπύλον δίφρον I. 4. 28. οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις, ἅτις οὐ Πηλέος ἀίει κλέος I. 6. 24. b. adversative, *but — not* οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα θεοῖο γόνον O. 6. 36. οὐδ' ἔλαθε σκοπόν P. 3. 27. οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν I. 2. 39.

2. following a neg. sent., phrase, *nor* a. κέκριται πεῖρας οὔ τι θανάτου, οὐδ' — ὁπότε O. 2. 32. οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ οὐδὲ πόντιον ὕδωρ — ἀλλὰ O. 2. 64. οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων P. 3. 17. "οὔ τί που οὗτος 'Απόλλων οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις 'Αφροδίτας" P. 4. 87. "οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν οὐδ' ἀκόντεσσιν — τιμὰν δάσασθαι"

P. 4. 148. οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς οὐδὲ μακύνων τέλος οὐδέν P. 4. 286. οὔ μιν ἄλυξεν, οὐδὲ μὰν βασιλεὺς Γιγάντων P. 8. 17. καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμε πότμος ἄντιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν N. 6. 6. αἰσιᾶν οὐ κατ' ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν' N. 9. 19. ἀλλ' οὔ νιν φλάσαν οὐδ' ἀνέχασσαν N. 10. 69. οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις· οὐδ' ἐπέρναντο γλυκεῖαι — μαλθακόφωνοι ἀοιδαί I. 2. 6—7. οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος γίνεται I. 2. 33. οὔτοι τετύφλωται μακρὸς μόχθος ἀνδρῶν οὐδ' ὁπόσαι δαπάναι †ἐλπίδων ἔκνιξ' ὄπιν† I. 5. 57. κεῖνον οὐ σῆς οὐδὲ κὶς δάπτει (v. l. οὐ κὶς) fr. 222. 2. στῆναι μὲν οὐ θέμις οὐδὲ παύσασθαι φορᾶς ?fr. 358. irregularly coordinated, ἅτις οὐ Πηλέος ἀίει κλέος — οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα καὶ πατρός I. 6. 26. b. οὔτε — οὐδέ. τοῖς οὔτε νόστος ὁμῶς ἔπαλπνος ἐν Πυθιάδι κρίθη, οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν P. 8. 85. c. τε — οὐ — οὐδέ. Οὐλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις, οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον P. 8. 37. d. οὐδὲ — οὐδέ. ἐξίκετ' οὐδ' ἀνέμους ἐ[λ]α[θ]εν οὐδὲ τὸν εὐρυφαρέτραν ἑκαβόλον Πα. 6. 110. οὐδὲ πελέκεις οὐδὲ Σειρήν ("[οὐ]-οὐδὲ — οὐδὲ to be presumed, Zuntz, C. R., 1935, 5) ?fr. 339. e. οὔτοι — οὐδέ. οὔτοι με ξένον οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι fr. 198a. f. fragg.]γονουτουν ἀμπελ[—]ιατων οὐδ' Ἀχελωιο[(οὔτ' ὦν — οὐδὲ vid. Lobel) Πα. 13. c. 11. ἀνδροφθόρον, οὐδὲ σιγᾷ κατερρύη fr. 177b.]αιων οὐδέ μ[ιν fr. 51 f. c. 5.

3. *not . . . even* οὐδ' ἂν χρόνος — δύναιτο θέμεν O. 2. 16. οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας (Schneidewin: οὔτε codd.) O. 14. 8. ἀλλ' οὐδὲ ταῦτα νόον ἰαίνει φθονερῶν P. 2. 89. τὰν οὐδὲ Πορφυρίων μάθεν P. 8. 12. τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ †ἔλιπον (Boeckh: οὔτε codd.) I. 8. 56.

οὐδείς] (οὐδέν nom., acc.) *no, nothing* τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν O. 8. 53. οὐδὲ μακύνων τέλος οὐδέν P. 4. 286. κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν P. 5. 34. pro subs., οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον P. 10. 49. διείργει δὲ πᾶσα κεκριμένα δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός N. 6. 3. ὀλοφύ⟨ρομαι οὐ⟩δέν, ὅ τι πάντων μέτα πείσομαι (supp. Housman) Πα. 9. 21.]δ' οὐδὲν προσαιτέων fr. 177f. πιστὸν δ' ἀπίστοις οὐδέν fr. 233.

οὐκέτι] *no longer* v. οὐ 5. c. "οὐκέτι τλάσομαι" P. 3. 40. ἔλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον P. 4. 243. οὐκέτι πρόσω ἀβάταν ἅλα κιόνων ὕπερ Ἡρακλέος περᾶν εὐμαρές N. 3. 20.]οὐκέτ' αὐτα[Δ. 4 b. 6.

Οὐλίας] father of Theaios of Argos (v. Wil., Kl. Schr. IV. 156) Οὐλία παῖς — Θεαῖος (ἀλία, ἀλίου vv. ll.) N. 10. 24.

οὔλιος] *deadly* οὐλίῳ — ἐν Ἄρει O. 9. 76. νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν O. 13. 23. θρασειᾶν Γοργόνων οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα P. 12. 8.

οὐλόμενος] *wretched* οὐλομέναν νοῦσον P. 4. 293. γῆρας οὐλόμενον P. 10. 41. στάσιν οὐλομέναν Πα. 9. 15.

Οὐλυμπ-] v. Ὀλυμπ-.

[οὖν, v. ὦν.]

οὕνεκα] (i. e. οὗ ἕνεκα.) causal conj., *because* c. ind. ἀείδων ἔμολον, οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια σεῦ ἕκατι O. 14. 19. ὕμνον κελάδησε καλλίνικον — οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον N. 4. 20. χρὴ δ' — Αἰγίνᾳ Χαρίτων ἄωτον προνέμειν πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων ὁπλόταται I. 8. 17.

οὕνεκεν] (i. e. οὗ ἕνεκεν.) a. introducing indir. statement, c. ind. Χρομίῳ κεν ὑπασπίζων — ἔκρινας, ἂν κίνδυνον ὀξείας ἀυτᾶς, οὕνεκεν ἐν πολέμῳ κεῖνα θεὸς ἔντυεν (?causal) N. 9. 36. [εἶπε δ' εὔβου-

λος ἐν μέσοισι Θέμις οὕνεκεν πεπρωμένον ἦν (Donaldson: εἵνεκεν cod.) I. 8. 32.] b. causal conj., c. ind., *because* ἦ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ ἔστασας ἐπὶ σφυρῷ Λακεδαιμονίων; (sc. θυμὸν τεὸν εὔφρανας: οὕνεκ' codd., corr. Thiersch) I. 7. 12. c. (= τοὔνεκα O. 1. 65.) *wherefore* οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν ξυνῷ πεπoναμένον εὖ μὴ — κρυπτέτω P. 9. 93. οὕνεκεν οὔ σε παιηόνων ἄδορπον εὐνάξομεν Πα. 6. 127.

οὔπω] *not . . . yet* φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσεις οὔπω — ἐν πελάγει 'Ρόδον ἔμμεν O. 7. 55. ἀντεβόλησεν τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον O. 13. 31. ἀλλ' ἔσται χρόνος οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω P. 12. 32. οὔπω γένυσι φαίνων τερείνας ματέρ' οἰνάνθας ὀπώραν N. 5. 6. καί μιν οὔπω τεθναότ' N. 10. 74.

Οὐρᾰνίδας] *child of Ouranos* Οὐρανίδα — Κρόνου P. 3. 4. pl., of the gods, πατέρ' Οὐρανιδᾶν — Ζῆνα P. 4. 194. οἷαν Βρομίου [τελε]τὰν καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Οὐρανίδαι ἐν μεγάροις ἵσταντι Δ. 2. 7. [Οὐρανίδα — Κρόνου (Mommsen e Σ: Οὐρανιᾶν codd.) P. 2. 38.]

οὐρᾰ́νιος] *celestial* οὐρανίων ὑδάτων O. 11. 2. κίων δ' οὐρανία συνέχει, νιφόεσσ' Αἴτνα P. 1. 19. ἀστέρος οὐρανίου P. 3. 75. οὐρανι[Πα. 21. 2. of gods, εὔβουλον Θέμιν οὐρανίαν fr. 30. 1. ματέρ' ἐρώτων οὐρανίαν — 'Αφροδίταν fr. 122. 4. pl. pro subs., of goddesses, ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιᾶν θυγατέρι Κρόνου (Οὐρανίδα e Σ Mommsen) P. 2. 38.

οὐρᾰνομάκης] *towering to heaven* οὐ]ρανομάκεα[(supp. Lobel) Πα. 17. a. 6.

οὐρᾰνός] (-ός, -οῦ, -ῷ, -όν.) *heaven* ἐν οὐρανῷ O. 14. 10. Ἄτλας οὐρανῷ προσπαλαίει P. 4. 289. ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ P. 10. 27. ἄρχε δ' οὐρανοῦ πολυνεφέλα κρέοντι, θύγατερ, δόκιμον ὕμνον (Didymus: οὐρανῷ v. l. Aristarchus; οὐρανῶ v. l. = gen. aeol., Σ; οὐρανώα v. l.) N. 3. 10. οὐρανοῦ βασιλῆες πόντου τ' N. 4. 67. κατένευσέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ Ζεύς N. 5. 34. ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός N. 6. 4. ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ N. 10. 58. οὐρανοῦ ἐν χρυσέοις δόμοισιν N. 10. 88. ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους I. 6. 41. ἔθελοντ' ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν Ζηνός I. 7. 45.]εν οὐρανῷ[Πα. 22. b. 8. πιτνάντες θοὰν κλίμακ' οὐρανὸν ἐς αἰπὺν fr. 162. τᾶς τε γᾶς ὑπένερθε — οὐρανοῦ θ' ὕπερ (sc. ἡ δὲ διάνοια πέτεται, Plato, Theaet., 173E) fr. 292. pro pers., Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ O. 7. 38. Οὐρανοῦ τ' εὐπέπλῳ θυγατρὶ Μναμοσύνᾳ Πα. 7B. 15.

οὖρος] (τό) v. ὄρος.

οὖρος] (ὁ) *guardian* 'Αχιλεύς, οὖρος Αἰακιδᾶν I. 8. 55.

οὖρος] (ὁ: -ος, -ου, -ον.) *breeze* ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις — πομπαῖον ἐλθεῖν οὖρον P. 1. 34. μεταβολαὶ λήξαντος οὔρου ἱστίων P. 4. 292. esp. met., Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον O. 13. 28. ὄφρα — Λατοΐδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων P. 4. 3. εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα, οὖρον ἐπέων εὐκλέα N. 6. 28. οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν I. 2. 40. ἄλλοτε δ' ἀλλοῖος οὖρος πάντας ἀνθρώπους ἐπαίσσων ἐλαύνει I. 4. 5.

οὔτε] a. οὔτε — οὔτε, *neither . . . nor.* α. ἀκίνδυνοι δ' ἀρεταὶ οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις τίμιαι O. 6. 10. οὔτε δύσηρις ἐὼν οὔτ' ὢν φιλόνικος ἄγαν O. 6. 19. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι οὔτ' ἰδεῖν εὔχοντο O. 6. 52. οὔτ' αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες O. 11. 20. [οὔτε γὰρ θεοὶ — κοιρανέοντι χοροὺς οὔτε δαῖτας (οὐδὲ γὰρ coni. Schneidewin) O. 14. 8.] γόνον — οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις P. 2. 43. οὔτε ἔργον οὔτ' ἔπος ἐντράπελον κείνοισιν εἰπὼν P. 4. 105. τὸν οὔτε χειμέριος ὄμβρος — οὔτ' ἄνεμος ἐς μυχοὺς ἁλὸς

ἄξοισι P. 6. 10. ἃ μὲν οὔθ' ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδούς, οὔτε δείπνων — τέρψιας P. 9. 18. "οὔτε παγκάρπων φυτῶν νάποινον οὔτ' ἀγνῶτα θηρῶν" P. 9. 58. ἀλλ' οὔτε ματέρ' ἔπειτα κεδνὰν εἶδεν οὔτε πατρωίαις ἐν ἀρούραις ἵππους Μυρμιδόνων Πα. 6. 105. οὔτε τι μεμπτὸν οὔτ' ὦν μεταλλακτόν fr. 220. 1. preceded by a purely emphatic neg., αἰὼν δ' ἀσφαλὴς οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ οὔτε παρ' ἀντιθέῳ Κάδμῳ P. 3. 87. καὶ γὰρ οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν, οὔτε μελικόμπων ἀοιδᾶν I. 2. 31—2. β. where the first οὔτε is suppressed. νόῳ δὲ πλοῦτον ἄγει, ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων P. 6. 48. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν κεν εὕροις — ὁδόν P. 10. 29. νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται ἱερᾷ γενεᾷ P. 10. 41. ἀνδρὸς δ' οὔτε γυναικὸς Παρθ. 2. 36. ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίνυεν δόμοις *fr. 104b. 4.* cf. O. 14. 9, P. 3. 30. b. οὐ — οὔτε. πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται P. 5. 54. κλέπτει τέ μιν οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς P. 3. 30. c. οὔτε — οὐδέ. τοῖς οὔτε νόστος ὁμῶς ἔπαλπνος ἐν Πυθιάδι κρίθη, οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν P. 8. 83. cf. τε — οὐ — οὐδέ P. 8. 36. d. οὐδέ — οὔτε. οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις ἅτις οὐ Πηλέος ἀίει κλέος I. 6. 24. οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας (Schneidewin: οὔτε codd.) O. 14. 9. e. οὔτε — τε οὐ — ἀλλά. ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι, δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον, ἀλλ' ἐναμείβοντι N. 11. 39—42. f. dub., frag. [τὸν μὲν οὔτε θανόντ' ἀοιδαὶ †ἔλιπον (οὐδὲ coni. Boeckh) I. 8. 56.] οὔτε θαλασσ[fr. 33a. οὔθ' ἱπ[π fr. 215. b. 12.

οὔτις] (v. οὐ 8. c.) *no one* ἀπέοντος δ' οὔτις ἔνδειξεν λάχος 'Αελίου O. 7. 58. εὑρίσκοντο — τιμάν, οἵαν οὔτις 'Ελλάνων δρέπει P. 1. 49. οὔτις ἑκὼν κακὸν εὕρετο fr. 226.

οὔτοι] v. οὐ 8. b.

οὗτος] (οὗτος, τούτῳ, τοῦτον, τούτων, τούτοις; ταύτας, ταύτᾳ, ταύταν, ταύταις; τοῦτ(ο) nom., acc., ταῦτα, τούτων, ταῦτ(α).)

1. a. *this, that I have just mentioned.* ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον O. 1. 59. ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος ὑποκείσεται O. 1. 84. ἔχων τοῦτο κᾶδος O. 1. 107. ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων Σωστράτου υἱός i. e. the character I have just outlined fits him O. 6. 8. κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἀγεμονεῦσαι ταύταν ἐπίστανται O. 6. 26. ᾤχετ' ἰὼν ταύτας περ' ἀτλάτου πάθας O. 6. 38. τὸ καὶ κατεφάμιξεν καλεῖσθαί μιν χρόνῳ σύμπαντι μάτηρ τοῦτ' ὄνυμ' ἀθάνατον O. 6. 57. ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον i. e. what I have just said O. 9. 36. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ O. 10. 51. ἀφθόνητος δ' αἶνος 'Ολυμπιονίκαις οὗτος ἄγκειται O. 11. 8. ὃς τοῦτ' ἐφέπεις ὄρος P. 1. 30. ὁ δὲ λόγος ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει P. 1. 36. ἔσχε τοι ταύταν μεγάλαν ἀυάταν καλλιπέπλου λῆμα Κορωνίδος P. 3. 24. ἐν τούτῳ λόγῳ P. 4. 59. παισὶ τούτοις ὄγδοον θάλλει μέρος 'Αρκεσίλας (τούτοι(ο) coni. Christ: τεοῖς Wil.: *these, your children* the adj. has no specific prior reference) P. 4. 65. "τούτων μὲν κεφάλαια λόγων ἴστε" P. 4. 116. "τοῦτον ἄεθλον ἑκὼν τέλεσον" P. 4. 165. σύνθεσιν ταύταν ἐπαινήσαντες P. 4. 168. μάλιστα μὲν Κρονίδαν — σέβεσθαι· ταύτας δὲ μή ποτε τιμᾶς ἀμείρειν γονέων βίον P. 6. 26. ἔγεντο καὶ πρότερον 'Αντίλοχος βιατὰς νόημα τοῦτο φέρων P. 6. 29. ἀλλ' ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων ἐρρύσατο P. 12. 18. ταύταν μεθέπων Διόθεν αἶσαν N. 6. 13. κράτησεν ἀπὸ ταύτας αἷμα πάτρας — Καλλίας (i. e. the Bassidai, v. 31) N. 6. 35. Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον χρόνον· ἀτὰρ γένος αἰεὶ φέρει

τοῦτό οἱ γέρας N. 7. 40. οὐκ ἔχω εἰπεῖν τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον ὤρεξε (i. e. εὐδαιμονίαν ἅπασαν) N. 7. 57. ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος N. 7. 63. δέδορκεν παιδὶ τοῦθ' Ἀγησιδάμου φέγγος ἐν ἀλικίᾳ πρώτᾳ (i. e. κλέος) N. 9. 42. Ζεῦ πάτερ, εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν N. 9. 54. καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι (sc. Ἄργος). Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε λόγον (Er. Schmid e Σ: τὸν codd.). N. 10. 11. (Διόσκουροι) πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ τοῦτον — εἵλετ' αἰῶνα — Πολυδεύκης N. 10. 58. πάντ' ἔχεις εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν (i. e. εὐτυχία καὶ εὐλογία v. 13) I. 5. 15. Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος I. 6. 67. ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν αἵματος πρὸ φίλας πάτρας ἀμύνεται (i. e. a reference to the battle implied in χάλκασπις Ἄρης v. 25) I. 7. 27. εἰ δέ τις ἀνθρώποισι θεόσδοτος †ἀτληκηκοτας† προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν (ἀτλάτα κακότας coni. Boeckh) fr. 42. 6. τοῦτον ἔσχετε τεθμόν (i. e. πιθεῖν σοφούς v. 52) Πα. 6. 57. ἐμοὶ δὲ τοῦτο[ν δ]ιέδωκ.ν ἀθάνατον πόνον Πα. 7B. 21. pro subs., τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος — ὑπακούεμεν O. 3. 24. τοῦτό γε οἱ σαφέως μαρτυρήσω O. 6. 20. ὁ δ' ἐπαντέλλων χρόνος τοῦτο πράσσων μὴ κάμοι O. 8. 29. Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν O. 13. 106. ἐθελήσαις ταῦτα νόῳ τιθέμεν P. 1. 40. κέρδει δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει; P. 2. 78. ἀλλ' οὐδὲ ταῦτα νόον ἰαίνει φθονερῶν P. 2. 89. "κοῦ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν" P. 4. 151. "ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φωνεῖ" P. 4. 163. τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες (n.) P. 4. 275. ἔχει συγγενὴς ὀφθαλμὸς αἰδοιότατον γέρας τεᾷ τοῦτο μειγνύμενον φρενί P. 5. 19. "καὶ γάρ σε — ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον" P. 9. 43. "ταύτᾳ πόσις ἵκεο βᾶσσαν τάνδε" P. 9. 51. ὁ μέν που τεοῖς τε μήδεσι τοῦτ' ἔπραξεν (i. e. the victory, v. 9) P. 10. 11. εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα, οὖρον ἐπέων εὐκλέα N. 6. 28. καὶ ταῦτα μὲν παλαιότεροι ὁδὸν ἀμαξιτὸν εὗρον (Pauw: ταύταν codd.) N. 6. 53. "ἔστι σοι τούτων λάχος" N. 10. 85. ταῦτα, Νικάσιππ', ἀπόνειμον I. 2. 47. ταῦτ' ἄρα οἱ φαμένῳ I. 6. 49. ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί I. 8. 26. ταῦτα θεοῖσι μὲν πιθεῖν σοφοὺς δυνατόν Πα. 6. 51. πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι — καλλίσταις ἀοιδαῖς. τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον fr. 121. 3. τί ἔρδων φίλος σοί τε — εἴην, τοῦτ' αἴτημί σε fr. 155. 3. **b.** *such as this (that I have mentioned)* ἦν Τάνταλος οὗτος O. 1. 55. καὶ Νεμέᾳ γὰρ ὁμῶς ἐρέω ταύταν χάριν O. 8. 57. εὔχομαί νιν Ὀλυμπίᾳ τοῦτο δόμεν γέρας ἐπὶ Βάττου γένει P. 5. 124. πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι ὡς πόρσιστα N. 9. 29. cf. "οὗτος ἐγὼ ταχυτᾶτι" i. e. such as you have seen O. 4. 24.

2. prospective, (cf. ὅδε 2.) στέφανοι πράσσοντί με τοῦτο θεόδματον χρέος, φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν — συμμεῖξαι O. 3. 7. εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς, ὃς ἂν — ἕλῃ P. 10. 22. ἀλλ' ἔσται χρόνος οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω P. 12. 31. λεγόμενον δὲ τοῦτο προτέρων ἔπος ἔχω N. 3. 52. pro subs., τοῦτο δ' ἀμάχανον εὑρεῖν· ὅτι νῦν O. 7. 25. Ἰξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν P. 2. 21. φαντὶ δ' ἔμμεν τοῦτ' ἀνιαρότατον καλὰ γινώσκοντ' ἀνάγκᾳ ἐκτὸς ἔχειν πόδα P. 4. 288. "καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς αἰδέοντ' ἀμφανδὸν ἀδείαις τυχεῖν τὸ πρῶτον εὐνᾶς" P. 9. 40. τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, εἴ τις εὖ εἴπῃ τι I. 4. 40. τοῦτό γέ οἱ ἐρέω fr. 42. 2. εἰ χρεὼν τοῦθ' — κοινὸν εὔξασθαι ἔπος P. 3. 2.

3. = ὅδε, *this (here, before you)* ἐς ταύταν ἑορτὰν O. 3. 34. παντᾷ ἀγγελίαν

πέμψω ταύταν i. e. this hymn O. 9. 25. τοῦτο δὲ προσφέρων ἄεθλον (τὸν ὕμνον Σ.) O. 9. 108. ἄγγελος ἔβαν, πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο N. 6. 58. ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν τοῦτό τοι πέμπω μεταδόρπιον fr. 124. 2. "τοῦτ' ἔργον βασιλεύς, — ἐμοὶ τελέσαις" P. 4. 229. "οὗτος ἐγὼ ταχυτᾶτι" (i. e. τοιοῦτος) O. 4. 24. "οὔ τί που οὗτος 'Απόλλων" P. 4. 87.
4. referring to time. εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν, ἐμέ τε τοσσάδε νικαφόροις ὁμιλεῖν (τοῦτον, ὃν ζῶμεν Σ.) O. 1. 115.
5. fragg.]σα τουτο[Πα. 13. d. 2.]ν τοῦτο βαλλεμ[Πα. 17. a. 7. τοῦτ' ἐναυ[Πα. 21. 5. ἀλκὰν 'Αχελωίου κρανίον τοῦτο ζάθε[ον Πα. 21. 10. τουτ.υπο[Πα. 21. 22.]ν ὀρθαί τε β[ουλ]αὶ τοῦτον[Θρ. 4. 16.

οὕτω, οὕτως] a. α. *in this way, even so* οὕτω δὲ Μοῖρ' — ἐπί τι καὶ πῆμ' ἄγει O. 2. 35. οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι P. 1. 56. οὕτω κ' ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν P. 7. 20. ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί P. 8. 93. οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα P. 9. 117. καὶ θνατὸν οὕτως ἔθνος ἄγει μοῖρα (Heyne: οὕτω σθένος codd.) N. 11. 42. β. *in the following way* εἶπε δ' οὕτως P. 4. 11. γ. *even as now* εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι P. 1. 46. δ. *with this in view* Μοῖσα δ' οὕτω ποι παρέστα μοι O. 3. 4. b. c. adj., *so* οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις, ἅτις οὐ Πηλέος ἀίει κλέος I. 6. 24.

ὀφείλω] a. *owe* c. acc. & dat. γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπιλέλαθ' O. 10. 3. ὄφρα — Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων P. 4. 3. b. impers., *it must be (that)* c. acc. & inf. ὀφείλει δ' ἔτι — θαμὰ μὲν 'Ισθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον ἐν Πυθίοισί τε νικᾶν Τιμονόου παῖδ' N. 2. 6.

ὀφέλλω] *strengthen* i. e. *make to prosper* ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον σὺν θεῶν τιμαῖς ὀφέλλειν P. 4. 260.

ὀφθαλμός] (ός, -όν, -οί.) *eye* cf. ὄμμα. a. lit. τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός P. 4. 120. ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ φωνὰν χαλκομίτρα Κάστορος N. 10. 90. b. met., *orb, circle* ὅλον — ὀφθαλμὸν ἀντέφλεξε Μήνα O. 3. 20. c. met., *pride, crown* Σικελίας τ' ἔσαν ὀφθαλμός O. 2. 10. "ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς" (= 'Αμφιτρύωνα) O. 6. 16. μεγαλᾶν πολίων ἔχει συγγενὴς ὀφθαλμὸς αἰδοιότατον γέρας τεῷ τοῦτο μειγνύμενον φρενί (sic interpungit Rose, C. Q., 1939, 69 sqq., probante nunc Snell: post πολίων codd., edd. plerique, def. Burton, 139—42: locus obscurus) P. 5. 18.

ὄφις] (-ιν, -ιες, -ίων, -ιας.) *snake* κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν (sc. 'Ιάσων) P. 4. 249. παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς of the Gorgons' heads P. 12. 9. δισσαῖσι δοιοὺς αὐχένων μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας N. 1. 45.]ὄφιες θεόπομπ[οι of the snakes sent to destroy the infant Herakles Πα. 20. 8.

ὀφιώδης] *snake clad* τᾶς ὀφιώδεος υἱόν ποτε Γοργόνος (cf. P. 12. 9) O. 13. 63.

ὄφρα] final conj., *in order that.* a. c. subj. ζεῦξον ἤδη μοι σθένος ἡμιόνων — ὄφ'ρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν καὶ γένος O. 6. 23. κατέβαν — ὑμνέων — 'Ρόδον, εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα — αἰνέσω O. 7. 14. ἔλθ' 'Αχοῖ, — Κλεόδαμον ὄφρ' ἰδοῖσ' — εἴπῃς O. 14. 22. λίσσομαι, νεῦσον, Κρονίων, ἥμερον ὄφρα κατ' οἶκον — ἀλαλατὸς ἔχῃ P. 1. 72. χρή σε παρ' ἀνδρὶ φίλῳ στᾶμεν — ὄφ'ρα — αὔξῃς οὖρον ὕμνων P. 4. 2. "Τιτυὸν βέλος 'Αρτέμιδος θήρευσε κραιπνὸν — ὄφ'ρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται" P. 4. 92. στρατὸν ὁμαγερέα καλεῖ συνίμεν, ὄφ'ρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν γᾶς ὀμφαλὸν κελαδήσετ' (Heyne: κελαδῆτε

codd.) P. 11. 9. ὄφ' ρα σὺν Χειμάρῳ μεθύων 'Αγαθωνίδᾳ βάλω κότταβον fr. 128. 2. b. c. opt. ἐκδιδάσκειν σοφὸν Αἰσονίδαν· ὄφ'ρα Μηδείας τοκέων ἀφέλοιτ' αἰδῶ P. 4. 218. ὁ δ' ἀρχαγέτας ἔδωκ' 'Απόλλων θῆρας αἰνῷ φόβῳ, ὄφ'ρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν P. 5. 62. παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος, ὄφ'ρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον P. 12. 20. θυμὸν αὔξων, ὄφ'ρα — ἀλαλὰν Λυκίων τε προσμένοι καὶ Φρυγῶν N. 3. 59. ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι I. 4. 54.

ὀφ'ρύς] (ἡ) a. *eyebrow, eye* ἀγανᾷ χλοαρὸν γελάσσαις ὀφρύϊ P. 9. 38. b. met., *brow* of a hill. τὰ δ' ὑπ' ὀφρύϊ Παρνασσίᾳ ἕξ O. 13. 106.

ὀχετός] a. *canal* σεμνοὺς ὀχετούς, 'Ἵππαρις οἷσιν ἄρδει στρατόν "Gräben, die den Sumpf von Kamarina entwässern" Wil. O. 5. 12. b. met., *pit* βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν O. 10. 37.

ὀχέω, ὀκχέω] a. *carry* χερσίν τ' ἐν μαλακαῖσιν ὄρπακ' ἀγλαὸν δάφνας ὀχέοισα πάνδοξον Αἰολάδα σταθμὸν — ὑμνήσω Παρθ. 2. 8. b. *endure* τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον O. 2. 67. [v. l. ὀχοίσας? P. 2. 79.] [c. *ride*, v. ὄχος O. 4. 11.]

ὄχημα] (cf. ὄχος, ἀπήνα.) *mulecart* ἀπὸ τᾶς ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδάλεον ματεύειν fr. 106. 7. met., (cf. ἅρμα) ἐρατᾶν ὄχημ' ἀοιδᾶν τοῦτό τοι πέμπω μεταδόρπιον fr. 124. 1.]οῖον [ὄ]χημα λιγ[υ fr. 140b. 8.

ὄχθα] (-αι, -αις.) a. *river-bank* "Καφισοῦ παρ' ὄχθαις" P. 4. 46. ὄχθαις ἔπι μηλοβότου ναίεις 'Ακράγαντος ἐΰδματον κολώναν P. 12. 2. 'Ισμηνοῦ δ'ἐπ' ὄχθαισι N. 9. 22. τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις; I. 5. 42. b. *sea-cliff* ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι i. e. the cliffs off Cumae, Pithecusae, Fränkel, D & P, 522. P. 1. 18. c. *crag* ὄχθαις ὕπο Ταυγέτου ναίοντες P. 1. 64.

ὄχθος] *hill* Κρόνιον παρ' ὄχθον O. 9. 3. "ἐπὶ λαὸν ἀγείραις νασιώταν ὄχθον ἐς ἀμφίπεδον" to Cyrene P. 9. 55. παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου N. 11. 25.

ὄχ' λος] *crowd* ἐν ἀγορᾷ πλήθοντος ὄχλου P. 4. 85.

ὄχος, τό; ὄκχος, ὁ] (cf. ὄχημα) *chariot*, esp. mule chariot. Ψαύμιος γὰρ ἵκει ὀχέων (sc. ?κῶμος, the procession in honour of Psaumis' mule chariot) O. 4. 11. ὑπέδεκτο δ' ἀργυρόπεζ' 'Αφροδίτα Δάλιον ξεῖνον θεοδμάτων ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ P. 9. 11. met., of the chariot of song, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκχον O. 6. 24.

***ὄψ]** (ὀπός, ὀπί, ὄπ(α).) *voice* esp. of singers. ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός P. 4. 283. 'Ιπποκλέᾳ θέλοντες ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα P. 10. 6. 'Εφυραίων ὄπ' ἀμφὶ Πηνειὸν γλυκεῖαν προχεόντων ἐμὰν P. 10. 56. σέθεν ὄπα μαιόμενοι sc. of the Muse N. 3. 5. ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων N. 3. 66. βασιλῆα δὲ θεῶν πρέπει δάπεδον ἂν τόδε γαρυέμεν ἡμέρᾳ ὀπί N. 7. 84. γλυκείας ὀπὸς ἀγασθέντες the sound of the Keledones Πα. 8. 75. παρ]θενηίας ὀπὸς εὐηρ[ατ fr. 333a. 14. dub.,]ϙγ' ὀπῶν τε δϙ[(vid. Snell) Πα. 6. 175.

ὀψέ] *late* ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι — ὀψέ περ N. 3. 80.

ὀψίνοος] *late thinking* 'Επιμαθέος — ὀψινόου P. 5. 28.

ὄψιος] *late* ὀψίᾳ ἐν νυκτί (τὸ πρὸς ἕω Σ.) I. 4. 35. 'Ιλίου δὲ θῆκεν ἄφαρ ὀψιτέραν ἅλωσιν pr. Πα. 6. 82.

ὄψις] *appearance* τῷ ὄψιν ἐειδόμενος ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν N. 10. 15.

ὄψον] *relish* met. ὄψον δὲ λόγοι φθονεροῖσιν N. 8. 21.

Π

πᾳ] *somehow* ἐμὲ δ' ὤν πᾳ θυμὸς ὀτρύνει φάμεν (byz.: πα, πᾶ codd.: καὶ Schr.) O. 3. 38. [εἰρήσεταί πᾳ κἀν βραχίστοις (Tricl.: πα κ' ἐν, που κἐν codd.: που κἀν Heyne) I. 6. 59.] [οὔ πα φυκτόν (v. l., Theon: παρφυκτόν codd. vulgo) P. 12. 30.]

πᾱγά] *spring* Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν O. 3. 14. τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται ἐκ μυχῶν παγαί P. 1. 22. πέραν Νείλοιο παγᾶν I. 6. 23. Ὠκεανοῦ παρὰ παγᾶν fr. 30. 2. met., εὗρε παγὰν ἀμβροσίων ἐπέων P. 4. 299.

Πάγᾰσος] a winged horse, child of the Gorgon, given to Bellerophon. τᾶς ὀφιώδεος υἱόν ποτε Γοργόνος — Πάγασον O. 13. 64. ὁ τοι πτερόεις ἔρριψε Πάγασος δεσπόταν — Βελλεροφόνταν I. 7. 44. Cf. fr. 317.

Παγγαῖον] (sc. ὄρος) a mountain in Thrace. ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες sc. the sons of Boreas P. 4. 180.

παγγλωσσία] *babbling* μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον O. 2. 87.

πᾰγετός] *freezing* ἢ παγετὸν χθονός; (sc. φέρεις) Πα. 9. 17.

πάγκαρπος, -ον] *with fruit of all kinds* "οὔτε παγκάρπων φυτῶν νάποινον" P. 9. 58. καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ διὰ πόντον I. 4. 41.

πάγκοινος, -ον] *open to all* "δεῦρο πάγκοινον ἐς χώραν ἴμεν" Olympia O. 6. 63. ἀπήμονα εἰς ὄλβον τινὰ τράποιο Θήβαις, ὦ πότνια, πάγκοινον τέρας i. e. that all have seen, viz. the eclipse of the sun at Thebes Πα. 9. 10. φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφωνίου ἀνδρός i. e. that all may hear fr. 188.

παγκρᾰτής] *all-powerful* πῦρ δὲ παγκρατὲς N. 4. 62. ὁ παγκρατὴς κεραυνὸς Δ. 2. 15.

παγκρᾰ́τιον] (-ίου, -ίῳ.) *pankration, all-in wrestling* ἐρέω ταύταν χάριν, τὰν δ' ἔπειτ' ἀνδρῶν μάχας ἐκ παγκρατίου O. 8. 59. ὦ Τιμόδημε, σὲ δ' ἀλκὰ παγκρατίου τλάθυμος ἀέξει N. 2. 15. ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ N. 3. 17. Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον N. 5. 5. πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν νικῶντ' ἀρετάν (v. l. παγκρατίου) N. 5. 52. Ἀρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ N. 11. 21. κεῖνον ἄψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ' ἐπάξιον I. 4. 44. τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται — παγκρατίου I. 5. 19. ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου N. 6. 60. φέρει γὰρ Ἰσθμοῖ νίκαν παγκρατίου I. 7. 22. ἁλίκων τῶ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον I. 8. 66.

πάγνυμι] (fut. πάξομεν: aor. ἔπαξε: med. aor. ἐπάξαντο; πάξαιτο.) **a.** *fix, plunge* οὗ κεν ὅπλων χολωθεὶς ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν λευρὸν ξίφος N. 7. 26. med., ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἑνὶ σφίσιν αὐτοῖς fr. 163. **b.** *construct* χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας ὡς ὅτε θαητὸν μέγαρον πάξομεν O. 6. 3. **c.** *fix (in one's heart), purpose* med. ὄφρα — ἐν φρασὶ πάξαιθ' ὅπως σφίσι μὴ κοίρανος ὀπίσω — Μέμνων μόλοι N. 3. 62. **d.** in tmesis. περὶ δὲ πάξαις (v. περιπάγνυμι) O. 10. 45.

πᾰ́γος] *hill* καὶ πάγον Κρόνου προσεφθέγξατο (sc. τὸ Κρόνιον) O. 10. 49. med., οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται, εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων I. 2. 33.

πάγχρῡσος, -ον] *all of gold* φιάλαν — πάγχρυσον κορυφὰν κτεάνων O. 7. 4. τὸ πάγχρυσον νάκος κριοῦ P. 4. 68.

πάγχῠ] *completely* ὅταν πάγχυ διαπλέκει P. 2. 82.

Πᾰγώνδας] son of Aioladas of Thebes, father of Agasikles: (= ? Thuc., 4. 91.)

Αἰολάδα σταθμὸν υἱοῦ τε Παγώνδα ὑμνήσω (Π^pc: παγωνδαι Π.) Παρθ. 2. 10.

πάθα] (-ας, -ᾳ, -αν; -αις.) *misfortune, suffering* ταύτας περ' ἀτλάτου πάθας O. 6. 38. "ματρὸς βαρείᾳ σὺν πάθᾳ" P. 3. 42. τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις εὐφροσύνας μέρος P. 3. 97. "ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ" P. 8. 84. ἐγὼ πλέον ἔλπομαι λόγον 'Οδυσσέος ἢ πάθαν διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον ("die vielen Schmerzen die O. auf dem Meer erduldete" Fränkel) N. 7. 21. πεπρωμέναν πάθαν[(the fall of Troy?) Πα. 8A. 16.

Παιάν] *Healer* epith. of Apollo. Παιάν τέ σοι τιμᾷ φάος P. 4. 270. ἰὴ ἰὲ Παιάν, ἰὴ ἰέ. Παιὰν δὲ μήποτε λείποι Πα. 2. 35, 71, 107. ἰὴ ἰή, ὦ ἰὲ Παιάν Πα. 4. 31. Παιὰν δε[Πα. 6. 182.

παιάν, παιήων] (παιᾶνος, -ᾶνα; παιηόνων.) *paean*, cf. Forssman, 151f. Ἄβδηρε —, [σέθ]εν 'Ιάονι τόνδε λαῷ [παι]ᾶνα [δι]ώξω Δηρηνὸν 'Απόλλωνα πάρ τ' 'Αφρο[δίταν Πα. 2. 4. Λατόος ἔνθα με παῖδες εὐμενεῖ δέξασθε νόῳ θεράποντα ὑμέτερον κελαδεννᾷ σὺν μελιγάρυι παιᾶνος ἀγακλέος ὀμφᾷ Πα. 5. 47. ἰὴ ἰῆτε νῦν, μέτρα παιηόνων ἰῆτε, νέοι Πα. 6. 121. οὔ σε παιηόνων ἄδορπον εὐνάξομεν Πα. 6. 127. παιαν[Πα. 7B. 4.].τε παιηόνων[Πα. 17b. 25. παιηο[ν fr. 140b. 9.

παιᾶνις] f. adj., *paean-* ἐντὶ μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ ὥριαι παιάνιδες (παιανίδες Lobeck) Θρ. 3. 2.

παίδειος] *for youths* οἱ μὲν πάλαι — ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους, ὅστις ἐὼν καλὸς εἶχεν 'Αφροδίτας εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν I. 2. 3.

παιδεύω] *teach* οὔτοι με ξένον οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι fr. 198a.

παιδοφάγος] *child devouring* ἰχθὺν παιδοφάγον (ἐπὶ τοῦ κήτους Σ T Hom. Φ 22) fr. 306.

παίζω] *play* c. intern. acc. οἷα παίζομεν φίλαν ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν O. 1. 16. ἀναβαὶς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν (sc. Bellerophon, mounted on Pegasos) O. 13. 86.

παιήων] v. παιάν.

Παίονες] inhabitants of Macedonia and eastern Thrace. πέραν 'Α[θόω] Παιόνων αἰχματᾶν[—]ς ζαθέας τροφοῦ Πα. 2. 61.

παῖς] (παῖς, πάις, παιδός, παιδί, παῖδ(α), παῖ; παῖδες, παίδων, παισί(ν), παίδεσσιν, παῖδες.)

1. *son, daughter, child* a. 'Αοῦς τε παῖδ' Αἰθίοπα O. 2. 83. Αἰνησιδάμου παιδὶ Theron O. 3. 9. διδύμοις παισὶ Λήδας O. 3. 35. Κλυμένοιο παῖδα Erginos O. 4. 19. παῖδα ἰόπλοκον Εὐάδναν (Bergk: παῖδ' ἰοπλόκαμον codd.) O. 6. 30. παῖδα, τὸν Εὐάδνα τέκοι Iamos O. 6. 49. ὦ παῖ Σωστράτου Hagesias O. 6. 80. τὰν ποντίαν ὑμνέων παῖδ' 'Αφροδίτας — 'Ρόδον O. 7. 14. 'Υπεριονίδας — ἐντειλεν φυλάξασθαι χρέος παισὶν φίλοις O. 7. 41. τέκεν ἑπτὰ — παῖδας O. 7. 73. οὐκ ἄτερ παίδων σέθεν O. 8. 45. τοῦ παῖς — ἔστα σὺν 'Αχιλλεῖ μόνος Patroklos O. 9. 70. τὸν 'Ολυμπιονίκαν — 'Αρχεστράτου παῖδα Hagesidamos O. 10. 2. παῖς ὁ Λικυμνίου Οἰωνός O. 10. 65. ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου O. 10. 86. παῖδ' ἐρατὸν δ' 'Αρχεστράτου O. 10. 99. 'Αρχεστράτου παῖ O. 11. 12. παῖ Ζηνὸς ἐλευθερίου — σώτειρα Τύχα O. 12. 1. χρύσεαι παῖδες εὐβούλου Θέμιτος O. 13. 8. θεῶν κρατίστου παῖδες (κρατιστόπαιδες Σ.) O. 14. 15. παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις P. 1. 79. ὦ Δεινομένειε παῖ Hieron P. 2. 18. χόλος δ' οὐκ ἀλίθιος γίνεται παίδων Διός P. 3. 12. βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ ἅρπασε Asklepios P. 3. 43. Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν P. 3. 92. Κρόνου παῖδας P. 3. 94. τοῦ δὲ παῖς Achilles P. 3. 100. Αἰήτα — ζαμενὴς παῖς Medea P. 4. 11. "κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν" P. 4. 13. "Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου 'Εννοσίδα" P. 4. 33. "'Ιφιμεδείας παῖδας, Ὦτον καὶ σέ" P. 4. 89. "Αἴσονος γὰρ

παῖς — ἱκάνω" Jason P. 4. 118. "παῖ Ποσειδᾶνος Πετραίου" Pelias P. 4. 138. Μεσσανίου δὲ γέροντος δοναθεῖσα φρὴν βόασε παῖδα ὅν Antilochos P. 6. 36. 'Οικλέος παῖς Amphiareus P. 8. 39. "φυᾷ τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων παισὶ λῆμα" P. 8. 45. ὁ δὲ τὰν εὐώλενον θρέψατο παῖδα Κυράναν P. 9. 18. "τόθι παῖδα τέξεται" Aristaios P. 9. 59. Δανάας ποτὲ παῖς Perseus P. 10. 45. ὦ παῖδες 'Αρμονίας P. 11. 7. 'Αγησιδάμου παῖ Chromios N. 1. 29. Τιμονόου παῖδ' Timodemos N. 2. 10. παῖς 'Αριστοφάνεος Aristokleidas N. 3. 20. Πελίαο παῖς Akastos N. 4. 60. λόγον Αἰακοῦ παίδων N. 4. 72. 'Ελείθυια, — παῖ μεγαλοσθενέος — Ἥρας N. 7. 2. παῖς ὁ Θεαρίωνος — Σωγένης N. 7. 7. παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν N. 7. 100. ματέρι καὶ διδύμοις παίδεσσιν Apollo and Artemis N. 9. 4. Ταλαοῦ παῖδες N. 9. 14. ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι καὶ παῖδες θεῶν (cf. I. 3. 18.) N. 9. 27. παιδὶ — 'Αγησιδάμου Chromios N. 9. 42. Οὐλία παῖς — Θεαῖος N. 10. 24. Λήδας παῖς Polydeukes N. 10. 66. παῖ 'Ρέας — 'Εστία N. 11. 1. ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον Aristagoras N. 11. 22. τὸν ἀδείμαντον 'Αλκμήνα τέκεν παῖδα Herakles I. 1. 13. 'Ιφικλέος μὲν παῖς Iolaos I. 1. 30. σέθεν, 'Αμφιτρύων, παῖδας I. 1. 56. Αἰνησιδάμου παῖδες Theron and Xenokrates I. 2. 29. ἄτρωτοί γε μὰν παῖδες θεῶν (cf. N. 9. 27, fr. 77. 1, fr. 118: ἀντὶ τοῦ οἱ θεοί Σ.) I. 3. 18. παίδων ὁπλοτάτου Φυλακίδα I. 6. 6. ὁ Κλεονίκου παῖς Lampon I. 6. 16. "λίσσομαι παῖδα θρασὺν ἐξ 'Εριβοίας ἀνδρὶ τῷδε — τελέσαι" Aias I. 6. 45. "ἔσσεταί τοι παῖς, ὃν αἰτεῖς, ὦ Τελαμών" I. 6. 52. ἀγλαοὶ παῖδές τε καὶ μάτρως I. 6. 62. τὺ δέ, Διοδότοιο παῖ Strepsiades I. 7. 31. Σίσυφον κέλοντο ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας φθιμένῳ Μελικέρτᾳ fr. 5. 2. παίδεσσι Λατοῦς (Bergk: παῖδ' οἱ, παῖδες οἱ codd. Theophrasti) fr. 33c. 2. Θρονίας "Αβδηρε χαλκοθώραξ [Ποσ]ειδᾶνός τε παῖ Πα. 2. 2. Λατόος — παῖδες Πα. 5. 44. ἦτορι δὲ φίλῳ παῖς ἅτε ματέρι κεδνᾷ Πα. 6. 12. θρασυμή]δεα πάϊς[Πα. 6. 77. παῖδα ποντίας Θέτιος βιατάν Achilles Πα. 6. 83.]παιδα.τ[Πα. 7. a. 2. ἀλλά μιν Κρόνου παῖ[δες] — ἔκρυψαν (supp. Lobel) Πα. 8. 72. δίδυμοι παῖδες Artemis and Apollo Πα. 12. 16. τὰν παῖδα δε[Πα. 22. i. 2. Δαμαίνας πα[ῖ Pagondas? Παρθ. 2. 66. παῖ θρασύμηδες 'Αμύντα Alexandros fr. 120. ἔμολε[.]αι παῖδα[fr. 169. 41.]παιδὶ δικτυ[fr. 260. 6. 'Εχεκ[ρά]τει παιδὶ Πυθαγγέλῳ ?fr. 333a. 6. b. by periphrasis for α. Zeus. Κρόνου παῖδ' O. 1. 10. ὦ Κρόνιε παῖ 'Ρέας O. 2. 12. ὦ Κρόνου παῖ O. 4. 8. Κρόνου σὺν παιδὶ O. 7. 67. εὐρύοπα Κρόνου παῖς Πα. 6. 134. ἐλασίβροντα παῖ 'Ρέας fr. 144. β. Apollo. παῖς ὁ Λατοῦς O. 8. 31. ἰήιε παῖ με[Πα. 7C. c. 3. γ. Dionysos. παῖς ὁ κισσοφόρος O. 2. 27. δ. Athene. αὐτὰ Ζηνὸς ἐγχεικεραύνου παῖς O. 13. 77. ε. Herakles. παῖς Διός N. 1. 35. c. in periphrasis. ὅθι παῖδες 'Αθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας fr. 77. 1. βούλομαι παίδεσσιν 'Ελλάνων fr. 118, cf. παίδεσσιν 'Ελλάνων I. 4. 36. ἄτρωτοί γε μὰν παῖδες θεῶν (ἀντὶ τοῦ οἱ θεοί Σ.) I. 3. 18.

2. a. *boy* ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις νόστον O. 8. 68. "Αργει τ' ἔσχεθε κῦδος ἀνδρῶν παῖς δ' ἐν 'Αθάναις O. 9. 88. παίδων δάροισι P. 1. 98. καλός τοι πίθων παρὰ παισίν, αἰεὶ καλός P. 2. 72. κεῖνος γὰρ ἐν παισὶν νέος P. 4. 281. τὸ δ' ἐν ποσί μοι τράχον ἴτω τεὸν χρέος, ὦ παῖ P. 8. 33. στρατῷ τ' ἀμφικτιόνων ὁ Παρνάσσιος αὐτὸν μυχὸς διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν P. 10. 9. 'Αχιλεὺς — παῖς ἐὼν N. 3. 44. ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ N. 3. 72. παῖ N. 4. 90. παῖς ἐναγώνιος Alkimidas N. 6. 13. παῖ N. 6. 62. "Ωρα πότνια — ἅ τε παρθενηίοις παίδων τ' ἐφίζοισα γλεφάροις N. 8. 2. ὅδ' ἀνὴρ διπλόαν νίκαν ἀνεφάνατο παίδων ⟨τε⟩ τρίταν πρόσθεν (i. e. μετὰ

παίδων Σ.) I. 4. 71. τάκομαι, εὖτ' ἂν ἴδω παίδων νεόγυιον ἐς ἥβαν fr. 123. 12. b. *girl* νεάνιδες — ὦ παῖδες fr. 122. 7. 3. *descendant* ὔμμιν δέ, παῖδες 'Αλάτα Corinthians O. 13. 14. "τετράτων παίδων κ' ἐπιγεινομένων αἷμα" i. e. of four generations P. 4. 47. παισὶ τούτοις ὄγδοον θάλλει μέρος 'Αρκεσίλας the descendants of Battos P. 4. 65. 'Αλεύα τε παῖδες P. 10. 5. θανὼν ὡς παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω N. 8. 36. μοῖραν δ' εὔνομον αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν N. 9. 30. μομφὰν ἔχει παίδεσσιν 'Ελλάνων, ὅσοι Τροίανδ' ἔβαν I. 4. 36. ἐν δ' Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ Αἰακοῦ παίδων τε (sc. ἀνυμνοῦνται) I. 5. 35. τοῦ μὲν (sc. Αἰακοῦ) ἀντίθεοι ἀρίστευον υἱέες υἱέων τ' ἀρηίφιλοι παῖδες ἀνορέᾳ I. 8. 25. 4. met. ἡσύχιμον ἀμέραν — παῖδ' ἀελίου O. 2. 32. οὐρανίων ὑδάτων, ὀμβρίων παίδων νεφέλας O. 11. 3. νωμάτω φιάλαισι βιατὰν ἀμπέλου παῖδ' i. e. wine N. 9. 52. Διὸς παῖς ὁ χρυσός fr. 222. 1.
5. fragg. χρυ[σάορος] παῖς (supp. Snell: χρυ[σαόρ]αις G-H.) fr. 330.]παῖ μ[?fr. 344. 9.]παισί με[P. Oxy. 1792, fr. 38

πακτίς] a Lydian lyre. ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πακτίδος fr. 125. 3.

πάλα] (-ᾳ.) *wrestling* κρατέων πάλᾳ O. 8. 20. ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν O. 10. 66. τό μοι θέμεν Κρονίδᾳ τε Δὶ καὶ Νεμέᾳ Τιμασάρχου τε πάλᾳ ὕμνου προκώμιον εἴη N. 4. 10. νῦν πέφανται οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας N. 6. 14. 'Αρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ N. 11. 21.

πάλαι] a. *in ancient times.* ἐδόκησέν τε τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν — ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν P. 6. 40. τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι P. 11. 46. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι N. 8. 32. ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι N. 8. 51. συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας N. 11. 33. οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες I. 2. 1. ὁ δ' ἐχθρὰ νοήσαις ἤδη φθόνος οἴχεται τῶν πάλαι προθανόντων Πα. 2. 56. τίμαθεν γὰρ τὰ πάλαι τὰ νῦν τ' Παρθ. 2. 42. b. *since ancient times* καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι N. 10. 10. τετείχισται δὲ πάλαι πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν I. 5. 44. καλέοντί μιν 'Ορτυγίαν ναῦται πάλαι Πα. 7B. 48.

πᾰλαίγονος] *ancient* Χάριτες 'Ερχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι O. 14. 4. pro subs., μῆτίν τε γαρύων παλαιγόνων πόλεμόν τ' O. 13. 50.

πᾰλαιμονέω] *wrestle* met. χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά P. 2. 61.

πᾰλαιός] (-ός, -οῦ, -όν; -ά, -άν, -αί, -αῖσι: comp. παλαιότεροι, παλαιτέροισ(ι): superl. παλαιτάτῳ.) *ancient, in ancient times* φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσεις O. 7. 54. αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων νεωτέρων O. 9. 48. ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος P. 5. 55. αὖτις ἐγεῖραι καὶ παλαιὰν δόξαν ἑῶν προγόνων (v. l. παλαιῶν) P. 9. 105. παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ N. 3. 32. ἄλσει παλαιτάτῳ N. 7. 44. ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν I. 3. 16. ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν εὐκλέων ἔργων I. 4. 22. ἀλλὰ παλαιὰ γὰρ εὕδει χάρις I. 7. 16.]ἱ παλαιὸν[. .]τοκεῦσιν[Θρ. 4. 17. οἷσι δὲ Περσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται fr. 133. 1. comp., pro subs., *older men, elders,* τὸν 'Ιπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις P. 10. 58. ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον ἐν παλαιτέροισι N. 3. 73. καὶ ταῦτα μὲν παλαιότεροι ὁδὸν ἀμαξιτὸν εὗρον N. 6. 53.

πᾰλαισμα] (-άτων, -άτεσσι, -ασιν.) *wrestling (bout)* ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων O. 9. 13. παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς P. 8. 35. (ἄκων) ὃς ἐξέπεμψεν παλαισμά-

των αὐχένα καὶ σθένος ἀδίαντον N. 7. 72. παλαισμάτων λάβε φροντίδ' N. 10. 22.

πᾰλαίφᾰτος, -ον] a. *spoken in ancient times* ἐν δὲ Πυθῶνι χρησθὲν παλαίφατον τέλεσσεν O. 2. 39. ἦν γάρ τι παλαίφατον[fr. 140a. 69 (43). b. *famed of old* Μυρμιδόνες — ὧν παλαίφατον ἀγορὰν οὐκ ἐλεγχέεσσιν 'Αριστοκλείδας τεὰν ἐμίανε κατ' αἶσαν N. 3. 14. παλαίφατος γενεά pr. N. 6. 31. n. s. acc., pro adv., 'Αχάρναι δὲ παλαίφατον εὐάνορες N. 2. 16.

πᾰλαίω] *wrestle* κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας ὀβρίμῳ μούναν παλαίοισαν ἄτερ ἐγχέων (sc. Κυράναν) P. 9. 27. met., χρυσέων δ' Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν N. 8. 27.

πᾰλάμα] (-ᾳ, -αι, -ᾶν, -αισι.) a. *hand* ἔλπομαι μὴ χαλκοπάρᾳον ἀκονθ' ὡσεἴτ' ἀγῶνος βαλεῖν ἔξω παλάμᾳ δονέων P. 1. 44. εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος P. 4. 202. b. met., *art, skill* ἄντε δόλον αὐτῷ θέσαν Ζηνὸς παλάμαι P. 2. 40. esp. dat. s. & pl., σύν τινι μοιριδίῳ παλάμᾳ O. 9. 25. θεοῦ σὺν παλάμᾳ (v. l. παλάμαις) O. 10.21. Σίσυφον μὲν πυκνότατον παλάμαις ὡς θεόν O. 13. 52. ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν P. 1. 48. οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ βροτῷ P. 2. 75. πολλὰ δ' Αἰγύπτῳ †κατῴκισθεν† ἄστη ταῖς 'Επάφου παλάμαις N. 10. 5. καὶ πάθον δεινὸν παλάμαις 'Αφαρητίδαι Διός N. 10. 65. παντέχνοις 'Αφαίστου παλάμαις Πα. 8. 66.

Παλαμήδης] son of Nauplios, killed at Troy. test., Ael. Aristid., 2. 339 Dind., καίτοι τίς οὐκ ἂν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν (= Παλαμήδεα) κυριώτερον τοῦ 'Οδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι ὑπὸ τοῦ χείρονος; fr. 260.

πᾰλίγγλωσσος, -ον] a. *uttered contrary to fact, lying* παλίγγλωσσον δὲ οἱ ἀθάνατοι ἀγγέλων ῥῆσιν θέσαν pr. N. 1. 58. b. *perverse of tongue* οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις, ἅτις οὐ Πηλέος ἀίει κλέος I. 6. 24. c. sign. incert. ἐνῆκεν καὶ ἔπειτ[—]λος τῶνδ' ἀνδρῶν ἕνεκεν μερίμνας σώφρονος ἐχθρὰν ἔριν οὐ παλίγγλωσσον, ἀλλὰ δίκας ὁδοὺς πιστὰς ἐφίλη[σ.]ν (παλίγγλωσσος coni. Wil.: *unrelenting* G-H.) Παρθ. 2. 63.

πᾰλίγκοτος] *malignant* πῆμα θνᾴσκει παλίγκοτον δαμασθέν O. 2. 20. pro subs. *adversary*, μαλακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος N. 4. 96.

πᾰλίμβᾰμος, -ον] *in which one goes to and fro* ἁ μὲν οὔθ' ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδούς P. 9. 18.

πᾰλιν] a. of place, *back* προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν O. 1. 65. ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας N. 10. 73. ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰς πάλιν fr. 133. 3. b. of time, *again* ὅπως σφίσι μὴ κοίρανος ὀπίσω πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς 'Ελένοιο Μέμνων μόλοι N. 3. 63. c. τὸ πάλιν, *the reverse* c. gen. ἵκοντι νεότατος τὸ πάλιν ἤδη O. 10. 87.

παλιναίρετος] *demolished and rebuilt* παλιναίρετα (sc. οἰκοδομήματα) fr. 84.

παλίνδρομος?]]παλινδ[(ad fr. 33a spectare putat Lobel) P. Oxy. 2444, fr. 14b. 3.

πᾰλιντράπελος] *causing a change* Μοῖρ' πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ O. 2. 37.

Πᾰλιον] sc. ὄρος, in Thessaly, where was the cave of Cheiron. Κένταυρον, ὃς ἵπποισι Μαγνητίδεσσιν ἐμείγνυτ' ἐν Παλίου σφυροῖς P. 2. 45. βάσσαισί τ' ἄρχειν Παλίου φῆρ' ἀγρότερον P. 3. 4. Κυράνας· τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων ποτὲ Λατοίδας ἅρπασ' P. 9. 5. Παλίου δὲ πὰρ ποδὶ λατρίαν 'Ιαολκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς N. 4. 54. πρόφρων δὲ καὶ κείνοις (= Αἰακίδαις) ἄειδ' ἐν Παλίῳ Μοισᾶν ὁ κάλλιστος χορός N. 5. 22.

Παλλάς] (-άς, -άδος, -άδα.) title of Athene. φιλεῖ δέ μιν (= Σεμέλαν) Παλλὰς O. 2. 26. ὦ πολιάοχε Παλλάς in Kamarina O. 5. 10. οἱ χρυσάμπυκα κούρα χαλινὸν Παλλὰς

ἥνεγκ' O. 13. 66. πλεῖστα νικάσαντά σε καὶ τελεταῖς ὡρίαις ἐν Παλλάδος εἶδον (in Athens Σ, in Cyrene edd.) P. 9. 98. τέχνᾳ, τάν ποτε Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα P. 12. 7. ἐνέθηκε δὲ Παλλὰς αμ[Πα. 8. 82.]Παλλάδα[Πα. 13. a. 5. ἀλκάεσσά τε Παλλάδος αἰγὶς μυρίων φθογγάζεται κλαγγαῖς δρακόντων Δ. 2. 17.

πάλλω] a. *shake* χερσὶ θαμινὰ βραχυσίδαρον ἄκοντα πάλλων ἴσα τ' ἀνέμοις (sc. Ἀχιλλεύς) N. 3. 45. b. med. & pass., *leap, swoop* (cf. O. 13. 72; Leumann, Hom. Wörter, 60f.) καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί N. 5. 21. met., καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλτο (sc. ὄνυμ' αὐτῶν: ἔπαλτο e Σ ἐπάλθη Schneidewin: ἐπᾶλτο ab ἐφάλλομαι ductum codd.) N. 6. 50. c. in tmesis. ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί (v. ἀναπάλλω) O. 13. 72.

παμβίας] *all mastering, all powerful* κεραυνῷ παμβίᾳ N. 9. 24.

πάμπᾱν] *altogether,* emphasising verbs. ἀπὸ πάμπαν ἀδίκων ἔχειν ψυχάν O. 2. 69. οἱ δ' ἀπὸ πάμπαν εἴργοντες O. 13. 59. ἐπεὶ τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ, εἵλετ' αἰῶνα — Πολυδεύκης N. 10. 58. "μακάρων τ' ἐπιχώριον τεθμὸν πάμπαν ἐρῆμον ἀπωσάμενος" Πα. 4. 47. τὸ δὲ μὴ Διὶ φίλτερον σιγῷμι πάμπαν fr. 81 ad Δ. 2. ἀλλ' ᾧτινι μὴ λιπότεκνος σφαλῇ πάμπαν οἶκος Παρθ. 1. 17.

παμπειθής] *all persuasive* τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον P. 4. 184.

παμποίκῐλος] *painted all over* καρπὸς ἐλαίας ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις (v. ἄγγος: ἐζωγραφοῦντο γὰρ αἱ ὑδρίαι Σ.) N. 10. 36.

παμπόρφῠρος, -ον] *deep-purple* ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι O. 6. 55.

πάμπρωτος] *first* "ἐπεὶ πάμπρωτον εἶδον φέγγος" P. 4. 111. "θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ" Herakles speaks of the Nemean lion I. 6. 48.

Παμφάης] a maternal ancestor of Theaios of Argos. Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη N. 10. 49.

παμφάρμᾰκος] *all powerful in magic* παμφαρμάκου ξείνας ἐφετμαῖς i. e. of Medea P. 4. 233.

παμφόρος] *carrying all with it* παμφόρῳ χεράδει τυπτόμενον P. 6. 13.

Πάμφῡλος] son of Aigimios, brother of Dymas; founder of the Doric clan of the Pamphyloi. Παμφύλου καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι P. 1. 62.

πάμφωνος, -ον] *full voiced; all-expressive* παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν O. 7. 12. παμφώνων ἰαχὰν ὑμεναίων P. 3. 17. παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος P. 12. 19. κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς μυρίον χρόνον I. 5. 27.

Πάν] the god Pan. Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι P. 3. 78. ὦ Πάν, Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ, — Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν fr. 95. ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέοισιν Ὀλύμπιοι (sc. Πάν: v. Comment. Stephani in Aristot., Rhet. 1401ᵃ 31, p. 304, 3 Rabe, cf. Comment. Anonymi, p. 148, 30 Rabe) fr. 96. test., Σ Theocrit., 5. 14b: φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν (= Πᾶνα) φροντίζειν i. e. under his cult title Πὰν ἄκτιος fr. 98. Ael. Aristid., 2. 331 Keil: τὸν Πᾶνα, χορευτὴν τελεώτατον θεῶν ὄντα, ὡς Πίνδαρος τε ὑμνεῖ (verba χορευτὰν — θεῶν Pindaro tribuit Schr.) fr. 99. Σ Bern. Verg. Georg., 1. 17: Pana Pindarus e Mercurio et Penelopa in Lycaeo monte editum scribit (Timpanaro, Stud. Urbin. (1957), pp. 184sqq.: ex Apolline et Penelopa, codd.) fr. 100.

πᾰνᾰγῠρις] *assembly* Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου O. 9. 96. οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον καμπύλον δίφρον, Πανελλάνεσσι δ' ἐρίζομενοι δαπάνᾳ χαῖρον ἵππων I. 4. 28.

παναπ["ὦ παναπ[— εὐ]ρύοπα Κρονίων" (πανάπειρον supp. G—H: πανάπιστε Snell) Πα. 8A. 14.

πανδαίδᾰλος, -ον] *resplendent* πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν in Athens fr. 75. 5.

πανδείμᾰτος] *in complete panic* πανδείματοι μὲν ὑπὲρ πόντιον "Ελλας πόρον ἱερόν sc. ? the Persians fr. 189.

πάνδοχος, -ον] *all welcoming* Διός — πανδόκῳ ἄλσει O. 3. 17. ξενίαις πανδόκοις O. 4. 15. πάνδοκον ναὸν εὐκλέα διανέμων P. 8. 61.

πανδοξία] *absolute glory* ἔστι δ' ἐν εὐτυχίᾳ πανδοξίας ἄκρον N. 1. 11.

πάνδοξος] *all-glorious* πάνδοξον Αἰολάδα σταθμὸν — ὑμνήσω Παρθ. 2. 9.

(Πάνδωρος)] v. Σ, Πα. 5. 42.

Πᾰνέλλᾶνες] *all the Greeks* ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ I. 2. 38. Πανελλάνεσσι δ' ἐριζόμενοι δαπάνᾳ χαῖρον ἵππων I. 4. 29.

Πανελλάς] *All-Greece* θύεται γὰρ ἀγλαᾶς ὑπὲρ Πανελλάδος, ἅν τε Δελφῶν ἔθνος εὔξατο λιμοῦ[Πα. 6. 62.

πᾰνέτης] *all year round* νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα (codd.: πανέτης Christ.) P. 1. 20.

Πανθοο[? a Delphic priest Πα. 6. 74, v. Radt ad loc.

παννυχίζω] *play all night long* τοῖσιν δὲ δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει I. 4. 65.

πάννυχος] *all night long*]αι πάννυχος ?fr. 333d. 22.

παντᾷ] *everywhere* πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ O. 1. 116. παντᾷ ἀγγελίαν πέμψω ταύταν O. 9. 24. ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις P. 1. 96. Ἰξίονα — ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον P. 2. 23. ὤρνυεν κάρυκας ἐόντα πλόον φαινέμεν παντᾷ P. 4. 171. παντᾷ δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται P. 10. 38. ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος I. 4. 1.

παντελής] *accomplishing its full course* ὁ παντελὴς Ἐνιαυτὸς Ὧραί τε Θεμίγονοι Πα. 1. 5.

πάντεχνος, -ον] *of masterly skill* παντέχ[νοις] Ἀφαίστου παλάμαις καὶ Ἀθά[νας Πα. 8. 65.

παντοδᾰπός] *of all kinds* παντοδαποῖσιν — ξένοις O. 8. 26. Ἀσκλαπιόν, ἥροα παντοδαπᾶν ἀλκτῆρα νούσων P. 3. 7. ἀντὶ μόχθων παντοδαπῶν — ξυνὸν ὀρθῶσαι καλόν I. 1. 46. παντοδαπῶν ἀνέμων ῥιπαῖσιν fr. 33d. 2. ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέοισιν Ὀλύμπιοι (sc. Πάν: v. Πάν: cf. παμφυές, Epid. Hymn., 2. 2, 9 Maas) fr. 96. 2.

πάντοθεν] *from all sides, all about* γυίοις περάπτων πάντοθεν φάρμακα P. 3. 52. πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν N. 6. 45.

παντοῖος] *of all kinds* φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων ἁγεῖτο παντοίων νόμων N. 5. 25. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν pr. N. 8. 42. θύματα μειγνύντων — παντοῖα (παντοῖα codd. Plutarchi: non habet, ut vid., Π.) Θρ. 7. 10.

πάντολμος] *all adventuring* τὸ πάντολμον σθένος Ἡρακλέος — ὑμνήσομεν; (πάνυ codd. Plutarchi) fr. 29. 4.

πάντως] *by all means, at all costs* τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν P. 4. 75.

πάομαι] pf. πέπᾱμαι, *have acquired, have* εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ πολλοῖς σοφὸς δοκεῖ P. 8. 73. ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται fr. 105b. 2.

παπταίνω] *gaze* τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον πέδιλον (Boeckh: παπτήνας codd., def. Forssman, 91) P. 4. 95. met., μηκέτι πάπταινε πόρσιον O. 1. 114. αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω P. 3. 22. τὰ μακρὰ δ' εἴ τις παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν I. 7. 44.

παρ- in compounds, v. παρα-.

παρά, πάρ] (with apocope often before μ,

π, δ; also κ, σ, τ, χ, ζ, β; with anastrophe Πα. 22. 10.) 1. c. acc., a. *to, towards* with vb. of motion. παρ' εὐδείελον ἐλθὼν Κρόνιον Ο. 1. 111. παρὰ Κρόνου τύρσιν Ο. 2. 70. Κρόνιον παρ' ὄχθον Ο. 9. 3. καί κεν ἐν ναυσὶν μόλον — 'Αρέθοισαν ἐπὶ κράναν παρ' Αἰτναῖον ξένον Ρ. 3. 69. ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον Ρ. 8. 59. οὐδὲ μολόντων πάρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν Ρ. 8. 85. ἴτε σὺν 'Ηρακλέος ἀριστογόνῳ ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων θησαυρόν Ρ. 11. 4. Κασσάνδραν — πόρευ' 'Αχέροντος ἀκτὰν παρ' εὔσκιον νηλὴς γυνά Ρ. 11. 21. σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν Ν. 3. 47. ἀφνεὸς πενιχρός τε θανάτου παρὰ σᾶμα νέονται (πέρας ἅμα coni. Weiseler) Ν. 7. 19. παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου μόλεν χθονός Ν. 7. 33. Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη Ν. 10. 49. πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰὼν Ι. 8. 2. Κύ]νθιον παρὰ κρημνόν Πα. 12. 8.]παρ' ἁλμυρὸν οἴχεσθον Παρθ. 2. 77. b. *beside, by* παρ' Εὐρώτα πόρον Ο. 6. 28. σόν τε, Κασταλία, πάρα / 'Αλφεοῦ τε ῥέεθρον Ο. 9. 17. τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ βωμὸν παρ' 'Ολύμπιον Ο. 10. 101. χρυσότοξον θέμεναι παρὰ Πύθιον 'Απόλλωνα θρόνους Ο. 14. 10. 'Αμένα παρ' ὕδωρ Ρ. 1. 67. παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν 'Ιμέρα Ρ. 1. 79. παρ' ἐμὸν πρόθυρον Ρ. 3. 78. "πὰρ χθόνιον 'Αΐδα στόμα" Ρ. 4. 43. πὰρ μέσον ὀμφαλὸν Ρ. 4. 74. 'Αμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Ν. 4. 20. πὰρ βωμὸν πατέρος 'Ελλανίου στάντες Ν. 5. 10. παρὰ Κασταλίαν τε (v. l. Κασταλίᾳ) Ν. 6. 37. θεοῦ παρ' εὐτειχέα δόμον Ν. 7. 46. θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται Ν. 9. 49. ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' 'Ελικώνιαι παρθένοι στάν Ι. 8. 57. Δηρηνὸν 'Απόλλωνα πάρ τ' 'Αφρο[δίταν Πα. 2. 5. χθονὸς ὀμφαλὸν πὰρ σκιάεντα μελπόμεναι Πα. 6. 17. γᾶς παρ' ὀμφαλὸν εὐρὺν Πα. 6. 120. οἷαν Βρομίου [τελε]τὰν καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Οὐρανίδαι ἐν μεγάροις ἵσταντι Δ. 2. 7. οἵ τ' ἀργίλοφον πὰρ Ζεφυρίου κολώναν ν[fr. 140b. 5. Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας ἔσχατον Νείλου κέρας fr. 201. 1. c. *contrary to, against* ἐν δίκᾳ τε καὶ παρὰ δίκαν Ο. 2. 16. "φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαὶ θαμάκι παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον" Ο. 4. 27. μὴ παρὰ καιρὸν Ο. 8. 24. τὸ καυχᾶσθαι παρὰ καιρὸν μανίαισιν ὑποκρέκει Ο. 9. 38. πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν Ο. 12. 10. καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα — κτίσιν Ο. 13. 83. τί κομπέω παρὰ καιρόν; Ρ. 10. 4. τὸ δὲ πὰρ δίκαν γλυκὺ πικροτάτα μένει τελευτά. Ι. 7. 47. d. *past, by* α. παρὰ σκοπὸν οὐ χρὴ τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν Ο. 13. 94. μαθὼν δέ τις ἀνερεῖ, εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων (i. e. εἰ λοξὰ καὶ οὐκ ἀληθῆ λέγω Σ.) Ν. 7. 69. οὐ πὰρ σκοπόν fr. 6a. g. παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς fr. 234. β. met., *beyond, exceeding, past* παρ' αἶσαν ἐξερεθίζων Ρ. 8. 13. e. *side by side with, in comparison with* ἐν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι Ρ. 3. 81. "εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι, ἐρέω" Ρ. 9. 50. σὲ δ' ἐγὼ παρά μιν αἰνέω μέν, Γηρυόνα (παρ' ἀμὶν v. l. in codd. Aristidis, sed v. Σ ad loc., παρ' αὐτὸν τὸν 'Ηρακλέα) fr. 81 ad Δ. 2. παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων fr. 206. f. *for the sake of* οὐ χθόνα ταράσσοντες — οὐδὲ πόντιον ὕδωρ κενεὰν παρὰ δίαιταν Ο. 2. 65. g. of alternation, Κάστορος βίαν, σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν, τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας, τὸ δ' οἰκέοντας ἔνδον 'Ολύμπου *every second day* Ρ. 11. 63.

2. c. gen., a. *from* of motion from, *from beside* ἵκων δ' — παρ' εὐηράτων σταθμῶν Ο. 5. 9. "ἀντρόθε γὰρ νέομαι πὰρ Χαρικλοῦς καὶ Φιλύρας" Ρ. 4. 103. κωμάσομεν παρ' 'Απόλλωνος Σικυωνόθε, Μοῖσαι, τὰν νεοκτίσταν ἐς Αἴτναν Ν. 9. 1. Θέμιν — 'Ωκεανοῦ παρὰ παγᾶν Μοῖραι — ἆγον fr. 30. 2. b. *from* without

motion, α. παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν σχεθέμεν O. 1. 70. ἀρέομαι πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν μισθόν P. 1. 76. εἴ τι καὶ φλαῦρον παραιθύσσει μέγα τοι φέρεται πὰρ σέθεν P. 1. 88. χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν P. 3. 59. εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλών P. 5. 21. β. of place of origin. συμβαλεῖν δ' εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας, — καὶ παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον ἐκ Μελανίπποιο μάτρωος (Bergk: ῥοὰν codd.) N. 11. 36. c. πὰρ ποδός, *at* γνόντα τὸ πὰρ ποδὸς P. 3. 60. τῶν δ' ἕκαστος ὀρούει, τυχὼν κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός P. 10. 62.

3. c. dat. a. *beside, by* of place. παρ' Ἀλφεῷ O. 1. 20. πὰρ ποδί O. 1. 74. παρὰ βωμῷ O. 1. 93. παρ' Ἀλφειῷ O. 7. 15. παρὰ Κασταλίᾳ O. 7. 17. πὰρ Κρόνου λόφῳ O. 8. 17. ἀρχαίῳ σάματι πὰρ Πέλοπος O. 10. 24. παρ' εὐκλέι Δίρκᾳ O. 10. 85. συγγόνῳ παρ' ἑστίᾳ O. 12. 14. ὁμιλέων παρ' οἰκείαις ἀρούραις O. 12. 19. κόλποις παρ' εὐδόξοις Πίσας O. 14. 23. παρὰ Βοιβιάδος κρημνοῖσιν P. 3. 34. "Καφισοῦ παρ' ὄχθαις" P. 4. 46. παρὰ καλλιχόρῳ ναίοισι πόλι Χαρίτων (καλλίχορον — πόλιν Theon) P. 12. 26. παρὰ μὲν ὑψιμέδοντι Παρνασσῷ (Tricl.: πὰρ codd.) N. 2. 19. Παλίου δὲ πὰρ ποδί N. 4. 54. [παρὰ Κασταλίᾳ τε (v. l. Κασταλίαν) N. 6. 37.] τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων N. 6. 55. Κρονίου πὰρ τεμένει N. 6. 61. παρὰ πεζοβόαις ἵπποις τε N. 9. 34. Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοισ' N. 10. 18. (χαλκὸν) Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ N. 10. 48. ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Διὶ νέμονται N. 10. 55. παρὰ Κασταλίᾳ καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου N. 11. 24. ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ πὰρ Εὐρώτᾳ πέλας I. 1. 29. Καΐκου παρ' ὄχθαις I. 5. 42. παρ' εὐτειχέσιν Κάδμου πύλαις I. 6. 76. παρὰ καλλιρόῳ Δίρκᾳ I. 8. 19. Ζηνὶ μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν I. 8. 35. ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ fr. 241. b. *in the presence of,* α. *with, by the side of, among* παρὰ μὲν τιμίοις θεῶν O. 2. 65. ἀκίνδυνοι δ' ἀρεταὶ οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις τίμιαι O. 6. 10. Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι P. 1. 58. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις P. 2. 25. παρὰ τυραννίδι P. 2. 87. καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις P. 3. 93. σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ σταμεν P. 4. 1. παρὰ ματρὶ μένειν P. 4. 186. Κόλχοισιν βίαν μεῖξαν Αἰήτᾳ παρ' αὐτῷ P. 4. 213. (Ὑπερβορέων), παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας P. 10. 31. γάμον δαίσαντα πὰρ Δὶ Κρονίδᾳ N. 1. 72. νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον ἀμφέπων ναίει I. 4. 58. σεμνᾷ μὲν κατάρχει Ματέρι πὰρ μεγάλᾳ ῥόμβοι τυπάνων Δ. 2. 9. παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος i. e. in their country Θρ. 7. 7. β. met., *with* καλός τοι πίθων παρὰ παισίν, αἰεὶ καλός *in the opinion of* P. 2. 72. κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών, πάντα ἰσάντι νόῳ *in the judgement of* P. 3. 28. αἰὼν δ' ἀσφαλὴς οὔτ' ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ οὔτε παρ' ἀντιθέῳ Κάδμῳ P. 3. 87.

4. a. in tmesis. "παρά τις ἔτρεψεν ἄμμι θεός" (v. παρατρέπω) I. 8. 10. b. fragg. τὶν μὲν [πά]ρ μιν[—] ἐμὶν δὲ πά[ρ] κεῖνοι[σ Πα. 10. 18—9]ν πάρα Πα. 22. 9. νέ]μομαι παρὰ[fr. 215b. 9.

παρᾱγορέομαι] *exhort* οὐλίῳ μιν ἐν Ἄρει παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι δαμασιμβρότου αἰχμᾶς O. 9. 77.

παρᾱ́γω] *seduce* ἢ ἑτέρῳ λέχει δαμαζομέναν ἔννυχοι πάραγον κοῖται; (sc. Κλυταιμήστραν) P. 11. 25. σοφία δὲ κλέπτει παράγοισα μύθοις N. 7. 23.

παραδέχομαι] *inherit* τέκεν ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παραδεξαμένους παῖδας O. 7. 72.

παραδίδωμι] *grant* ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ' P. 2. 52. πότμου παραδόντος (sc. πλοῦτον) P. 5. 3. Ἰαολκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν N. 4. 56. "ἀλλ' ἄγε

τῶνδέ τοι ἔμπαν αἵρεσιν παρδίδωμ'" Zeus speaks N. 10. 83.

παραθαλάσσιος] *by the sea* Εὐρυνόμα Χάριτ[ας] π[αραθαλα]σσίας ἔτικτεν (supp. Bergk, Snell: "Eurynome cum sit Oceani filia, in maris fundo Gratias partu edidit." Bergk) ? fr. 333a. 11.

παραιθύσσω] a. intrans., *fly out* of sparks. εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται πὰρ σέθεν *any small spark struck out*, Bowra P. 1. 87. b. trans., *make to fly out, emit* met. καὶ συμμαχία θόρυβον παραίθυξε μέγαν O. 10. 73.

παραινέω] *advise, make aware* of, c. acc. & dat. ἐφημοσύναν, τά ποτ' ἐν οὔρεσιν φαντὶ μεγαλοσθενεῖ Φιλύρας υἱὸν ὀρφανιζομένῳ Πηλεΐδᾳ παραινεῖν P. 6. 23. υἱοῖσί τε φράζων παραινεῖ (sc. τοῦτ' ἔπος) I. 6. 68.

παραιτέω] med., *beg for oneself* οὐδ' ἀμόχθῳ καρδίᾳ προσφέρων τόλμαν παραιτεῖται χάριν (sc. τὰ 'Ολύμπια νικῆσαι Σ.) N. 10. 30.

παράκειμαι] *lie beside* παρκείμενον δὲ συλλαβὼν τέρας O. 13. 73. met., ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς ὁ θνατὸς αἰών, φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον (ὡς δεῖ περὶ τοῦ παρόντος φροντίζειν Σ.) N. 3. 75.

παρακοινάω] med., *confide* c. acc. & dat., πάντα λόγον — συγγενέσιν παρεκοινᾶθ'. P. 4. 133.

παραλέχομαι] *lie with* c. dat., ἐπεὶ νεφέλᾳ παρελέξατο P. 2. 36.

παραλύω] *release from* c. acc. & gen., τὸ δὲ τυχεῖν πειρώμενον ἀγωνίας ἀφροσύνας παραλύει (παραλύει δυσφρονᾶν Dindorf.) O. 2. 52.

παρᾰμείβω] med. (cf. παραμεύομαι.)
a. *overtake* θεός, ὃ — καὶ θαλασσαῖον παραμείβεται δελφῖνα P. 2. 50.
b. *lead astray* θυμέ, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι; (Boeckh: -αμείβῃ, -αμείβη codd.: παραμείβεις Maas.) N. 3. 27.

παραμένω] *stand fast* ἦ κεν ἀμνάσειεν οἵαις ἐν πολέμοισι μάχαις τλάμονι ψυχᾷ παρέμειν'. P. 1. 48. υἱοὺς — παρμένοντας αἰχμᾷ P. 8. 40. met., εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων — μὴ κάμνε λίαν δαπάναις P. 1. 89.

παράμερος] *daily, coming each day* τὸ δ' αἰεὶ παράμερον ἐσλόν O. 1. 99.

παρᾰμεύομαι] = παραμείβομαι, *surpass* εἰ δὲ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους (Hartung: ἄλλων codd.) N. 11. 13.

παραπειράομαι] *make test of* c. gen., Οὐλυμπία — ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου, εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι O. 8. 3.

παραπλάζω] a. act., *cause to wander* αἱ δὲ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν O. 7. 31. b. pass., *go astray* met. οὐδ' Ὑπερμήστρα παρεπ'λάγχθη, μονόψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος N. 10. 6.

παραστάτας] *comrade in arms* Τελαμὼν 'Ιόλᾳ παραστάτας ἐὼν N. 3. 37.

παρασφάλλω] *thwart* τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν — θυμὸς ἄτολμος ἐὼν N. 11. 31.

παρατ'ρέπω] *turn aside* ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε†Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός, ἀτόλματον 'Ελλάδι μόχθον I. 8. 10.

παράτ'ροπος, -ον] *illicit* εὐναὶ δὲ παράτροποι P. 2. 35.

παρδᾰλέα] *leopard skin* ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους P. 4. 81.

πάρεδ'ρος] (-ος, -ον, -ε.) *one who sits beside, partner* 'Ραδαμάνθυος, ὃν πατὴρ ἔχει μέγας ἑτοῖμον αὐτῷ πάρεδρον O. 2. 76. σώτειρα Διὸς ξενίου πάρεδρος — Θέμις O. 8. 22. χρυσέων Διὸς αἰετῶν πάρεδρος — ἱέρεα P. 4. 4. 'Ελείθυια, πάρεδρε Μοιρᾶν βαθυφρόνων N. 7. 1. ἥρα χαλκοκρότου πάρεδρον Δαμάτερος ἀνίκ' εὐρυχαίταν ἄντειλας Διόνυσον; I. 7. 3. π]άρεδρογ[(supp. Lobel) fr. 60. 10.

[**πάρειμι,** *go past* θαῦμα δὲ καὶ παριόντων ἀκοῦσαι (v. l. παρεόντων) P. 1. 26.]

πάρειμι] *be present* ἐν δὲ φίλων παρεόντων θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς O. 7. 6. τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι (παριόν-

των v. l) P. 1. 26. "τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν ἄλλοτ' ἀλλοῖα φρόνει" fr. 43. 4. met., τὸ καὶ ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ *is true for* O. 6. 18.

παρέλκω] *draw aside* ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος, καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν ἔξω φρενῶν O. 7. 46.

παρέχω, παρίσχω] (παρέχει, -οντι, παρίσχει; παρέχοι; -έχων, -έχοισα; -έχειν: aor. παράσχοι; -σχεῖν.) **a.** *grant* θεὸς τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων O. 6. 102. εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν — εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι P. 1. 46. τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται. δαίμων δὲ παρίσχει P. 8. 76. κεράιζεν ἀγρίους θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον βουσὶν εἰρήναν παρέχοισα πατρῴαις P. 9. 23. Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων ἕνεκεν N. 6. 33. γινώσκομαι δὲ καὶ μοῖσαν παρέχων ἅλις Πα. 4. 24. ἀνδ]ρὶ σοφῷ παρέχει μέλος Πα. 18. 3. add. pr. adj., δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων (sc. Φερένικος) O. 1. 21. ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων O. 1. 39. ἰατῆρά τοι κέν μιν πίθον καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος P. 3. 66. εἰ μισθοῖο συνέθευ παρέχειν φωνὰν ὑπάργυρον P. 11. 41.
b. *allow* **α.** c. dat. & inf. βουλαὶ δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος σε ποτὶ πάντα λόγον ἐπαινεῖν παρέχοντι P. 2. 67. **β.** impers., c. dat. & inf., *it is allowed* τὸν αἰνεῖν ἀγαθῷ παρέχει (Tricl.: παρέχειν cod.) I. 8. 69.

[παρήκω παρήκει (v. l. παρίκει) P. 6. 43.**]**

παρθενήιος] *of young girls* Ὥρα πότνια — ἅ τε παρθενηίοις παίδων τ' ἐφίζοισα γλεφάροις N. 8. 2. ἐμὲ δὲ πρέπει παρθενήια μὲν φρονεῖν γλώσσᾳ τε λέγεσθαι *think maiden thoughts* Παρθ. 2. 34.]σ' ἀγλαὸν μέλος [παρ]θενηίας ὀπὸς εὐηρατ[?fr. 333a. 14.

παρθενία] *virginity* "ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας" (sc. Θέτις) I. 8. 45.

παρθενικά] (sc. κόρα) *unmarried girl* ἄφωνοί θ' ὡς ἕκασται φίλτατον παρθενικαὶ πόσιν ἢ υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν P. 9. 99.

παρθένιος, -ον] *of an unmarried girl, woman* κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις (sc. Εὐάδνα) O. 6. 31. (θρῆνον). τὸν παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς ἄιε λειβόμενον i. e. of the Gorgons P. 12. 9. λυσίμβροτον παρθενίᾳ κε[Πα. 8. 80. Αἰολάδα σταθμὸν — ὑμνήσω στεφάνοισι θάλλοισα παρθένιον κάρα a chorus of girls sings Παρθ. 2. 12. πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι a cult title in Arcadia O. 6. 88.

παρθένος] (-ος, -ου, -οιο coni., -ῳ, -ον; -οι, -ων, -οισι.) *unmarried girl* ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον Hippodameia O. 1. 88. Ζεφυρία — Λοκρὶς παρθένος P. 2. 19. ἅλικες οἷα παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς P. 3. 18. ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει παρθένος Koronis P. 3. 34. ἔνεικέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ Cyrene P. 9. 6. ἄκουσεν Δαναόν ποτ' ἐν Ἄργει οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι — γάμον i. e. his daughters P. 9. 113. παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν the daughter of Antaios P. 9. 122. παντᾷ δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται P. 10. 38. τὸν Ἱπποκλέαν — θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις, νέαισίν τε παρθένοισι μέλημα P. 10. 59. ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρθένοι στάν the Muses I. 8. 57. ἱστάμεναι χορὸν [ταχύ]ποδα παρθένοι Πα. 2. 100. ἀλλὰ παρθένοι γάρ, ἴσθ' ὅτι, Μοῖσαι, πάντα Πα. 6. 54. βαθύκολπον ἀνερέψατο παρθένον Αἴγιναν Πα. 6. 136.] . . παρθ[έ]νῳ σὺν πρμ[Πα. 7C. a. 4. Λάκαινα μὲν παρθένων ἀγέλα fr. 112. ἔστι μοι πατρίδ' ἀρχαίαν κτενὶ Πιερίδ[ων ὥ]στε χαίταν παρθένου ξανθ[(ἀγάλλειν e. g. supp. Snell) fr. 215. 7. as epith. of Artemis, ἰοχέαιρα παρθένος P. 2. 9. of Athene, κυάναιγις — παρθένος O. 13. 71. παρ-

θένος αὐλῶν τεῦχε πάμφωνον μέλος P. 12. 19. of Hekate, φοινικόπεζα — παρθένος εὐμενὴς Ἑκάτα Πα. 2. 77. of the Sphinx, αἴνιγμα παρθένοι' ἐξ ἀγριᾶν γνάθων (Snell: παρθένου codd.) fr. 177d. frag., τὸ δὲ παρθε[ν ?fr. 333a. 12.

παρίημι] *pass over* μὴ παρίει καλά P. 1. 86.

παρίκω] *go past* τὰ μὲν παρίκει· τῶν νῦν δὲ (v. l. παρήκει) P. 6. 43.

Πάριος] *Parian* from the island of Paros. στάλαν θέμεν Παρίου λίθου λευκοτέραν N. 4. 81.

Πάρις] son of Priam, v. also Ἀλέξανδρος. Πάριος ἐκ βελέων δαιχθεὶς (sc. ἵππος Νέστορος) P. 6. 33.]δν ἐμβα[λ —] Πάριος ἐ[καβόλος βροτη]σίῳ δέμαι θεός Πα. 6. 79.

παρίστᾱμι] (aor. 1, παρέστᾱσεν; aor. 2, παρέστα, -έσταν: pf. παρέστᾱκε: med. παρισταμένων.) a. trans., *set beside* τᾷ μὲν ὁ Χρυσοκόμας πραΰμητίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας (παρέστασ' ἔν τε coni. Peek, Phil., 1958, 319) O. 6. 42. b. intrans., *stand by* Μοῖσα δ' οὕτω ποι παρέστα μοι O. 3. 4. υἱῶν, Ψαῦμι, παρισταμένων O. 5. 23. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν O. 10. 52. κώμῳ μὲν ἀδυμελεῖ Δίκα παρέστακε P. 8. 71.

παρίσχω] v. παρέχω.

πάρκειμαι] v. παράκειμαι.

παρμένω] v. παραμένω.

παρμόνιμος] *abiding by* c. dat. οὕτω κ' ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν pr. P. 7. 20.

πάρμονος] *abiding* σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος pr. N. 8. 17.

Παρνάσσιος] *of Parnassos* ὑπ' ὀφρύι Παρνασσίᾳ at Delphi O. 13. 106. ἀνδριάντι — Κρῆτες ὃν τοξοφόροι τέγει Παρνασσίῳ καθέσσαντο i. e. in a Delphic temple P. 5. 41. ὁ Παρνάσσιος αὐτὸν μυχὸς — ἀνέειπεν at the Pythian games P. 10. 8. ἀμφί τε Παρ[νασ]σίαις πέτραις ὑψηλαῖς Πα. 2. 97.

Παρνασσίς] f. adj., *of Parnassos* ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασσίδι (Boeckh: Παρνασίᾳ codd.) P. 8. 20. παρ]νασσίδ̣ι̣ (supp. Lobel: -ιδι Π[pc]: -ιοι Π[ac]) fr. 215b. 10.

Παρνασσός] (-οῦ, -ῷ.) the mountain complex of Parnassos. Παρνασσοῦ καταβάντε δόμον ἔθεντο πρῶτον sc. Pyrrha and Deukalion O. 9. 43. Φοῖβε, Παρνασσοῦ τε κράναν Κασταλίαν φιλέων (v. l. Παρνασσῷ) P. 1. 39. Στροφίον — Παρνασσοῦ πόδα ναίοντ' in Phokis P. 11. 36. παρὰ μὲν ὑψιμέδοντι Παρνασσῷ τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν N. 2. 19.]ε Παρνασσοῦ θεμε[θλ ?fr. 338. 5.

πάροιθε] *before* τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤδη πάροιθε λελέχθαι O. 13. 102. τῶν πάροιθε γενέσθαι ὑπέρτερον P. 2. 60. ἦν γὰρ τὸ πάροιθε fr. 33d. 1. πολ]λὰ μὲν τὰ παροιθ[Παρθ. 2. 31.

παροίχομαι] *be gone* met., *be dead* παροιχομένων γὰρ ἀνέρων, ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν N. 6. 29. ἀλλ' ἐμοὶ δεῖμα μὲν παροιχόμενον καρτερὰν ἔπαυσε μέριμναν (Benedictus, cf. Schadewaldt 279[a]: παροιχομένων codd., Π, def. Wil.) I. 8. 11.

πάρος] a. *formerly* τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν εὔφρανας; I. 7. 1. ἐλαύνεις τι νεώτερον ἢ πάρος; Πα. 9. 6. b. *beforehand* ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ, πάρος μέλαιναν καρδίαν ἐστυφέλιξεν (Nauck: πρὸς codd.) fr. 225.

Πάρος] the island. μνάσθηθ' ὅτι τοι ζαθέας Πάρου ἐν γυάλοις ἕσσατο ἄνακτι βωμὸν (sc. Ἡρακλέης) fr. 140a. 63 (37). cf. titulum, Πα. 19. 3.]ΑΡΙΟΙΣ[.

παρπόδιος] *at one's feet* met., cf. ποῦς c. παῦροι δὲ βουλεῦσαι φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας χερσὶ καὶ ψυχᾷ δυνατοί N. 9. 38.

Παρράσιος] *of Parrhasia*, a region of Arkadia. τὰ δὲ Παρρασίῳ στρατῷ θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου O. 9. 95.

πάρφᾱμι] *speak, utter insincerely* πολλά

γάρ μιν παντὶ θυμῷ παρφαμένα λιτάνευεν N. 5. 32. c. acc. ἐκέλευσεν — χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν μὴ παρφάμεν O. 7. 66. "καὶ γὰρ σέ — ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον" P. 9. 43.

πάρφᾰσις] *misrepresentation* ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι, αἱμύλων μύθων ὁμόφοιτος δολοφραδής, κακοποιὸν ὄνειδος N. 8. 32.

παρφυκτός] *to be avoided* τὸ δὲ μόρσιμον οὐ παρφυκτόν (v. l. οὔ πα φυκτόν) P. 12. 30.

πᾶς] (πᾶς, παντί, πάντ(α), πάντες, πάντων, πάντας; πᾶσα, -ας, -αν, -αι, -ᾶν, -αισ(ι), -ας; πάν, παντός, παντί, πάν & πᾶν, πάντα, πάντων, πᾶσι(ν), πάντ(α): the form πᾶν is rejected altogether by Schr., Proll., p. 23, but retained by Snell, I. 4. 48, fr. 122. 9?. The α is guaranteed short O. 2. 85, but long I. 4. 48, where however a digamma follows: v. Radt on Pa. 6. 180.)

1. *(the) whole (of); all the* **a.** preceded by art. ὁ πᾶς χρόνος P. 1. 46. pro subs., πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμανέων χατίζει (Beck: πᾶν codd.: ?*on the whole*) O. 2. 85. τί θεός; τὸ πάν (Schr.: πᾶν codd.) fr. 140d. **b.** without art. οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα θεοῖο γόνον *in this whole time* O. 6. 36. ἔλσαις ὅλον τε στρατὸν λᾶαν τε πᾶσαν O. 10. 44. ἀείδετο δὲ πὰν τέμενος (Schr.: πᾶν codd.) O. 10. 76. δεῖξέν τε — πᾶσαν τελευτὰν πράγματος O. 13. 75. καὶ πᾶσαν κάτα 'Ελλάδ' O. 13. 112. πάντα λόγον θέμενος σπουδαῖον — παρεκοινᾶθ' P. 4. 132. εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν P. 8. 30. κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν παντὶ θυμῷ — ἔννεπεν P. 9. 96. ὁ δέ οἱ φράζε καὶ παντὶ στρατῷ N. 1. 61. πολλὰ γάρ μιν παντὶ θυμῷ παρφαμένα λιτάνευεν N. 5. 31. [πᾶσα πόλις (sic interp. Σ.) N. 5. 47.] εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν, ἀμφότερον δαπάναις τε καὶ πόνοις I. 1. 41. πλαγίαις δὲ φρένεσσιν οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ I. 3. 6. χρὴ παντὶ λαῷ δεικνύναι fr. 42. 4. ""Ιλιον πᾶσάν νιν ἐπὶ π[έδον] κατερεῖψαι" Πα. 8A. 22.

2. *all, every* **a.** adj. ἀρετᾶν ἄπο πασᾶν O. 1. 13. αὐτὰ δέ σφισιν ὤπασε τέχναν πᾶσαν O. 7. 51. ἔα πόλεμον μάχαν τε πᾶσαν χωρὶς ἀθανάτων O. 9. 40. ἔργων πρὸ πάντων O. 10. 23. ἀλλὰ πάντων ταμίαι ἔργων ἐν οὐρανῷ O. 14. 9. ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι P. 1. 41. σε ποτὶ πάντα λόγον ἐπαινεῖν P. 2. 66. ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει P. 2. 86. "ἀγρούς τε πάντας" P. 4. 149. πράγματι παντὶ P. 4. 278. πάσαισι γὰρ πολίεσι P. 7. 9. "τέλος οἶσθα καὶ πάσας κελεύθους" P. 9. 45. ἔν τε καὶ πᾶσιν ἐπιχωρίοις P. 9. 102. γόνον τέ οἱ φέρτατον ἀτίταλλεν ἐν ἀρμένοισι πᾶσι θυμὸν αὔξων (Mingarelli: πάντα codd., fort. recte) N. 3. 58. ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά, στεῖχ' ἀπ' Αἰγίνας N. 5. 2. πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι πάντων N. 5. 41. χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις (contra Σ, πᾶσα ἡ πόλις) N. 5. 47. ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα ἔργῳ N. 7. 52. βίαια πάντ' ἐκ ποδὸς ἐρύσαις N. 7. 67. πὰν δὲ τέλος ἐν τὶν ἔργων (Schr.: πᾶν codd.) N. 10. 29. κείνου γὰρ ἐπιχθονίων πάντων γένετ' ὀξύτατον ὄμμα N. 10. 62. δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν N. 11. 40. γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ πέταται I. 1. 49. καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας I. 2. 39. ἄλλοτε δ' ἀλλοῖος οὖρος πάντας ἀνθρώπους ἐπαίσσων ἐλαύνει I. 4. 6. ἐπέψαυσαν κατὰ πὰν τέλος (Schr.: πᾶν codd.) I. 4. 11. γαίας τε πάσας καὶ βαθύκρημνον πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ I. 4. 55. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς I. 6. 56. τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ βλέπειν χρῆμα πάν (Schr.: πᾶν codd.) I. 8. 14. Χάρισι πάσαι[ς fr. 6e. ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων fr. 33. "πάσαις πολίεσσιν ὁμιλεῖ" fr. 43. 3.

κατὰ πᾶσαν ὁδὸν Πα. 4. 6. ὁ πάντα τοι τά τε καὶ τὰ τεύχων Πα. 6. 132. τὸ πάντων ἔργων ἱερώτ[ατον Πα. 8. 74.]α πᾶσαι[— ἀ]μφίπολ[οι] Κεφ[αλ]λαν[Πα. 20. 18. παντὶ δ' ἐπὶ φθόνος ἀνδρὶ κεῖται ἀρετᾶς Παρθ. 1. 8. προβάτων γὰρ ἐκ πάντων κελάρυξεν — θηλᾶν γάλα *fr. 104b. 1.* πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν fr. 124. 7. add. adj., διείργει δὲ πᾶσα κεκριμένα δύναμις *their completely disparate power* N. 6. 2. ἡ γυναικείῳ θράσει †ψυχρὰν† φορεῖται πᾶσαν ὁδὸν θεραπεύων fr. 123. 9. pr. adj., *in full, to the full*, σὺν γὰρ ὑμῖν τά τε τερπνὰ καὶ τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς O. 14. 6. πᾶσαν εὐφροσύναν τάνυεν P. 4. 129. ἀλλ' Ὁμηρός τοι τετίμακεν δι' ἀνθρώπων, ὃς αὐτοῦ πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν I. 4. 38. b. subs., *everyone, everything* Χρόνος ὁ πάντων πατὴρ O. 2. 17. πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον O. 2. 77. χρὴ δὲ κατ' αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον P. 2. 34. σαίνων ποτὶ πάντας P. 2. 82. πάντα ἰσάντι νόῳ P. 3. 29. λέξατο πάντας ἐπαινήσαις Ἰάσων P. 4. 189. παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν P. 5. 25. "κύριον ὃς πάντων τέλος οἶσθα" P. 9. 44. ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν P. 9. 79. τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς N. 1. 53. τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν N. 6. 56. φαῖμέν κε γείτον' ἔμμεναι — χάρμα πάντων ἐπάξιον N. 7. 88. βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος μοῖραν ἐσλῶν N. 10. 19. πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον N. 10. 86. πάντα δ' ἐξειπεῖν ὅσ' ἀγώνιος Ἑρμᾶς Ἡροδότῳ ἔπορεν ἵπποις I. 1. 60. χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν (πὰν Schr.) I. 4. 48. πάντ' ἔχεις I. 5. 14. Ζεὺς ὁ πάντων κύριος I. 5. 53. ἀλλὰ παρθένοι γάρ, ἴσθ' ὅτι, Μοῖσαι, πάντα Πα. 6. 55.]παντα σφιν ἔφρα[σ Πα. 8. 86. ὀλοφύρομαι οὐδέν, ὅ τι πάντων μέτα πείσομαι Πα. 9. 21. σὺν δ' ἀνάγκᾳ πὰν καλόν (Schr.: πᾶν codd. Athenaei) fr. 122. 9. σῶμα μὲν πάντων ἕπεται θανάτῳ fr. 131b. 1. θεὸς ὁ πάντα τεύχων βροτοῖς (τὰ πάντα v. l.) fr. 141. Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων fr. 169. 1. πάντα θύειν ἑκατόν *make all sacrifices in hundreds* fr. 170. add. gen. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῶν O. 1. 100. 3. fragg. & dub. [ὀργαῖς πάσαις (codd. contra metr.: ἄρχεις Bowra, alii alia) P. 6. 50.] [νωμᾷ πάσαις (codd. contra metr.: νεῖμ' ἀπάσαις Hermann) I. 2. 22.] στεφα]νοισι παν[(v. l. νιν ap. Σ.) Πα. 6. 180.]τι πᾳντᾳ[Δ. 4. c. 4. πάντ' ἐπ' οἶμον *fr. 107a. 6*. πάντων γὰρ ὑπέρβιος ανα[fr. 140a. 54 (28). ἐπεὶ πᾳγτᾳ[?fr. 334a. 11.

Πᾶσιφάα] wife of Minos. Εὐξαντίου — [Κρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν, πολίων δ' ἑκατὸν πεδέχειν μέρος ἕβδομον Πασιφάας ⟨σὺν⟩ υἱ[οῖ]σι (the Σ mentions 6 sons) Πα. 4. 38.]πασιφ[(at alia possis) ?fr. 344. 8. test., Theophrast. ap. Porphyr., de abstinentia, 3. 16, Πίνδαρος δὲ ἐν προσοδίοις πάντας τοὺς θεοὺς ἐποίησεν, ὅτε (Nauck: ὁπότε codd.) ὑπὸ Τυφῶνος ἐδιώκοντο, οὐκ ἀνθρώποις ὁμοιωθέντας, ἀλλὰ τοῖς ἄλλοις (ἀλόγοις coni. Wesseling) ζῴοις. sequuntur haec, ἐρασθέντα δὲ Πασιφάης (φασὶ coni. Bergk) Δία γενέσθαι ⟨νῦν Abresch⟩ μὲν ταῦρον, νῦν δὲ ἀετὸν καὶ κύκνον fr. 91, cf. Griffiths, Hermes, 1960, 374.

πάσσᾰλος] *peg* ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου λάμβαν' O. 1. 17. πα]σσαλο[P. Oxy. 1792, fr. 50.

πάσχω] (πάσχων; πάσχειν: fut. πείσομαι: aor. ἔπᾰθεν, (ἔ)πᾰθον; πᾰθών, -όντες; πᾰθεῖν.) a. in bad sense, *suffer* Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα O. 2. 23. ἦ πόλλ' ἀμφὶ κρουνοῖς Πάγασον ζεῦξαι ποθέων ἔπαθεν O. 13. 64. οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον P. 1. 73. τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ ἐξαίρετον ἕλε μόχθον P. 2. 29. οἷα καὶ πολλοὶ πάθον P. 3. 20. ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν N. 4. 32. καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι

Διός N. 10. 65. [τί πείσομα[ι] (πείθομαι Π⁵) Πα. 7B. 42, v. πείθω.] ὀλοφύρομαι οὐδέν, ὅ τι πάντων μέτα πείσομαι Πα. 9. 21. **b.** in good sense **α.** εὖ πάσχω, *enjoy success* τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων P. 1. 99. χρὴ πρὸς μακάρων τυγχάνοντ' εὖ πασχέμεν P. 3. 105. ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις ἐξαρκέων N. 1. 32. εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ I. 5. 13. **β.** *experience, enjoy* τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ P. 8. 6. τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν P. 9. 89. κάρυκες ὡρᾶν ἀνέγνον (sc. Νικόμαχον), σπονδοφόροι Κρονίδα Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον I. 2. 24. ὁ δ' ἐθέλων τε καὶ δυνάμενος ἁβρὰ πάσχειν fr. 2. 1. **c.** frag., ο]ὐκ αἰσχρὸν πάθοις Πα. 13. b. 6.

πάτᾰγος] *crash* πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα σὺν πατάγῳ P. 1. 24.

πᾰτέω] *walk* εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν O. 1. 115. ὑποθεύσομαι ἄλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς P. 2. 85.

πᾰτήρ] (πατήρ, πατέρος, πατρός, πατρί, πατέρ(α), πάτερ; πατέρες, πατέρων.) 1. *father* υἱὲ Ταντάλου, — ὁπότ' ἐκάλεσε πατὴρ O. 1. 37. Πισάτα παρὰ πατ'ρὸς Oinomaos O. 1. 70. πατ'ρὶ — βωμῶν ἁγισθέντων Zeus O. 3. 19. ὃν πατέρ' Ἄκρων' ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν O. 5. 8. Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν πατρός O. 6. 50. εὖτ' ἂν — Ἡρακλέης — πατρὶ ἑορτάν τε κτίσῃ Zeus O. 6. 68. ἄνδρα — πατέρα τε Δαμάγητον O. 7. 17. πατ'ρὶ δὲ πατ'ρὸς ἐνέπνευσεν μένος O. 8. 70. ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ ποθεινὸς O. 10. 86. πατρὸς δὲ Θεσσαλοῖ' O. 13. 35. Πτοιοδώρῳ σὺν πατρὶ O. 13. 41. καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ O. 13. 53. τοῖσι μὲν ἐξεύχετ' ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν O. 13. 61. "Δαμαίῳ — πατρὶ δεῖξον" Poseidon, reputed father of Bellerophon O. 13. 69. ἔλθ', Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ' ἀγγελίαν Kleodamos O. 14. 21. χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος P. 1. 59. ἀμφοτέροις ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατ'ρός Kentauros P. 2. 48. κρύβδαν πατρός P. 3. 13. ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος P. 3. 67. "πατρὸς ἐμοῦ" Aison P. 4. 106. ὀφθαλμοὶ πατρός Aison P. 4. 120. πατὴρ Βορέας P. 4. 182. πατέρ' Οὐρανιδᾶν — Ζῆνα P. 4. 194. πατρὶ τεῷ, Θρασύβουλε Xenokrates P. 6. 15. (Ἀντίλοχος) ὃς ὑπερέφθιτο πατ'ρός Nestor P. 6. 30. πρίατο μὲν θανάτοιο κομιδὰν πατρός P. 6. 39. "φυᾷ τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων παισὶ λῆμα" P. 8. 45. πατὴρ δὲ θυγατρὶ φυτεύων κλεινότερον γάμον Antaios P. 9. 111. τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς P. 10. 12. Ὀρέστα· τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε Agamemnon P. 11. 17. ἢ πατρὶ Πυθονίκῳ τό γέ νυν ἢ Θρασυδᾴῳ P. 11. 43. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀλίῳ σὸς πατὴρ ἐθάλπετο N. 4. 14. πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων θυμὸν N. 7. 91. Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα N. 8. 16. πατ'ρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε Talaos N. 10. 12. ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν N. 11. 11. τὰν Ἀσωποδώρου πατ'ρὸς αἶσαν I. 1. 34. Αἴαντος Τελαμωνιάδα καὶ πατρός I. 6. 27. πατ'ρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον I. 8. 2. πατ'ρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων ὁπλόταται Asopos I. 8. 17. πεπρωμένον ἦν φέρτερον πατέρος ἄνακτα γόνον τεκεῖν ποντίαν θεόν (Ahlwardt: γόν. ἄν. πατρὸς codd.: φέρτερόν γε γόνον Bury) I. 8. 32.]ν ἀπὸ καὶ πατρός Πα. 7C. 9.]υσε πατέρα Γοργόν[ων Phorkos Δ. 1. 5. μ]έμηλεν πατρὸς νόῳ Δ. 4. 35. pl. pro s., γόνον ὑπάτων μὲν πατέρων μελπόμενοι γυναικῶν τε Καδμειᾶν i. e. Dionysos, son of Zeus and Semele fr. 75. 11.

2. *ancestor* εὐωνύμων τε πατέρων

ἄωτον O. 2. 7. σάφα δαεὶς ἅ τε οἱ πατέρων ὀρθαὶ φρένες ἐξ ἀγαθῶν ἔχρεον O. 7. 91. "λευκίππων δὲ δόμους πατέρων — φράσσατέ μοι" P. 4. 117. φῶτες Αἰγεΐδαι, ἐμοὶ πατέρες P. 5. 76. πατρὸς δ' ἀμφοτέραις ἐξ ἑνὸς ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει P. 10. 2.]Φόρκοιο, σύγγονον πατέρων Δ. 1. 17, cf. O. 13. 61, 69.

3. met. a. *guardian* βασιλεύς, — οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ Hieron P. 3. 71. ζαθέων ἱερῶν πάτερ, κτίστορ Αἴτνας fr. 105. 3. b. φορμιγκτὰς ἀοιδᾶν πατήρ, — Ὀρφεύς P. 4. 176.

4. epith. of various deities. a. Zeus. πατὴρ ὕπερ κρέμασε καρτερὸν αὐτῷ λίθον O. 1. 57. Ζεὺς πατὴρ O. 2. 27. σὺν βαρυγδούπῳ πατρὶ O. 6. 81. πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν ἀνορούσαισ' O. 7. 36. πατ'ρί τε θυμὸν ἰάναιεν κόρᾳ τ' O. 7. 43. ἀλλ' ὦ Ζεῦ πάτερ O. 7. 87. πατρὶ μεγίστῳ O. 10. 45. Ζεῦ πάτερ O. 13. 26. αἰέναον σέβοντι πατ'ρὸς Ὀλυμπίοιο τιμάν O. 14. 12. Ζεὺς πατὴρ P. 3. 98. "Κρονίων Ζεὺς πατήρ" P. 4. 23. πὰρ βωμὸν πατέρος Ἑλλανίου στάντες N. 5. 10. ξεινίου πατρὸς χόλον δείσαις N. 5. 33. Ζεῦ πάτερ N. 8. 35, N. 9. 31, N. 9. 53, N. 10. 29. παρὰ πατ'ρὶ φίλῳ Διὶ N. 10. 55. "πάτερ Κρονίων" Polydeukes speaks N. 10. 76. "ὦ Ζεῦ πάτερ" Herakles speaks I. 6. 42. βαρυσφαράγῳ πατ'ρὶ I. 8. 22. Μοῖσαι, — κελαινεφεῖ σὺν πατ'ρὶ Πα. 6. 56. πατὴρ δὲ Κρονίων Πα. 15. 5. Δωδωναῖε μεγασθενὲς ἀριστότεχνα πάτερ fr. 57. 2.]πάτερ fr. 59. 2. Ζεὺς πατὴρ fr. 93. ἕσσατο ἄνακτι βωμὸν πατρί τε Κρονίῳ (sc. Ἡρακλέης) fr. 140a. 64 (38). δεξιὰν κατὰ χεῖρα πατρὸς (sc. ἡμένα Ἀθάνα) fr. 146. 2. b. Apollo. ἀκερσεκόμα πάτερ Πα. 9. 45. c. Helios. ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατὴρ O. 7. 70. d. Time. Χρόνος ὁ πάντων πατὴρ O. 2. 17. e. Kronos. πατὴρ μέγας — πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον O. 2. 76.

5. fragg.]πατὴρ δεπ[Πα. 10. 9.]ἐν δασκίοισιν πατὴρ fr. 177e.]πατρὸς ἑοῖο[?fr. 335.]πατρὸς εχ[P. Oxy. 1792, fr. 34.

πάτρα] (-ας, -ᾳ, -αν.) a. *homeland* ἐξένεπε — Αἴγιναν πάτραν O. 8. 20. εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτ'ρας O. 12. 16. καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον ἐν Ἄρει P. 5. 84. ἐπεὶ τίνα πάτραν τίνα οἶκον ναίων ὀνυμάξεαι ἐπιφανέστερον; P. 7. 5. Κυράναν· ἅ νιν εὔφρων δέξεται καλλιγύναικι πάτρᾳ δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν P. 9. 74. Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας P. 11. 23. Αἰακόν — ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ N. 7. 85. σεῦ δὲ πάτ'ρᾳ Χαριάδαις τ' ἐλαφρὸν ὑπερεῖσαι λίθον Μοισαῖον N. 8. 46. Ἀρισταγόραν ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον ἐστεφάνωσαν N. 11. 20. (Αἰακίδαι), τοῖσιν Αἴγιναν προφέρει στόμα πάτ'ραν I. 5. 43. χάλαζαν αἵματος πρὸ φίλας πάτ'ρας ἀμύνεται I. 7. 27. πάτρας ἑκὰς Πα. 13. b. 2. b. *clan, family* πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι Theandridai N. 4. 77. κράτησεν ἀπὸ ταύτας αἷμα πάτ'ρας — Καλλίας Bassidai N. 6. 35. add. gen., τὰν Ψαλυχιαδᾶν δὲ πάτραν Χαρίτων ἄρδοντι καλλίστᾳ δρόσῳ I. 6. 63. αὔξων δὲ πάτραν Μειδυλιδᾶν P. 8. 38. cf. πάτραθε.

πατ'ρᾰδελφεός] *father's brother* τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ πατραδελφεοῦ i. e. the father of Kleandros, Telesarchos I. 8. 66.

πάτρᾱθε] *by family* Εὐξένιδα πάτραθε Σώγενες i. e. of the clan of the Euxenidai N. 7. 70.

πάτριος] a. *of one's father* ἀντεφθέγξατο δ' ἀρτιεπὴς πατρία ὄσσα O. 6. 62. b. *of one's fathers, ancestral* ἄρουραν ἐπὶ πατ'ρίαν σφίσιν κόμισον λοιπῷ γένει O. 2. 14. πατ'ρίαν εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις N. 2. 6. φεῦγε γὰρ Ἀμφιαρῆ ποτε θρασυμήδεα καὶ δεινὰν στάσιν πατ'ρίων οἴκων ἀπό τ' Ἄργεος (Er. Schmid: πατρῴων codd.) N. 9. 14.]ι

πόλιν πάτρίαν (Snell: πατρωίαν papyri, in una Π post πόλιν positum) Πα. 6. 178.

πατρίς] (-ίδι, -ίδ(α).) *homeland* ἴδε πατρίδα πολυκτέανον — βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν i. e. the city of Augeas O. 10. 36. "ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι πατ'ρίδ' ἔμμεν;" P. 4. 98. στεφάνους ἐξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων, καλλίνικον πατ'ρίδι κῦδος Thebes I. 1. 12. ὅ γε Μέλαμπος οὐκ ἤθελεν λιπὼν πατρίδα μοναρχεῖν Ἄργει Πα. 4. 29. ἔστι μοι πατ'ρίδ' ἀρχαίαν κτενὶ Πιερίδ[ων? ὥ]στε χαίταν παρθένου ξανθα[ν (ἀγάλλειν e. g. supp. Snell) fr. 215a. 6.

πατ'ρόθεν] a. *from one's father* μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατ'ρόθεν O. 3. 28. b. *on one's father's side* τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται. τὸ δ' Ἀμυντορίδαι ματρόθεν Ἀστυδαμείας O. 7. 23.

Πάτροκλος] son of Menoitios, companion of Achilles. ὥστ' ἔμφρονι δεῖξαι μαθεῖν Πατρόκλου βιατὰν νόον O. 9. 75. Ἴλᾳ φερέτω χάριν Ἁγησίδαμος, ὡς Ἀχιλεῖ Πάτροκλος O. 10. 19.

πατ'ροπάτωρ] *father's father* Ἀμφιτρύωνος σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος κεῖτο P. 9. 82. ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων πατροπάτορος ὁμαιμίου (ὁμαιμίοις coni. Schr.) N. 6. 16.

πατρώιος, πατρῷος] (-ίῳ, -ιον; -ίαν, -ιαι, -ίαις; -ίων, -ί(α): -ῴας, -ῴαν, -ῴαις.) *of one's fathers, ancestral* Μοῖρ', ἅ τε πατρώιον τῶνδ' ἔχει τὸν εὔφρονα πότμον (πατρωιαν Π.) O. 2. 35. διὰ γαῖαν τρίχα δασσάμενοι πατ'ρωίαν (byz.: -ωαν codd.) O. 7. 75. ἀέθλων — πατρωίων (byz.: -ώων codd.) P. 4. 220. πατ'ρῴας ἀπὸ γᾶς P. 4. 290. πατρωίαν πόλιν (byz.: -ώαν codd.) P. 5. 53. πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα P. 6. 45. βουσὶν — πατρῴαις P. 9. 23. ἐν δ' ἀγαθοῖσι κεῖται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες (byz.: πατρῶαι codd.) P. 10. 72. Θρασυδᾶος ἔμνασεν ἑστίαν τρίτον ἐπι στέφανον πατρῴαν βαλών P. 11. 14. ἀτὰρ Αἴας Σαλαμῖν' ἔχει πατρῴαν N. 4. 48. [πατρώων (contra metr. codd.: πατρίων Er. Schmid) N. 9. 14.] στάθεν τύμβῳ σχεδὸν πατ'ρωίῳ (Er. Schmid: -ῴῳ codd.) N. 10. 66. τὰν Ἀσωποδώρου πατρὸς αἶσαν Ἐρχομενοῖό τε πατ'ρῴαν ἄρουραν I. 1. 35. μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν i. e. of his father Xenokrates I. 2. 44. πατρωίαις ἐν ἀρούραις i. e. of his father Achilles Πα. 6. 106. [πατρωίαν (contra metr. papyri: πατρίαν Snell) Πα. 6. 178.] πατ]'ρῴαν Ἑκαερ[γ (supp. Snell:]ρωιαν Π*:]ρωιον Π.) Πα. 7B. 35. πατρῷι' ἐπεὶ[Θρ. 4. 12.

πάτρως] *uncle* πάτρῳ (Θήρωνι) τ' ἐπερχόμενος ἀγλαΐαν ἅπασαν P. 6. 46.

παῦρος] (-ῳ, -ον, -οι; -α nom., acc.) a. s., *short, brief* παύρῳ ἔπει θήσω φανέρ' ἀθρό' O. 13. 98. τὸν δὲ σύγκοιτον γλυκὺν παῦρον ἐπὶ γλεφάροις ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ pr. P. 9. 24. b. pl., *few* ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες O. 10. 22. παύροις δὲ πράξασθ' εὐμαρές P. 8. 115. παῦροι δὲ βουλεῦσαι — χερσὶ καὶ ψυχᾷ δυνατοί N. 9. 37. "παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν καμάτου μεταλαμβάνειν" N. 10. 78. ἐγὼ μ[—]παῦρα μελιζομεν[fr. 140b. 12.

παύω] (aor. (ἔ)παυσε(ν); παύσατε: med. παυσάμενοι; παύσασθαι.) a. act. α. *stop, put an end to* πεντάκις Ἰσθμοῖ στεφανωσάμενος, Νεμέᾳ δὲ τρεῖς ἔπαυσε λάθαν Σαοκλείδα' N. 6. 20. ἀλλ' ἐμοὶ δεῖμα μὲν παροιχόμενον καρτερὰν ἔπαυσε μέριμναν (καρτερᾶν — μεριμνᾶν coni. Bergk) I. 8. 12. "ἀλλὰ τὰ μὲν παύσατε" I. 8. 36. παῦσέν [τ']ἔ[ργ' ἀ]ναιδῆ fr. 140a. 59 (33). β. *hinder* οὐδέ μίν ποτε φόβος ἀνδροδάμας ἔπαυσεν ἀκμὰν φρενῶν *did not blunt the keen edge of his temper* N. 3. 39. b. med., c. gen., *cease from* παυσάμενοι δ' ἀπράκτων κακῶν I. 8. 7. στῆναι μὲν οὐ θέμις οὐδὲ παύσασθαι φορᾶς (sc. δελφῖνι) ?fr. 358. c. frag.]παυσεν Δ. 4. g. 3.

πάχος] *thickness* (δράκων) ὃς πάχει μάκει τε πεντηκόντερον ναῦν κράτει P. 4. 245.

πᾶχυς] *forearm* τεῖρε δὲ στερεῶς ἄλλαν μὲν σκέλος, ἄλλαν δὲ πᾶχ[υν], τὰν δὲ —

αὐχένα φέροισαν (supp. Lobel: of the horses of Diomedes, eating their groom) fr. 169. 30.]παχυν[?fr. 344. 6.

πεδά] (= μετά) a. c. acc. α. *after* ὃς ἔχεις καὶ πεδὰ μέγαν κάματον λόγων φερτάτων μναμήι' (v. l. μετὰ) P. 5. 47. δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον καίπερ πεδ' ἄφθονον βοράν (Schneider: παῖδα φθόνον codd.) fr. 124c. β. dub. sign. πεδὰ στόμα φλέγει (ἀντὶ τοῦ κατὰ στόμα Eustath.) fr. 26. b. c. gen., *among* πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς P. 8. 74.

πεδαμείβω] (cf. μεταμείβω.) *exchange for* c. acc. & gen. ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ O. 12. 12.

πεδάρσιον ?] λαβὼν δ' ἕν[α] φῶ[τ]α πεδά.σ[(πεδάσα[ις] Snell: πεδά⟨ρ⟩σιον Lobel) fr. 169. 20.

πεδαυγάζω] *watch* ἀπὸ Ταυγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς (Tricl.: πεδ' αὖ γάζων, πόδ' αὐγάζων codd.) N. 10. 61.

πεδάω] (impf. ἐπέδα: aor. πέδασον; πεδάσαις; πεδᾶσαι: pass. aor. πεδάθη; πεδαθέντα.) a. *restrain* "πέδασον ἔγχος Οἰνομάου χάλκεον" O. 1. 76. b. *hold fast*, met., *bring down* Νεστόρειον γὰρ ἵππος ἁρμ' ἐπέδα Πάριος ἐκ βελέων δαιχθεὶς P. 6. 32. ὥς τέ νιν ἀβρὰ Κρηθεὶς Ἱππολύτα δόλῳ πεδᾶσαι ἤθελε, ξυνᾶνα Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν N. 5. 26. παῖδα ποντίας Θέτιος βιατάν — θρασεῖ φόνῳ πεδάσαις (sc. Ἀπόλλων) Πα. 6. 86. Ἰάλεμον ὠμοβόλῳ νούσῳ πεδαθέντα σθένος (Schneiwin: παῖδα θέντοι cod.: νούσῳ ὅτι cod., ὅτι del. Hermann) Θρ. 3. 10. πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας, τετράτῳ δ' αὐτὸς πεδάθη fr. 135 (v. πεδάρσιον.]

πεδέρχομαι] (cf. μετέρχομαι.) *follow after* εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται N. 7. 74.

πεδέχω] (cf. μετέχω.) *share* [Κρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο] αὐταρχεῖν, πολίων δ' ἑκατὸν πεδέχειν μέρος ἕβδομον Πασιφάας ⟨σὺν⟩ υἱ[οῖ]σι (σὺν supp. Housman metr. gr.: ⟨ἐξ⟩ e Σ Wil.: ὑ[έσ]σιν Schr.) Πα. 4. 37. πεδασχεῖν fr. 27.

πεδιὰς] f. adj., *level* εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις ἀλεξιμβρότοις πεδιάδα πομπαῖς ἔμμεν ἱππόκροτον σκυρωτὰν ὁδόν pr. P. 5. 91.

πέδιλον] (-ῳ, -ον, -οις.) a. *sandal* παπτάναις ἀρίγνωτον πέδιλον δεξιτερῷ μόνον ἀμφὶ ποδί (sc. τοῦ μονοκρήπιδος Ἰάσονος) P. 4. 95. τὶν γὰρ εὔφρων ἕψεται πρῶτα θυγάτηρ ὁδοῦ δάφνας εὐπετάλου σχεδὸν βαίνοισα πεδίλοις (cf. Proclum ap. Phot., Bibl., 321 Bekk., ὁ δαφνηφόρος — ἰφικρατίδας τε ὑποδεδεμένος) Παρθ. 2. 70. met., ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων Σωστράτου υἱός i. e. in this position O. 6. 8. b. *foot*, *rythm* Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ ἀγλαόκωμον O. 3. 5.

πεδίον] (-ίον, -ίῳ, -ίον; -ίων.) *plain* Τεύθραντος πεδίον μολών (τὴν Μυσίαν Σ.) O. 9. 71. δέξαι τέ οἱ στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας i. e. from Olympia O. 13. 29. "φῶτα κελαινεφέων πεδίων δεσπόταν" Battos, founder of Cyrene P. 4. 52. ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον P. 4. 259. ἦλθες ἤδη Λιβύας πεδίον P. 5. 52. ἐν πεδίῳ Φλέγρας N. 1. 67. (ἄρουραι) βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν N. 6. 10. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον N. 8. 37. "ὅν τ' εὐσεβέστατον φάτις Ἰαολκοῦ τράφειν πεδίον" I. 8. 40. ὃ καὶ Μύσιον ἀμπελόεν αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον I. 8. 50. μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα the plain of Troy I. 8. 54.]έχεται πεδίων[(from Σ it appears that the poet is mentioning the lack of flat land in Keos) Πα. 4. 16. ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον πέταται *fr. 107a. 4*. Τρώιον ἂμ πεδίον fr. 172. 4.]ν πεδίων[(of Kirrha ?) fr. 215b. 11.

πεδόθεν] a. *from the sea floor* εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν — γαῖαν O. 7. 62. b. dub. sign. ἔλα νῦν μοι πεδόθεν· λέγε (πρὸς

τὴν Μοῦσαν ὁ λόγος Σ: *ab origine* Boeckh: ἐξ ἀρχῆς Σ: v. Fränkel, W & F, 47) I. 5. 38. c. frag.]πεδόθεν ἔφυν[?fr. 334a. 4.

πέδοικος] *?migrant* πέδοικος fr. 25.

πέδον] *plain* τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν O. 10. 46. οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ P. 1. 28. ἢ πόντου κενέωσιν ⟨⏑⟩ ἄμ πέδον Πα. 9. 16.

πεζοβόας] *footsoldier* Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις N. 9. 34.

πεζομάχας] *fighting on foot* τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον τὰ δ' ἐν πεζομάχαισι P. 2. 65.

πεζός] *on foot* ναυσὶ δ' οὔτε πεζὸς ἰὼν κεν εὕροις — ὁδόν P. 10. 29. παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων fr. 206.

Πειθώ] (-ώ, -οῦς.) *Persuasion*, esp. that exercised by love. ποθεινὰ δ' Ἑλλὰς αὐτὰν — δονέοι μάστιγι Πειθοῦς i. e. because of her love for Jason P. 4. 219. "κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων" P. 9. 39. πολύξεναι νεάνιδες, ἀμφίπολοι Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ i. e. temple prostitutes of Aphrodite fr. 122. 2. ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἔναιεν καὶ Χάρις υἱὸν Ἀγησίλα fr. 123. 14.

πείθω (πειθέμεν: aor. 1, ἔπεισε; πείσαις, -αισ(α): aor. 2, πίθον; πιθὼν coni.: πιθεῖν: pf. πέποιθα, -ασιν: ep. aor. redupl. πεπιθών: med. πείθονται; πειθόμενος; πείθεσθαι: fut. πείσομαι: aor. 2, πίθετο; πίθεο; πιθόμενοι; πιθέσθαι. cf. πιθέω, ἀπιθέω.) 1. act. a. *persuade, win over* Ζηνὸς ἦτορ λιταῖς ἔπεισε O. 2. 80. δᾶμον Ὑπερβορέων πείσαις — λόγῳ O. 3. 16. κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών (Er. Schmid: πεπιθὼν codd.: v. l. γνώμᾳ: sc. Ἀπόλλων) P. 3. 28. ὦ μάκαρ, τὶν δ' ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα N. 7. 95. c. inf., ἰατῆρά τοί κέν μιν πίθον καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν P. 3. 65. c. pr. adj., ξυνᾶνα Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν N. 5. 28. γαμβρὸν Ποσειδάωνα πείσαις (sc. Ζεύς: v. γαμβρός) N. 5. 37. b. pf., & ep. aor. redupl. α. c. inf., *be persuaded* πέποιθα δὲ ξένον μή τιν' — δαιδαλωσέμεν O. 1. 103. β. *trust in, rely upon* c. dat. πέποιθα ξενίᾳ προσανέι Θώρακος P. 10. 64. καὶ προξενίᾳ πέποιθ' N. 7. 65. οἱ δ' ἄφνει πεποίθασιν (v. l. ὁ δ' — πέποιθεν) fr. 219. διπλόαν νίκαν ἀνεφάνατο — κυβερνατῆρος οἰακοστρόφου γνώμᾳ πεπιθὼν πολυβούλῳ I. 4. 72. c. *persuade* someone of something, c. dupl. acc., καὶ πόθεν ἀθαν[άτων ἔρις ἄ]ρξατο. ταῦτα θεοῖσι μὲν πιθεῖν σοφοὺ[ς] δυνατόν Πα. 6. 52.

2. med., *obey* c. dat. ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι κελήσατό μιν O. 13. 79. πείθονται δ' ἀοιδοὶ σάμασιν P. 1. 3. θεοῦ σάμασιν πιθόμενοι (byz.: πειθόμενοι codd.) P. 4. 200. ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες N. 8. 10. ἦτορι δὲ φίλῳ παῖς ἅτε ματέρι κεδνᾷ πειθόμενος κατέβαν Πα. 6. 12. ἀρχαγέτᾳ τε Δάλου πίθετο (sc. Ἡρακλέης) fr. 140a. 59 (33) add. inf., Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων *sing, I bid you* P. 1. 59. frag., τί πείσομα[ι (πείθομαι Π: ?fut., πάσχω) Πα. 7B. 42.

πεῖρα] (-ᾳ, -αν.) *trial, test* ἐν δὲ πείρᾳ τέλος διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται N. 3. 70. Νεμέᾳ — ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων N. 4. 76. πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι ὡς πόρσιστα N. 9. 28.

πειραίνω] v. περαίνω.

Πειράνα] a spring on the akropolis of Korinth. ἐν ἄστει Πειράνας O. 13. 61.

πεῖρας] a. *limit* c. appositive gen. ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου (byz.: πέρας codd.) O. 2. 31. b. *(means of) execution* καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν P. 4. 220. c. *rope* met. πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ *strands of many themes* P. 1. 81.

πειράω] (πειρῶν, -ῶντι: impf. ἐπείρα: med. πειρώμενος, -ον; πειρᾶσθαι: impf. (ἐ)πειρᾶτο.) a. act. α. *test*, πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός P. 10. 67. β. c. gen., *make an attempt on* συνέπαξε λόγον, ὡς ἦρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις 'Ακάστου εὐνᾶς N. 5. 30. "ἔπειτα πλούτου πειρῶν — μέγαν ἄλλοθι κλᾶρον ἔχω;" i. e. *trying to win wealth* Πα. 4. 46. b. med. α. c. acc., *attempt to seduce* Διὸς ἄκοιτιν ἐπειρᾶτο P. 2. 34. β. c. gen. *attempt, venture* τὸ δὲ τυχεῖν πειρώμενον ἀγωνίας ἀφροσύνας παραλύει O. 2. 52. πειρᾶτο δὲ πρῶτον μάχας N. 1. 43. ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ 'Ολυμπίᾳ ἀέθλων N. 11. 23. *make test of* σφετέρας ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος P. 4. 84. c. frag.]πειρατο γλυκυ[(πειρα τὸ?) Πα. 22. g. 5. d. dub. [πεπειραμένων δέ τις (v. l. ἐμπείρων δέ τις) fr. 110].

Πειρίθοος] son of Zeus (fr. 243), king of Lapithai, companion of Theseus: test., Paus., 1. 2. 1, ταύτην τὴν 'Αντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι fr. 175, cf. fr. 258.

Πείσανδρος] a Spartan, who with Orestes colonized Lesbos from Sparta, and thereafter Tenedos. συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας. 'Αμύκλαθεν γὰρ ἔβα σὺν 'Ορέστᾳ, Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων N. 11. 33.

πεισιχάλῖνος] *obeying the bit* ἐν θ' ἅρματα πεισιχάλινα P. 2. 11.

πέκω?] *comb* τουτάκι πεξαμένας (Boeckh: -ένης codd.: fort. τε ζαμενας, Boeckh) fr. 320.

πέλᾰγος] (-εϊ, -ος; -εσσι.) *(expanse of) the sea* φαντὶ — οὔπω — φανερὰν ἐν πελάγει 'Ρόδον ἔμμεν ποντίῳ O. 7. 56. "ὑγρῷ πελάγει" P. 4. 40. ἐν τ' 'Ωκεανοῦ πελάγεσσι μίγεν P. 4. 251. δάμασε δὲ θῆρας ἐν πελάγεϊ ὑπερόχους N. 3. 23. ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν 'Αχιλεὺς νᾶσον (sc. ἔχει) N. 4. 49.]δέ μιν ἐν πελ[α]γ[ο]ς ῥιφθεῖσαν εὐαγέα πέτραν φανῆναι (Wil.: πελ[α]γε[ι] G-H.) Πα. 7B. 46. (δελφῖνος) τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος fr. 140b. 16. met., πελάγει δ' ἐν πολυχρύσοιο πλούτου fr. 124. 6.

πελάζω] (aor. πέλασσεν; πέλᾰσον; πελάσαις.) a. *bring near to* c. acc. & dat. τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος P. 4. 227. met., "κράτει δὲ πέλασον" (sc. ἐμὲ) O. 1. 78. b. intrans., *come to* "τόνδε δ' ἔπειτα πόσις σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις στάξεν ἥρως" (συνελθὼν Σ: fort. trans.?) N. 10. 81.

πέλᾱς] *near (by)* a. adv. ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας I. 1. 29. b. prep., c. dat. 'Ασίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας O. 7. 18. 'Εστία, — εὖ μὲν 'Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας N. 11. 4. λέχει πέλας ἀμβροσίῳ Μελίας ἀγαυὸν καλάμῳ συνάγεν θρόον Πα. 9. 35.

Πελασγός] *pelasgian*, from Thessalian Pelasgiotis. Πελασγὸν ἵππον ἢ κύνα 'Αμυκλάιαν — μιμέο (Meineke: ἀπέλαστον codd.) •fr. 107a. 1.•

Πελειάδες] a. *doves*, the priestesses at Dodona; test., Σ, Soph., Trach., 172: Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτάς· οἱ δὲ δύο καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ "Αμμωνος χρηστήριον τὴν ⟨δὲ εἰς τὸ⟩ περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος παιᾶσιν fr. 58. b. *Pleiades*, daughters of Atlas and Pleione, v. Πληιόνα. ἔστι δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν 'Ωαρίωνα νεῖσθαι as constellations in the heavens N. 2. 11.

πέλεκυς] *axe* χαλκελάτῳ πελέκει O. 7. 36. ὀξυτόμῳ πελέκει P. 4. 263. ὃς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν 'Αθάναν fr. 34. οὐδὲ πελέκεις οὐδὲ Σειρήν "illum neque secures Pisistrati tyranni neque eloquentia movit," expl. Turyn ?fr. 339.

πελεκυφόρας] *axe bearing* πελεκυφ[ό]ρας ἵππος ("non sapit Simon. forma -φόρας." Snell: the horse would then have been branded with a double axe, Zuntz, C. R., 1935, 5) ?fr. 339a.

πελεμίζω] *drive back from one's post* [πελεμίζων (coni. Thiersch: πολεμίζων codd.) O. 9. 32.] ἦ μὰν ἀνόμοιά γε δάοισιν ἐν θερμῷ χροὶ ἕλκεα ῥῆξαν πελεμιζόμενοι ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ (Wakefield e Σ: πολεμιζόμενοι codd.) N. 8. 29.

Πελίας] son of Poseidon and Tyro, descendant of Aiolos, father of Akastos; king of Iolkos, killed by Jason. θέσφατον ἦν Πελίαν ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν P. 4. 71. "Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα φρασίν" P. 4. 109. Πελίας ἵκετο σπεύδων P. 4. 94. καί ῥ' ἦλθον Πελία μέγαρον P. 4. 134. ἀκᾷ δ' ἀνταγόρευσεν καὶ Πελίας P. 4. 156. Μήδειαν — τὰν Πελίαο φονόν P. 4. 250. Πελίαο παῖς Akastos N. 4. 60.

Πελινναῖον] a city of Thessaly. ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει 'Αλεύα τε παῖδες P. 10. 4.

πέλλα] *milk pail* πέλλαι γὰρ ξύλιναι πίθοι τε πλῆσθεν ἅπαντες *fr. 104b. 5.*

Πέλλᾶνα] city of Achaia, where were held games in which the prize was a woolen cloak, cf. Σ O. 10. 146, Σ N. 10. 82. ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν — Πέλλανά τ' O. 7. 86. ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνᾳ φέρε sc. Epharmostos O. 9. 98. Πέλλανά τε καὶ Σικυὼν (sc. μαρτυρήσουσι) O. 13. 109. ἐκ δὲ Πελλάνας (sc. ἀπέβαν) ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις N. 10. 44.

Πελοπηϊάδας] *descendant of Pelops* ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες, οἵ τε κραναοῖς ἐν 'Αθάναισιν ἅρμοζον στρατόν, οἵ τ' ἀνὰ Σπάρταν Πελοπηιάδαι (Er. Schmid: πελοπηίδαι codd.) N. 8. 12.

Πέλοψ] son of Tantalos, husband of Hippodameia; king of Pisa in Elis; buried at Olympia (O. 1. 90ff.). ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ Olympia O. 1. 24. ἐν δρόμοις Πέλοπος at Olympia O. 1. 94. ἐν βάσσαις Κρονίου Πέλοπος O. 3. 23, cf.]Κρονίου Πέλοπος (v. Κρόνιος) Πα. 22b. 7. ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων σταθμῶν O. 5. 9. Λυδὸς ἥρως Πέλοψ O. 9. 9. ἀρχαίῳ σάματι πὰρ Πέλοπος at Olympia O. 10. 24. Κορινθίων ὑπὸ φωτῶν ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη at the Isthmian games in the Peloponnese N. 2. 21.

πέλω] (πέλει; πέλοι: impf. ἔπελες: med. πέλονται: impf. ἔπ'λετο.) *be, become* ὡς δ' ἄφαντος ἔπελες O. 1. 46. ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δυ' ἄγκυραι O. 6. 100. οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι P. 1. 56. "εἴ τις ἔχθρα πέλει ὁμογόνοις αἰδῶ καλύψαι" P. 4. 145. θάρσος τε τανύπτερος ἐν ὄρνιξιν αἰετὸς ἔπ'λετο P. 5. 112. ἐπεὶ θαητὸν εἶδος ἔπλετο (αὐτᾷ) P. 9. 109. νᾶες — θαυμασταὶ πέλονται I. 5. 6.]ων πέλοι [Δ. 3. 15.

πέλωρ] *monster*] πελωραβου[Δ. 4. b. 8.

πελώριος] a. *huge* εὐθυμάχαν — πελώριον ἄνδρα Diagoras O. 7. 15. b. *prodigious, marvellous* ποτὶ πελώριον ὁρμάσαι κλέος O. 10. 21. ἔργον πελώριον τελέσαις P. 6. 41.

πεμπάμερος] *lasting five days* ἀέθλων τε πεμπαμέροις ἁμίλλαις (Π, byz.: πεμπταμέροις codd.) O. 5. 6.

πεμπταῖος] *five days old* τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενημένον O. 6. 53.

[πεμπτάμερος, *on the fifth day* v. πεμπάμερος.]

πέμπτος] *fifth* πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο N. 6. 58.

πέμπω] (πέμπω, -ει: πέμπων, -οισα: fut. πέμψω: impf. πέμπε(ν), -ον: aor. πέμψε(ν), (ἔ)πεμψαν; πέμψῃ; πέμψαντα: pass. πέμπεται; -όμενοι: aor. πεμφθείς, -εῖσαν, -ἐν.) *send* a. τεαὶ γὰρ Ὧραι — μ' ἔπεμψαν — μάρτυρ' ἀέθλων O. 4. 2. κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν O. 6. 32. καὶ ἐγὼ νέκταρ χυτὸν — ἀεθλοφόροις ἀνδράσιν πέμπων — ἱλάσκομαι O. 7. 8. ὥς ἐμοὶ φάσμα λέγει Κρονίδα πεμφθὲν

βαρυγδούπου Διός O. 8. 44. παντᾷ ἀγγελίαν πέμψω ταύταν O. 9. 25. τόδε μὲν — μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται P. 2. 68. πέμψεν κασιγνήταν — ἐς Λακέρειαν P. 3. 32. "τοί μ' — κρύβδα πέμπον" P. 4. 114. πέμψε δ' Ἑρμᾶς — υἱοὺς ἐπ' ἄτρυτον πόνον P. 4. 178. σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι ἤλυθον P. 4. 203. ἀλλὰ θεῶν βασίλεα σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ N. 1. 40. θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς ὑπὸ Τροίαν sc. Achilles N. 3. 59. ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι N. 3. 77. Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων πέμψαντα καὶ λιπαρᾶν εὐωνύμων ἀπ' Ἀθανᾶν (sc. υἱόν: "sending home") N. 4. 18. πέμψεν θεὸς — αἰετόν I. 6. 49. "χθόνα τοί ποτε καὶ στρατὸν ἀθρόον πέμψαν κεραυνῷ τριόδοντί τε ἐς τὸν βαθὺν Τάρταρον" sc. Zeus and Poseidon Πα. 4. 43. ἐρατᾶν ὄχημ' ἀοιδᾶν τοῦτό τοι πέμπω μεταδόρπιον fr. 124. 2. ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ fr. 225. met., (φιάλαισι) ἃς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμψαν N. 9. 52. add. inf., Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων I. 2. 16. **b.** *send aloft, raise* ἐς αἰθέρα μιν (= Ῥόδον) πεμφθεῖσαν O. 7. 67. met., ὅταν θεοῦ Μοῖρα πέμψῃ ἀνεκὰς ὄλβον ὑψηλόν (v. l. πέμψῃ) O. 2. 22 **c.** in tmesis, ἐπί τε κλυτὰν πέμπετε χάριν (v. ἐπιπέμπω) fr. 75. 2. **d.** frag. π]έμπει Πα. 12. a. 12.

πένθος] (-ος, -εος, -ος; -έων.) *sorrow* πένθος δὲ πίτνει βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν O. 2. 24. "πάτερ Κρονίων, τίς δὴ λύσις ἔσσεται πενθέων;" N. 10. 77. ἔτλαν δὲ πένθος οὐ φατόν I. 7. 37. ἐκ μεγάλων δὲ πενθέων λυθέντες I. 8. 6. οὐ πενθέων δ' ἔλαχον ⟨οὐ⟩ στασίων (verba e Plutarcho supp., emend. Blass, G—H.) Πα. 4. 53. οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται (v. H. J. Rose, Greek Poetry & Life, Oxford, 1936, 79ff.) fr. 133. 1.

πενία] *poverty* στάσιν — πενίας δότειραν fr. 109. 4.

πενῐχρός] *poor* ἀφνεὸς πενιχρός τε θανάτου παρὰ σᾶμα νέονται N. 7. 19.

πενταέθλιον] *pentathlon* οἶκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες P. 8. 66. οὐ γὰρ ἦν πενταέθλιον (Boeckh: πένταθλον codd.) ἀλλ' ἐφ' ἑκάστῳ ἔργματι κεῖτο τέλος I. 1. 26.

πεντάεθλον] *pentathlon* πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον O. 13. 30.

πεντάεθ'λος] *competitor in the pentathlon* εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις N. 7. 8.

πενταετηρίς] (-ίς, -ίδ(α).) *four yearly* **a.** of the Olympic festival. πενταετηρίδ' ὅπως ἄρα ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ νικαφορίαισί τε O. 10. 57. πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις N. 11. 27. pro subs., πενταετηρίδ' — θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ O. 3. 21. **b.** of the Pythian festival. πενταετηρὶς ἑορτὰ βουπομπός fr. 193.

πεντάκις] *five times* καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος N. 6. 19.

πέντε] *five* ἀθρόαις πέντε — νύκτεσσιν P. 4. 130. πέντε μὲν Ἰσθμοῖ νῖκαι P. 7. 13.

πεντήκοντα] *fifty* Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν N. 10. 1. Ἰσθμοῦ δεσπότᾳ Νηρείδεσσί τε πεντήκοντα I. 6. 6.]Δωρίδος [πε]ντήκο[ντα κο]ύραις (supp. Lobel) Θρ. 4. 5.

πεντηκοντέρετμος] *with fifty oars* test., Σ T. Hom., Π 170: καὶ Πίνδαρος πεντηκοντερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι (Snell: πεντήκοντα ἐρεγμοὺς codd.: πεντηκοντηρέτμους Boeckh) fr. 259.

πεντηκόντερος] *with fifty oars* πεντηκόντερον ναῦν (-όντορον v. l.) P. 4. 245.

πεντηκοντοκέφαλος] *fifty headed*, cf. Wilh. Schulze, Q. E., 252. Τυφῶνα πεντηκοντοκέφαλον (ἑκαντοντοκάρανον coni. Hermann, cll. O. 4. 7, P. 1. 16, P. 8. 16) fr. 93.

πεπᾰρεῖν] defect. aor., *show* τὺ δὲ σάφα νιν ἔχεις ἐλευθέρᾳ φρενὶ πεπαρεῖν P. 2. 57.

πέπ'λος] *robe* εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν ἀμφί οἱ ψαύσειε

πέπλοις P. 9. 120. ζωσαμένα τε πέπλον ὠκέως Παρθ. 2. 6.

πεπρωμένος] *fated* ἦν ὅτι νιν πεπ'ρωμένον — ἀμπνεῦσαι καπνόν O. 8. 33. σε — πεπ'ρωμένον βασιλέ' ἄμφανεν Κυράνᾳ P. 4. 61. ταύτας δὲ μή ποτε τιμᾶς ἀμείρειν γονέων βίον πεπρωμένον P. 6. 27. ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε Πότμος ἄναξ, εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει N. 4. 43. καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν N. 4. 61. πεπρωμένον ἦν φέρτερον πατέρος ἄνακτα γόνον τεκεῖν I. 8. 32.] π[ε]πρωμέναν πάθαν α[Πα. 8A. 16. ὅτι Λαομέδοντι πεπρωμένοι' ἤρχετο μόροιο κάρυξ fr. 140a. 67 (41). πεπρωμέναν θῆκε μοῖραν μετατραπεῖν fr. 177a. τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον σχήσει τεῖχος fr. 232.

περ] a. emphatic particle. ὅθεν περ καὶ Ὁμηρίδαι ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ ἄρχονται N. 2. 1. παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν (fort. τό περ = ὅπερ) N. 7. 101. b. concessive particle. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει P. 4. 237. ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, — ὀψέ περ N. 3. 80. [περ ἄν (codd.: πέραν Hermann) N. 7. 75.] c. καί περ, v. καίπερ: ὅς περ, v. ὅσπερ.

περαίνω, πειραίνω] a. *attain* ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον P. 10. 28. b. *conclude* (Αἰακός) ὃ καὶ δαιμόνεσσι δίκας ἐπείραινε (Tricl.: ἐπεραίνε cod.) I. 8. 24. c. frag.]περαίνοις [Πα. 7C. 8.

περαίτερος] (comp. of πέραν.) *further, longer* ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ περαίτεραι O. 9. 105. adv., κεῖνα δὲ κεῖνος ἂν εἴποι ἔργα περαίτερον ἄλλων *beyond* O. 8. 63.

πέραν] a. *overly, overmuch* εἴ τι πέραν ἀερθεὶς ἀνέκραγον N. 7. 75. b. prep. c. gen., *beyond, over* καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί N. 5. 21. μυρίαι δ' ἔργων καλῶν τέτμανθ' — κέλευθοι καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους I. 6. 23. πέραν Ἀ[θόω] Πα. 2. 61. c. emphasising διά, πέραν ἰσθμὸν διαβαίς *right across* fr. 140a. 65 (39).

περάπτω] (= περιάπτω) *wrap round* c. acc. & dat. γυίοις περάπτων πάντοθεν φάρμακα P. 3. 52.

[**πέρας,** v. πεῖρας.]

περᾱτός] *to be passed* Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν N. 4. 69.

περάω] (περᾶν: impf. ἐπέρα: aor. περάσαις; -ᾶσαι.) a. *cross* ἐξικόμαν κε βαθὺν πόντον περάσαις P. 3. 76. οὐκέτι πρόσω ἀβάταν ἅλα κιόνων ὕπερ Ἡρακλέος περᾶν εὐμαρές N. 3. 21. ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν (sc. Ξενοκράτης: i. e. his hospitality knew no bounds or seasons) I. 2. 41. b. met., *complete* ἀλλὰ σὺν δόξᾳ τέλος δωδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ (Dissen: περάσαι σὺν codd.) N. 11. 10.

Περγᾱμία] v. Πέργαμος. εἷλε δὲ Περγαμίαν (sc. Ἡρακλέης) I. 6. 31.

Πέργᾱμος] the citadel of Troy. "Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται" i. e. at the part built by Aiakos O. 8. 42. περὶ δὲ ὑψικόμῳ Ἑλένᾳ χρῆν ἄρα Πέργαμον εὐρὺν ἀιστῶσαι σέλας αἰθομένου πυρός Πα. 6. 96.

πέρειμι] *go round* test., Σ Dion. Thrax., 443. 6 Hilg., περιέναι (sc. Πίνδαρος ἔφη) τετρασυλλάβως ἀντὶ τοῦ περιιέναι fr. 314.

πέρθω] (aor. 1. (ἔ)περσεν, ἔπερσαν: aor. 2. (ἔ)πρᾶθε(ν), πράθον: pass. περθόμενοι.) a. *ravage* Τιρύνθιον ἔπερσαν αὐτῷ στρατὸν — Μολίονες O. 10. 32. ὃς Πριάμοιο πόλιν πέρσεν P. 1. 54. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν N. 3. 37. Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν N. 7. 35. τοὶ καὶ σὺν μάχαις δὶς πόλιν Τρώων πράθον (sc. Αἰακίδαι) I. 5. 36. πρὸ πόνων δέ κε μεγάλων Δαρδανίαν ἔπ'ραθεν (sc. Ἀχιλλεύς) Πα. 6. 91. of illness, ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι P. 3. 50. b. *cut off* Εὐρυσθῆος ἐπεὶ κεφαλὰν ἔπραθε φασγάνου ἀκμᾷ P. 9. 81.

περί] (πέρι in anastrophe: περ' before vowels.) a. prep. c. acc., α. *round, around* περὶ τέρμα δρόμου ἵππων φυτεῦσαι O. 3. 34. περὶ δωδέκατον δρόμον ἐλαυνόντεσσιν O. 6. 75. β. *in* ἂν περὶ ψυχὰν ἐπεὶ γάθησεν P. 4. 122. b. c. gen., α. *concerning* ἀγῶνα νέμειν ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ — διφρηλασίας O. 3. 37. ὁ μὲν Πυθῶνάδ' — ᾤχετ' ἰὼν μαντευσάμενος ταύτας περ' ἀτλάτου πάθας O. 6. 38. εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι O. 8. 4. διδοῖ ψᾶφον περ' αὐτᾶς P. 4. 265. πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι πάντων N. 5. 40. πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι N. 9. 29. εἰ δὲ κασιγνήτου πέρι μάρνασαι N. 10. 85. πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων κελαδέσαι I. 5. 47. ἀμφιπόλοις δὲ [μ]υρ[ιᾶν] περὶ τιμᾶν δηριαζόμενον Πα. 6. 118. β. *beyond* περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις ἔξοχον (fort. tmesis, περι-έσεσθαι) O. 6. 50. c. c. dat., α. of the object at stake, *over, about, in respect of* δηρίομαι πολέσιν περὶ πλήθει καλῶν O. 13. 45. εἰ δέ τις ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει P. 2. 59. ἑολοῖσι μάρναται πέρι πᾶσα πόλις N. 5. 47. ὅστις ἁμιλλᾶται περὶ ἐσχάτων ἀέθλων κορυφαῖς N. 10. 31. περὶ δ' ὑψικόμῳ 'Ελένᾳ χρῆν ἄρα Πέργαμον εὐρὺν ἀιστῶσαι σέλας αἰθομένου πυρός Πα. 6. 95. ἢ περὶ χρήμασι μοχθίζει βιαίως fr. 123. 7. β. *by reason of, for* κεῖνόν γε καὶ βαρύκομποι λέοντες περὶ δείματι φύγον P. 5. 58. ἄπεπλος ἐκ λεχέων νεοτόκων [—]νόρουσε περὶ φόβῳ Πα. 20. 15. γ. *around*, i. e. *with* ἴστε μὰν Αἴαντος ἀλκάν, φοίνιον τὰν ὀψίᾳ ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ μομφὰν ἔχει (cf. φασγάνῳ ἀμφικυλίσαις N. 8. 23.) I. 4. 36. d. in tmesis. περὶ δὲ πάξαις (v. περιπάγνυμι) O. 10. 45, cf. O. 6. 50. e. frag.]πέρι Πα. 4. 58. περιπ[Παρθ. 2. 49.

περίαλλος] n. pl. pro adv., *particularly* θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας P. 11. 5. c. gen., καὶ γὰρ ὁ πόντιος 'Ορσιτρίαινά νιν περίαλλα βροτῶν τίεν Πα. 9. 48.

περιάπτω] v. περάπτω.

περιβάλλω] *put around*, c. acc. & dat., met., *devote to* κωφὸς ἀνήρ τις, ὃς 'Ηρακλεῖ στόμα μὴ περιβάλλει P. 9. 87.

περίγ'λωσσος] *eloquent* σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν P. 1. 42.

Περῑδάῖος] ?*lying around Mt. Ida*, in Krete. "ἔα, φρήν, κυπάρισσον, ἔα δὲ νομὸν Περιδάῖον" (ῑ, ᾱ mensura susp.: περιδάῖον G. Hermann, i. e. "zwischen Feinden," Wil.) Πα. 4. 51.

περιδῑνέω?] *whirl around* ('Απόλλων) περιδινηθεὶς ἐπῆξεν γᾶν (dubitanter supp. Snell; cll. Hesych., περιδινεῖσθαι· περικινεῖσθαι: προ[......]ις, [....]ινηθείς codd. Strabonis, nisi πε(ρι)κινηθεὶς unus cod. [1m]) fr. 51a.

περίειμι] v. πέρειμι.

περικάδομαι] *care for* c. gen. (Διόσκουροι) ἀγώνων μοῖραν 'Ερμᾷ καὶ σὺν 'Ηρακλεῖ διέποντι θάλειαν, μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι N. 10. 54.

περίκειμαι] *lie around, crown* ἔκτος οἷς ἤδη στέφανος περίκειται O. 8. 76.

[περικινέω, v. περιδινέω.**]**

Περικ'λύμενος] son of Neleus, an Argonaut, defended Thebes against the Seven. Περικλύμεν' εὐρυβία P. 4. 175. δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα (sc. 'Αμφιαρέα) μαχατὰν θυμὸν αἰσχυνθῆμεν N. 9. 26.

περικτίονες] *those that dwell around* ἐκ δὲ περικτιόνων ἐκκαίδεκ' 'Αρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν N. 11. 19. "Ισθμιον ἂν νάπος Δωρίων ἔλαχεν σελίνων· ἐπεὶ περικτίονας ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτᾳ χερὶ κλονέων I. 8. 64.

περιναιετάω] *dwell round about* ἡρώων ἄωτοι περιναιεταόντων N. 8. 9.

περιπάγνυμι] *fence round* περὶ δὲ πάξαις "Αλτιν μὲν ὅγ' ἐν καθαρῷ διέκρινε O. 10. 45.

περιπ'λᾰνάομαι] *circle round* "ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται θηρός, ὃν

πάμπρωτον ἀέθλων κτεινά ποτ' ἐν Νεμέᾳ" Herakles speaks I. 6. 47.

περιπνέω] *blow round* μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν O. 2. 72.

περισθενής] *mighty* ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ N. 3. 16. σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ fr. 131 b. 1.

περισσός] *too much* στάθμας δέ τινος ἑλκόμενοι περισσᾶς P. 2. 91. n. pl. pro adv., *exceedingly*, βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται N. 7. 43. sim., -ῶς, σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς fr. 35 b. ἐμπείρων δέ τις ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς fr. 110.

περιστέλλω] a. *clothe* c. acc. met., θνατὰ μεμνάσθω περιστέλλων μέλη καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος N. 11. 15. b. *clothe with* c. dat. & acc., met. ἐγὼ δὲ Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ Ὀγχηστίαισίν τ' ἀιόνεσσιν περιστέλλων ἀοιδὰν γαρύσομαι I. 1. 33.

περιφεύγω] *elude* met. ψάμμος ἀριθμὸν περιπέφευγεν O. 2. 98.

περιώσιος] c. gen., *far superior to* μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων I. 5. 3.

πέρνᾶμι] *export for sale* pass., met. οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας — μαλθακόφωνοι ἀοιδαί I. 2. 7.

πέροδος] *revolution* δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν (Eustath.: περιόδοις codd.) N. 11. 40. cf. fr. 314.

Περσεύς] son of Zeus and Danae; who slew Medusa. (Ὑπερβορέων) παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας P. 10. 31. Περσεὺς ὁπότε τρίτον ἄυσεν κασιγνητᾶν μέρος ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων P. 12. 11. μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος N. 10. 4. Περσεὺς δ' ἐν Ἄργει (sc. γέρας ἔχει) I. 5. 33. φιλόμαχον γένος ἐκ Περσέος (Boeckh: -έως codd.) fr. 164.

πεσσοί] *draughts* τοὶ δὲ πεσσοῖς, τοὶ δὲ φορμίγγεσσι τέρπονται sc. the blessed dead Θρ. 7. 6.

πέσσω] *nurse, foster* met. τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ' P. 4. 186.

πέτᾰλον] *leaf*]ε πετάλοις ηρ[(ἠρ[ινοῖς coni. Bury) Δ. 3. 19. fragg.]φοριᾶν πεταλ[Πα. 17. b. 26.]πεταλο[Θρ. 5 b. 4. met., "μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω ἄμμιν" (? a ref. to ἐκφυλλοφορία or πεταλισμός, but cf. Σ, τροπικώτερον δὲ τῶν φιλονεικιῶν τὰς στάσεις) I. 8. 42. test., Galen., de puls. diff., 8. 682 ed. Lips., cf. P. Oxy. 221, col. 9. 17, Πίνδαρος — Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων fr. 326.

πέτᾰμαι] (πέταται: aor. πτάμεναι: πέτεται pro πέταται coni. Nauck, Schr.) *fly, soar* met. ὁ δὲ καλόν τι νέον λαχὼν ἁβρότατος ἔπι μεγάλας ἐξ ἐλπίδος πέταται ὑποπτέροις ἀνορέαις P. 8. 90. πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν ὄνυμ' αὐτῶν N. 6. 48. ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον πέταται (sc. κύων) *fr. 107 a. 4.* νεάνιδες — πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νοήματι πρὸς Ἀφροδίταν fr. 122. 4. test., Plato, Theaet., 173 e, ἡ δὲ διάνοια — πέτεται κατὰ Πίνδαρον τᾶς τε γᾶς ὑπένερθε — οὐρανοῦ θ' ὕπερ (v. l. πέταται) fr. 292.

πέτρα] (-ας, -αν; -αι, -ᾶν, -αισ(ι), -ας.) *rock* ἵκοντο δ' ὑψηλοῖο πέτ'ραν ἀλίβατον Κρονίου O. 6. 64. πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα P. 1. 23. συνδρόμων κινηθμὸν ἀμαιμάκετον ἐκφυγεῖν πετ'ρᾶν P. 4. 209. ἔθηκε καὶ βαθυλείμων ὑπὸ Κίρρας πετρᾶν ἀγὼν κρατησίποδα Φρικίαν (Christ: βαθυλείμωνα ἀγὼν ὑπὸ Κίρρας πέτραν codd.) P. 10. 15. ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ πρῴραθε χοιράδος ἄλκαρ πέτρας P. 10. 52. φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν πέτ'ραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν I. 6. 73. ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι κίονες fr. 33 d. 8. ἀμφί τε Παρνασσίαις πέτ'ραις ὑψηλαῖς Πα. 2. 98.] δέ μιν ἐν πέλ[α]γ[ος] ῥιφθεῖσαν εὐαγέα πέτραν φανῆναι (Delos) Πα. 7B. 47. πέτραι δ' [ἔφ]α[ν]θεν ἀντὶ

φωτῶν (πετραν Π^ac: sc. the people of Seriphos, on seeing the Medusa's head) Δ. 4. 41. πέ]τραισι Κιρρα[(supp. Snell: ἀρούραισι Lobel) fr. 215b. 11. ὑψικέρατα πέτραν fr. 325.

πετράεις] *rocky* πετραέσσας — ἐκ Πυθῶνος O. 6. 48.

πετραῖος] a. epith. of Poseidon. "παῖ Ποσειδᾶνος Πετραίου as the god who split the vale of Tempe, Farnell, Σ. P. 4. 138. b. *of the rocks* "ποντίου θηρὸς πετραίου" sea anemone fr. 43. 1.

πέτρος] *rock* μᾶκος δὲ Νικεὺς ἔδικε πέτ'ρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων O. 10. 72. οὐ τετραορίας γε πρὶν δυώδεκα πέτ'ρῳ ἥροάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν δὶς τόσους sc. Alkyoneus N. 4. 29. ἄγαλμ' Ἀίδα, ξεστὸν πέτρον tombstone N. 10. 67.

πεύθομαι] (cf. πυνθάνομαι) *learn* c. acc. & inf. "πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος ἐναλίαν βᾶμεν" P. 4. 38. "πεύθομαι γάρ νιν Πελίαν — ἀποσυλᾶσαι" P. 4. 109.

πεύκα] *pine tree* ἐν δὲ κέχλαδ[εν] κρόταλ' αἰθομένα τε δαὶς ὑπὸ ξανθαῖσι πευκαῖς (contra, *pinebrands*, G-H.) Δ. 2. 11.

πεφνεῖν] (ἔπεφνε(ν), πέφνε(ν).) *have killed* Ἐρινὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον (byz.: πέφ'νε(ν) codd.) O. 2. 42. πέφνε Κτέατον ἀμύμονα, πέφνε δ' Εὔρυτον O. 10. 27—8. καὶ Χίμαιραν — καὶ Σολύμους ἔπεφνεν O. 13. 90. ἔπεφ'νέν τε Γοργόνα P. 10. 46. ἀλλὰ χρονίῳ σὺν Ἄρει πέφ'νεν τε ματέρα θῆκέ τ' Αἴγισθον ἐν φοναῖς P. 11. 37. τίνες Κύκνον τίνες Ἕκτορα πέφ'νον; I. 5. 39. πέφ'νεν δὲ σὺν κείνῳ Μερόπων ἔθνεα I. 6. 31. πέφ'νε δὲ τρεῖς καὶ δέκ' ἄνδρας fr. 135. πέφνε Δρυ[?fr. 335. 10 in tmesis fr. 171.

πηδάλιον] *steering oar* νώμα δικαίῳ πηδαλίῳ στρατόν P. 1. 86. (Τύχα) δίδυμον στρέφοισα πηδάλιον fr. 40.

Πηλεΐδας] *son of Peleus* Achilles. τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ Φιλύρας υἱὸν ὀρφανιζομένῳ Πηλεΐδᾳ παραινεῖν P. 6. 23. ἐπεὶ δ' ἄλκιμον νέκυν ἐν τάφῳ πολυστόνῳ θέντο Πηλεΐδαν Πα. 6. 99.

Πηλεύς] (-εύς, -έος, -ῆος, -έι, -εῖ, -έα.) son of Aiakos, husband of Thetis, father of Achilles. Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται sc. among those in Elysium O. 2. 78. Αἰακίδᾳ παρὰ Πηλεῖ P. 3. 87. πόλιν τάνδε (= Αἴγιναν) κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ P. 8. 100. παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμὼν N. 3. 33. Ἰαολκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν N. 4. 56. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν Πηλέα θ' N. 5. 26. οὐδ' ἔστιν — πόλις, ἅτις οὐ Πηλῆος ἀίει κλέος ἥρωος, εὐδαίμονος γαμβροῦ θεῶν I. 6. 25. "τὸ μὲν ἐμόν, Πηλέι γέρας θεόμορον ὀπάσσαι γάμου Αἰακίδᾳ" I. 8. 38. Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψεν μυρίοις fr. 172. 1. test., Σ Ael. Aristid., 2. 168 Dind., ἐν ὕμνοις Πίνδαρος μέμνηται ὅτι τὸν Εὐρυτίωνα, τὸν τοῦ Ἴρου τοῦ Ἄκτορος παῖδα ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς fr. 48.

πῆμα] (πῆμα, -ατος, -α, -ατα nom.) *pain, trouble* πῆμα θνᾴσκει παλίγκοτον δαμασθὲν O. 2. 19. Μοῖρ' — θεόρτῳ σὺν ὄλβῳ ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον O. 2. 37. ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ O. 12. 12. ἄντε δόλον αὐτῷ θέσαν Ζηνὸς παλάμαι, καλὸν πῆμα P. 2. 40. ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι P. 3. 81. μήτ' ὢν τινι πῆμα πορών P. 4. 297.

Πηνειός, Πηνεϊός] a. a river in Thessaly. Ἐφυραίων ὅπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμὰν P. 10. 56. cf. Σ, Πα. 10. 3, "τινα" λέγει Πηνειόν. "σύνδετος" λέγεται ὅτι ἔσχε συνάφειαν τῷ Τιταρησίῳ cf. Hom., B 751ff. b. the river god. (Ὑψεύς) ὃν ποτε — Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρέοισ' ἔτικτεν P. 9. 16.

Πηνελόπα] test., Σ Bern., Verg., Georg., 1. 17. Pana Pindarus e Mercurio et Penelopa in Lycaeo monte editum scribit. (Timpanaro, Stud. Urbin., B31, 1957,

184sqq.: ex Apolline et Penelopa, edd.) fr. 100.

πιαίνω] a. act., *fatten, increase* "ἀγρούς τε πάντας, τοὺς — νέμεαι πλοῦτον πιαί-νων" P. 4. 150. λευκανθέα σώμασι πιᾶναν καπνόν (Hermann: σώμασιν ἐπίαναν codd.) N. 9. 23. b. pass., *be fattened by, batten on* Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν πιαινόμενον P. 2. 56.

πιέζω] a. *press upon* Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα P. 1. 19. b. met., α. *suppress* (feelings) ἐν θυμῷ πιέσαις χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ O. 6. 37. β. *affect, be a burden to* τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον N. 1. 53.

πίειρα] f. adj., *fertile* Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς pr. N. 1. 15. cf πίων

Πιερίδες] (-ίδες, -ίδων.) *of Pieria* epith. of the Muses. κόραι Πιερίδες Διός O. 10. 96. pro subs., ἀπύζονται βοὰν Πιερίδων ἀίοντα P. 1. 14. ἐν μυχοῖσι Πιερίδων P. 6. 49. τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον P. 10. 65. Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων ἕνεκεν N. 6. 32. μιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς Πιερίδων I. 1. 65. με — ἀοίδιμον Πιερίδων προφάταν Πα. 6. 6. ἔστι μοι πατρίδ' ἀρχαίαν κτενὶ Πιερίδ[ων ? ὥ]στε χαίταν παρθένου ξανθ[(supp. Lobel) fr. 215. 6.]α Πιερίδες[P. Oxy. 1792, fr. 39.

***πιθέω]** *obey* "Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα φρασίν" P. 4. 109.

πίθος] *jar* τοὶ δ' ἐπίμπλαν ἐσσύμενοι πίθους· — πίθοι τε πλῆσθεν ἅπαντες *fr. 104b. 3, 5*. ἀνοῖξαι πίθον ὕμνων ?fr. 354.

πίθων] *monkey* καλός τοι πίθων παρὰ παισίν, αἰεὶ καλός P. 2. 72.

πικρός] *bitter* τὸ δὲ πὰρ δίκαν γλυκὺ πικ'ροτάτα μένει τελευτά I. 7. 48. πικρο-[τά]ταν κλάγεν ἀγγε[λία]ν ζαμενε[fr. 169. 34.

πίμπλημι] *fill* τοὶ δ' ἐπίμπλαν ἐσσύμενοι πίθους (i. e. impf., Naber: ἐπίμπλων codd. Plutarchi: ἐπίμπλεν Wil.: δὲ πίμπλων Page) *fr. 104b. 3.* πέλλαι γὰρ ξύλιναι πίθοι τε πλῆσθεν ἅπαντες *fr. 104b. 5.*

Πίνδος] Mt. Pindos in Thessaly. ἔσχον δ' Ἀμύκλας ὄλβιοι Πινδόθεν ὀρνύμενοι (sc. Ἡρακλεῖδαι) P. 1. 66. (Ὑψεύς)· ὃν ποτε Πίνδου κλεενναῖς ἐν πτυχαῖς Ναῒς — Κρέοισ' ἔτικτεν P. 9. 15.

πινῦτός] *prudent* σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν I. 8. 26.

πίνω] (πίνοντες, -οντας: fut. πίομαι: aor. πιεῖν.) *drink* (Θήβαν) τᾶς ἐρατεινὸν ὕδωρ πίομαι O. 6. 86. τοὺς δὲ προσανέα πίνοντας P. 3. 52. ἵνα οἱ κέχυνται πιεῖν νε̣[Πα. 15. 8. ἐξ ἀργυρέων κεράτων πίνοντες fr. 166. 5.

πιπίσκω] (fut. πίσω.) *offer to drink* πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ (τουτέστι τῷ ἐμῷ ῥεύματι ἤτοι τῷ ποιήματι ποτιῶ αὐτούς Σ.) I. 6. 74.

πίπτω] v. πίτνω.

Πίσα] (-α, -ας, -ᾳ.) a city of Elis on the Alpheos near Olympia, and so a. Olympia. Πίσας τε καὶ Φερενίκου χάρις O. 1. 18. Πίσα μὲν Διός O. 2. 3. ἅ τε Πίσα με γεγωνεῖν O. 3. 9. βωμῷ — μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ O. 6. 5. ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος O. 8. 9. ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας O. 13. 29. κόλποις παρ' εὐδόξοις Πίσας O. 14. 23. ὕπατον δ' ἔσχεν Πίσα Ἡρακλέος τεθμόν N. 10. 32. χαίταν στεφάνοις ἐκόσμηθεν ἔν τε Πίσᾳ Παρθ. 2. 49. b. strictly, the city itself. ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν λᾴαν τε πᾶσαν Διὸς ἄλκιμος υἱός O. 10. 43.

Πισάτας] *of Pisa* Πισάτα παρὰ πατρὸς — Ἱπποδάμειαν σχεθέμεν i. e. from Oinomaos, king of Pisa O. 1. 70. pro subs., ἀφίκοντο δέ οἱ ξένοι — οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται O. 9. 68.

Πισᾶτις] f. adj., *of Pisa* ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι O. 4. 11.

πιστός] (-οί; -ά, -άς; -όν nom., acc., -ά acc.: πιστόταται.) **a.** *trusty, loyal, sure* of people. καὶ μὰν θεῶν πιστὸν γένος N. 10. 54. παῖδα ποντίας Θέτιος βιατάν, πιστὸν ἕρκος 'Αχαιῶν Πα. 6. 85. πιστὰ δ' 'Αγασικλέει μάρτυς ἤλυθον ἐς χορὸν a girls' chorus speaks Παρθ. 2. 38. c. inf., "παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν καμάτου μεταλαμβάνειν" N. 10. 78. πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί P. 1. 88. **b.** of things **α.** ὕμνοι — πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς O. 11. 6. σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν — εὗρεν θεόθεν O. 12. 8. (δόνακες) πιστοὶ χορευτᾶν μάρτυρες P. 12. 27. 'Εριφύλαν ὅρκιον ὡς ὅτε πιστόν, δόντες Οἰκλεΐδᾳ N. 9. 16. ἀλλὰ δίκας ὁδοὺς π[ισ]τὰς ἐφίλη[σ.]ν (G-H: π[ά]σας Diehl) Παρθ. 2. 65. ἔσθ' ὅτε πιστόταται σιγᾶς ὁδοί (Bergk: -στάταις — ὁδοῖς codd.: -στάτα — ὁδός Sylburg) fr. 180. 2. **β.** *credible* ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι O. 1. 31. πιστὸν δ' ἀπίστοις οὐδέν fr. 233 **c.** n. pl. pro adv. πιστὰ φρονέων *with honest intent* O. 3. 17. **d.** n. s. pro subs, *what is trustworthy* μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν (Mommsen e Σ paraphr.: πιστά, πιστάν codd.: fort. -ον m. s.) N. 8. 44.

πίσυνος] *relying on* c. dat. 'Ιάσων — θεῷ πίσυνος P. 4. 232.

Πιτάνα] a city in Sparta: its eponymous nymph, mother by Poseidon of Euadne. πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερον ἐλθεῖν O. 6. 28.

πίτνω] (πίτνει, πίτ'νει; πίτ'νων, πίτνοντα: aor. (ἔ)πεσε(ν); πέσωμεν; πεσών, and for euphonic reasons, πετόντεσσιν, πετοῖσαν, πετοῖσαι: πίπτω occurs only in ἐμπίπτων I. 1. 68: the codd. offer normally the form πιτνέω and derivatives, def. by van Leeuwen on O. 2. 23) **a.** *fall* ἐν τεσσαράκοντα γὰρ μετόντεσσιν ἁνιόχοις P. 5. 50. met., πένθος δὲ πίτ'νει βαρὺ (Schr.: -εῖ codd.) O. 2. 23. ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί (Schr.: -εῖ codd.) P. 8. 93. φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει χαμαὶ πετοῖσαν (sc. χαμαιπετής) N. 4. 41. ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' 'Αΐδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα (δοκέοντι coni. Fennel, Lobel) N. 7. 31. **b.** *fall into, find oneself in* c. ἐν + dat., ἐν δ' ἀφύκτοισι γυιοπέδαις πεσὼν P. 2. 41. met., Νίκας ἐν ἀγκώνεσσι πίτ'νων ποικίλων ἔψαυσας ὕμνων (-ῶν v. l.) N. 5. 42. ἀδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας (πίτνοντο v. l.: νικῶντα Σ paraphr.) I. 2. 26. ἐν ὕπνῳ γὰρ πέσεν (sc. φάμα παλαιά) I. 4. 23. μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων I. 8. 6, cf. N. 7. 31, O. 7. 69. **c.** met., from lot taking, *fall out, happen* τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι O. 7. 69. πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν O. 12. 10. ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς ἁ δικαιόπολις — νᾶσος i. e. the lot of the island has fallen with the Graces P. 8. 21. **d.** frag.]πεσον Δ. 4. b. 10.

πίτνᾶμι] *stretch out* πίτναν τ' ἐς αἰθέρα χεῖρας ἀμᾶ 'Ενδαΐδος ἀριγνῶτες υἱοὶ N. 5. 11. πιτνάντες θοὰν κλίμακ' οὐρανὸν ἐς αἰπύν (Hermann: πίτνοντες codd.) fr. 162.

πιφαύσκω] *make known*]ήταν πιφαύσκων[Δ. 4. 4.

πίων] (cf. πίειρα.) *fertile* "Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα" P. 4. 56.

πλᾶγά] (-αί, -ᾶν, -αῖς.) *blow* ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου O. 10. 37. ναῦν — τέλεσαν ἂν πλαγαὶ σιδάρου P. 4. 246. of boxing, καματωδέων δὲ πλαγᾶν ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ τὸ καλλίνικον φέρει N. 3. 17. αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι I. 5. 60.

πλάγιος] *crooked* met., *perverse* καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα N. 1. 64. πλαγίαις δὲ φρένεσσιν I. 3. 5.

πλάζω] pass. **a.** *wander, go astray* ὁ δ' ἀποπλέων Σκύρου μὲν ἅμαρτε, πλαγχθέντες δ' εἰς 'Εφύραν ἵκοντο (Boeckh: ἅμαρτεν ἵκ. δ' εἰς ἐφ. codd.) N. 7. 37. **b.** met.,

wander in one's mind, lose one's senses αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων πίνοντες ἐπ'λάζοντο (sc. Κένταυροι) fr. 166. 5.

πλᾶκτρον] *plectrum* for playing the lyre. φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων N. 5. 24.

πλᾰνάομαι] *stray from* c. gen., met. ἀγαπατὰ δὲ (sc. ἐστί) καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι N. 8. 4.

πλάξ] *wide expanse* of the sea. πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα P. 1. 24.

πλάξιππος, -ον] *chariot driving* πλάξιππον — Θήβαν O. 6. 85. οὐκ ἐμέμφθη ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός I. 2. 21. cf. Πα. 1. 7.

πλάσσω] a. *hurl* Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν N. 10. 71. b. *strike* ματρὸς δὲ ματέρ' ἐμᾶς — πολεμίῳ πυρὶ πλαγεῖσαν Πα. 2. 29. c. in tmesis, v. ἐκπλάσσω.

πλᾰτύς] *broad* πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν N. 6. 45.

πλειστόμβροτος, -ον] *crowded with people* ἑορτὰν — πλειστόμβροτον O. 6. 69.

πλεῖστος], πλέων] v. πολύς.

πλεκτός] *woven* ὁ δ' ἄφ[αρ π]λεκτόν τε χαλκὸν ὑπερη[..].ε τραπεζαν προβάτων ἀλυσιωτὸν δι' ἑρκέων (supp. Lobel: i. e. a chain) fr. 169. 26.

πλέκω] *weave* ἀλίκων τῶ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον I. 8. 66. met., ἀνδράσιν αἰχματαῖσι πλέκων ποικίλον ὕμνον O. 6. 86. οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι ῥήματα π'λέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν a wrestling metaphor N. 4. 94.

πλευραί] *ribs* ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν N. 10. 70. τέλος δ' ἀείραις πρὸς στιβαρὰς ἐπάραξε πλευράς (sc. Ἀνταῖον: i. e. against his own ribs?) fr. 111. 4.

πλέω] *sail* μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν P. 4. 69. ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι π'λέων Νείλου πρὸς ἀκτάν I. 2. 42.

πλῆθος] *multitude* δηρίομαι πολέσιν περὶ πλήθει καλῶν O. 13. 46.

πλήθω] *crowd* ἐν ἀγορᾷ πλήθοντος ὄχλου P. 4. 85.

Πληϊόνα] daughter of Ocean, wife of Atlas, mother of Pleiades. τρεχέτω δὲ μετὰ Π'ληϊόναν, ἅμα δ' αὐτῷ κύων (sc. Ὠαρίων) fr. 74. cf. test., Et. Magn., 675. 34. λέγει δὲ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληιόνης πορευομένης μετὰ τῶν θυγατρῶν κατὰ τὴν Βοιωτίαν, συναντῆσαι αὐτῇ Ὠρίωνα· εἶτα ἐρασθεὶς ὥρμησε πρὸς τὸ ἁρπάσαι· τὴν δὲ φεύγουσαν μετὰ τῶν θυγατρῶν, Ὠρίων ἐδίωκε· γενέσθαι δὲ αὐτῶν τὸν δρόμον πέντε ἔτη ἀδιάλειπτον· τὸν δὲ Δία, διὰ τὴν κακοπάθειαν αὐτῶν, οἱονεὶ μνήματα κατηστερίσθαι τὰς Πλειάδας φευγούσας τὸν Ὠρίωνα ὅς ἐστιν ἐνιαυτός cf. Σ. N. 2. 17c, καὶ ὅτε μὲν Πληιάδας καλεῖ πληθυντικῶς, ὅτε δὲ Πληιόνην ὡς μίαν.

πλόκαμος] *lock* of hair. οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί P. 4. 82. ἀν]δησάμεναι πλοκάμους Πα. 13. a. 16. μελιρρόθων δ' ἕπεται πλόκαμοι (ἐπέων πλόκοι coni. Schr.) fr. 246a.

πλόκος] *wreathing, wreath* δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν φανέντα O. 13. 33.]πλοκον σ[τεφά]νων κισσίνων Δ. 3. 7.

πλόος] (-ος, -ου, -ον.) *voyage* τῷ μὲν ὁ Χρυσοκόμας — ναῶν πλόον εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν O. 7. 32. ναυσιφορήτοις δ' ἀνδράσι — ἐς πλόον ἀρχομένοις P. 1. 34. ἀλλ' Αἰακίδαν καλέων ἐς πλόον I. 6. 36. esp., of the Argonauts, ὤρνυεν κάρυκας ἐόντα πλόον φαινέμεν παντᾷ P. 4. 170. κεῖνος — ἡμιθέων πλόος P. 4. 211. καὶ τὸν Ἰάσονος εὔδοξον πλόον ἐκτελέσαις fr. 172. 6. met., εὐθὺν δὲ πλόον καμάτων ἐκτὸς ἐόντα δίδοι O. 6. 103. ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον P. 10. 29. ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν, ὡς ὅτ' ἄκατον ἐνναλίαν; P. 11. 39. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι; N. 3. 27.

πλουτέω] *be wealthy* τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον P. 2. 56. τοὶ δ' αὖ πλουτέοντες fr. 124. 8.

πλοῦτος] (-ος, -ου, -ῳ, -ον.) *wealth* μεγάνορος ἔξοχα πλούτου O. 1. 2. αἰὼν δ' — πλοῦτόν τε καὶ χάριν ἄγων O. 2. 10. ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν καιρόν O. 2. 53. πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν ἀλλότριον, θνᾴσκοντι στυγερώτατος O. 10. 88. Δίκα καὶ ὁμότροφος Εἰρήνα, τάμι' ἀνδράσι πλούτου O. 13. 7. πλούτου στεφάνωμ' ἀγέρωχον P. 1. 50. εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι P. 3. 110. "πλοῦτον πιαίνων" P. 4. 150. ὁ πλοῦτος εὐρυσθενής P. 5. 1. νόῳ δὲ πλοῦτον ἄγει P. 6. 47. πέταται ὑποπτέροις ἀνορέαις, ἔχων κρέσσονα πλούτου μέριμναν P. 8. 92. ἕποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν P. 10. 18. οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν N. 1. 31. Κινύραν ἔβρισε πλούτῳ N. 8. 18. δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον N. 11. 41. εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον I. 1. 67. εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου I. 3. 2. καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις (v. διαστείχω) I. 3. 17. "πλούτου πειρῶν" Πα. 4. 46. ἕσπετο δ' αἰενάου πλούτου νέφος fr. 119. 4. πελάγει δ' ἐν πολυχρύσοιο πλούτου πάντες ἴσᾳ νέομεν fr. 124. 6.

πνέω] (πνέομεν; πνέοις; πνέων, -οντος, -όντων, -οισαν: impf. πνέ̆ον: aor. πνεύσαις.) *breathe* **a.** lit. πῦρ πνεόντων ἀρχὸς ἵππων O. 7. 71. Χίμαιραν πῦρ πνέοισαν O. 13. 90. φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέ̆ον sc. the bulls of Aietes P. 4. 225. πῦρ πνέοντος — κεραυνοῦ fr. 146. **b.** met., *live, have life* ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι (sc. ἄνδρες καὶ θεοί) N. 6. 1. "ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών, ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν" Zeus addresses Kastor N. 10. 87. **c.** *be minded, have aspirations* **α.** c. n. pl. adj. κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι τερπνόν O. 10. 93. ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει P. 11. 30. ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκεῖ κατέβα ποδί (οὐκ ἀεὶ τὰ αὐτὰ φρονῶν Σ: *of inconstant purpose*) N. 3. 41. **β.** c. dat. θρασείᾳ δὲ πνέων καρδίᾳ μόλεν Δανάας ποτὲ παῖς P. 10. 44. **d.** frag.]πνευσ[Πα. 8A. 9.

πνοά, πνοιά] (πνοά, -αί, -αῖσ(ιν), -άς: π'νοιαῖς.) **a.** *breath* ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόαισι πνοαῖς (sc. Μετώπα) O. 6. 83. καί μιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν (Er. Schmid: ἀμπνοάς, ἀναπνοὰς codd.) N. 10. 74. **b.** *wind, gust of wind* ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα ψυχροῦ O. 3. 31. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ ὑψιπετᾶν ἀνέμων P. 3. 104. μὴ φθινοπωρὶς ἀνέμων χειμερία κατὰ πνοὰ δαμαλίζοι χρόνον (Bergk: καταπνοὰ codd.) P. 5. 121. Ζεφύρου τε σιγάζει πνοὰς αἰψηράς Παρθ. 2. 16. **c.** *sound* of wind-instruments πόμ' ἀοίδιμον Αἰολίσσιν ἐν πνοαῖσιν αὐλῶν (ἐμπνοαῖς v. l.: ἐμπνοαῖσιν Turyn) N. 3. 79.

ποδαρκής] *swift of foot* ἐν Ἀθάναισι τρία ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις i. e. *a day of swift footracing* O. 13. 38. ποδαρκέων δώδεκ' ἂν δρόμων τέμενος (contra Bergk, "recte ut videtur schol. participium verbi esse existimat") P. 5. 33.

ποθεινός] *desired* ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ ποθεινὸς O. 10. 87. ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν O. 8. 64. ποθεινὰ δ' Ἑλλὰς αὐτὰν — δονέοι μάστιγι Πειθοῦς *yearning for Greece* P. 4. 218. ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν κλέος ἔπραξεν I. 5. 7.

πόθεν] *whence* **a.** introduces dir. quest. ταὶ Διωνύσου πόθεν ἐξέφανεν σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ; O. 13. 18. **b.** introduces indir. quest. κατερεῖς, πόθεν ἔλαβες ναυπρύτανιν δαίμονα Πα. 6. 130. **c.** frag.]καὶ πόθεν ἀθαν[άτων ? ἔρις ἀ]ρξατο Πα. 6. 50.

ποθέω] a. *miss, yearn for* c. acc. "ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς" O. 6. 16. b. *desire* c. inf. ἦ πόλλ' ἀμφὶ κρουνοῖς Πάγασον ζεῦξαι ποθέων ἔπαθεν O. 13. 64.

πόθι] *where* introducing indirect quest. ἀνάγνωτέ μοι 'Αρχεστράτου παῖδα, πόθι φρενὸς ἐμᾶς γέγραπται O. 10. 2.

πόθος] *longing* τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα ναὸς 'Αργοῦς P. 4. 184. τὰς δὲ Θεοξένου ἀκτῖνας πρὸς ὄσσων μαρμαρυζοίσας δρακεὶς ὃς μὴ πόθῳ κυμαίνεται fr. 123. 4.

ποι] *in some way* (v. Wackernagel, Kl. Schr., 700ff.) Μοῖσα δ' οὕτω ποι παρέστα μοι (που, τοι vv. ll.) O. 3. 4. ἄγει δὲ Χάρις φίλων ποί τινος ἀντὶ ἔργων ὀπιζομένα (ποίνιμος coni. Spiegel) P. 2. 17. ἀκούοντί ποι χθονίᾳ φρενί P. 5. 101.

ποία] a. *greenery* i. e. *bayleaves* στεφάνοισί τέ μιν ποίας ἔρεπτον P. 4. 240. ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασσίδι P. 8. 20. b. met., *flower* of love "ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν" P. 9. 37.

ποιάεις] *verdant* ἀνθέων ποιά·ντα φέρε στεφανώματα N. 5. 54.

Ποίας] father of Philoktetes. Ποίαντος υἱὸν τοξόταν P. 1. 53.

ποιητός] *fabricated* ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον N. 5. 29.

ποικιλάνιος, -ον] *with embroidered reins* ποικιλανίους — πώλους P. 2. 8.

ποικίλλω] *embroider* met. ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων — ἅπτομαι φέρων Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν (v. μίτρα) N. 8. 15. ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι· βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν ἀκοὰ σοφοῖς *deftly to bring out* P. 9. 77.

ποικιλόγᾱρυς] *with varied tones* φόρμιγγά τε ποικιλόγαρυν O. 3. 8.

ποικιλόνωτος] *with spotted back* γλαυκῶπα — ποικιλόνωτον ὄφιν P. 4. 249.

ποικίλος] (-ον, -ων; -α, -αν; -ον nom., acc., -ων, -οις.) a. lit. α. *spotted, dappled* ποικίλον ἴυγγα P. 4. 214. "δράκοντα ποικίλον" P. 8. 46. νῦν δ' αὖ μετὰ χειμέριον ποικίλα μηνῶν ζόφον χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις (Hartung: ποικίλων codd.) I. 4. 18. add. dat., καὶ ποικίλον κάρα δρακόντων φόβαισιν ἤλυθε νασιώταις λίθινον θάνατον φέρων P. 10. 46. β. *embroidered* μελέων ἄπο ποικίλον [σπά]ργανον ἔρριψεν Πα. 20. 11. ποι]κίλ[ων ἐ]κ λεχέω[ν ἀπέ]διλ[ος (supp. Lobel) fr. 169. 36. b. met. α. *ever changing, crafty* ψεύδεσι ποικίλοις O. 1. 29. πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν N. 5. 28. β. *varied, many faceted* ποικίλον ὕμνον O. 6. 87. ποικίλων ἔψαυσας ὕμνων N. 5. 42. ὑφαίνω δ' 'Αμυθαονίδαισιν ποικίλον ἄνδημα (i. e. ὕμνον) fr. 179. εἶα τειχίζωμεν ἤδη ποικίλον κόσμον αὐδάεντα λόγων fr. 194. 2. n. s. acc. pro adv., *in varied tones,* ποικίλον κιθαρίζων N. 4. 14. frag.]ειμοι τοτε ποικίλον Πα. 22. 2.

ποικιλοφόρμιγξ] *with varied tones of the lyre* ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς O. 4. 2.

ποιμαίνω] *tend* met., *cherish* τὰ μὲν ἁμετέρα γλῶσσα ποιμαίνειν ἐθέλει O. 11. 9. δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν ἄλπνιστον, εὐανθεῖ σὺν ὄλβῳ εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ (sic distinxit Hartung, post ὄλβῳ cdd. plerique) I. 5. 12.

ποιμήν] *shepherd* met. πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν ἀλλότριον O. 10. 88. (ἔρωτες) οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπρίας δώρων N. 8. 6.

ποίμνα] *herd* ἔνθα ποῖμναι κτιλεύονται κάπρων λεόντων τε (Boeckh: ποιμένεις, αἱ ποῖμναι codd.) fr. 238.

ποινά] (-ά, -άν; -ᾶς.) a. *penalty* θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες ποινὰς ἔτεισαν O. 2. 58. [ποινὰ? v. l. ap. Σ, Πα. 6. 172.] οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται fr. 133. 1. b. *reward* Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων P. 1. 59. ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον N. 1. 70. c. *remedy* δυσθρόου φωνᾶς ἀνακρινόμενον (sc. Βάττον) ποινὰ τίς ἔσται πρὸς θεῶν P. 4. 63.

[**ποίνιμος** (coni. Spiegel: ποί τινος codd.) P. 2. 17.]

ποῖος] *what kind of* a. introduces dir. quest. "ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι πατρίδ' ἔμμεν;" P. 4. 97. "ποίας δ' ἀποσπασθεῖσα φύτλας, ὀρέων κευθμῶνας ἔχει σκιοέντων"; P. 9. 33. b. introduces indir. quest. ὁ δέ οἱ φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις N. 1. 61.

ποιπνύω] *show zeal for* Θώρακος, ὅσπερ ἐμὰν ποιπνύων χάριν τόδ' ἔζευξεν ἅρμα Πιερίδων P. 10. 64 .

πολεμᾱδόκος] *taking the brunt of war* ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις P. 10. 13.

πολεμίζω] *battle* ἀργυρέῳ τόξῳ πολεμίζων Φοῖβος (πελεμίζων coni. Thiersch) O. 9. 32. ὅς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν I. 1. 50.

πολέμιος] a. *enemy* πολεμίων ἀνδρῶν καμόντων P. 1. 80. pro subs., θεῶν πολέμιος, Τυφώς P. 1. 15. b. of things, *of war* πολεμίων καμάτων ἐξ ἀμαχάνων P. 2. 19. λατρίαν Ἰαολκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς N. 4. 55. ματέρ' — πολεμίῳ πυρὶ πλαγεῖσαν Πα. 2. 30.

πολεμιστάς] *warrior* τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ N. 4. 27. καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ λόγον ἐκέρδαναν I. 5. 26.

πόλεμος] (-ου, -οιο, -ῳ, -ον; -οι, -ων, -οισι.) *war* Ὀλυμπιάδα — ἀκρόθινα πολέμου O. 2. 4. ἐν μάχαις τε πολέμου τιμώμενος O. 2. 44. ὀρνυμένων πολέμων O. 8. 34. ἔα πόλεμον μάχαν τε πᾶσαν χωρὶς ἀθανάτων O. 9. 40. τὰν πολέμοιο δόσιν ἀκρόθινα διελὼν ἔθυε O. 10. 56. λαιψηροὶ πόλεμοι κἀγοραὶ βουλαφόροι O. 12. 4. οἵαις ἐν πολέμοισι μάχαις (πολέμοιο coni. Bergk, cf. O. 2. 44.) P. 1. 47. νεότατι μὲν ἀρήγει θράσος δεινῶν πολέμων P. 2. 64. ἐν πολέμῳ P. 3. 101. Ἡσυχία — βουλᾶν τε καὶ πολέμων ἔχοισα κλαΐδας ὑπερτάτας P. 8. 3. ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά οἱ χαλκεντέος λαὸν ἵππαιχμον N. 1. 16. εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται N. 5. 19. ἐν πολέμῳ N. 9. 36. μάντιν Οἰκλείδαν, πολέμοιο νέφος N. 10. 9. φθιμένου — Κάστορος ἐν πολέμῳ N. 10. 59. τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν I. 4. 17. χαλκοχάρμαν ἐς πόλεμον I. 6. 27. προμάχων ἀν' ὅμιλον ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος I. 7. 36. "υἱὸν εἰσιδέτω θανόντ' ἐν πολέμῳ" I. 8. 36. τοὶ σὺν πολέμῳ κτησάμ[ενοι] χθόνα Πα. 2. 59. στ[ρατὸν] — πολέμῳ τελευταίῳ προβιβάζοις Πα. 2. 105. πολέμοιο δὲ σᾶμα φέρεις τινός; Πα. 9. 13. πολέμου[Πα. 13. a. 23. γλυκὺ δὲ πόλεμος ἀπείροσιν fr. 110.]πολεμοι[P. Oxy. 2442, fr. 17a. c. gen., "τρέω τοι πόλεμον Διὸς Ἐννοσίδαν τε βαρύκτυπον" i. e. war with Zeus Πα. 4. 41. met., *warspirit* μῆτίν τε γαρύων παλαιγόνων πόλεμόν τ' O. 13. 51. pro pers., κλῦθ' Ἀλαλά, Πολέμου θύγατερ fr. 78. 1.

πολῐάοχος] (cf. πολίοχος) *protecting the city* ὦ πολιάοχε Παλλάς as guardian of Kamarina O. 5. 10. πολιαοχ[ο Πα. 10. 12.

πολῐαρχος] *ruler of the city* Αἰακόν — ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ N. 7. 85.

Πολῐάς] epith. of Athene, *guardian of cities* ὅσσα τ' ἔριξε λευκωλένῳ ἀκναμπτον Ἥρᾳ μένος ἀντερείδων, ὅσα τε Πολιάδι (sc. Ἀπόλλων) Πα. 6. 89.

πολιάτας] *citizen* κέρδος ὕψιστον δέκεται πολιατᾶν καὶ ξένων γλώσσας ἄωτον I. 1. 51.

πολῐός] a. of things, *white flecked, grey* ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς O. 1. 71. πολιᾶς — ἔνδον θαλάσσας O. 7. 61. ὑπὲρ πολιᾶς ἁλὸς P. 2. 68. πολιῷ χαλκῷ P. 3. 48, P. 11. 20. πολιᾶς ἁλὸς I. 4. 56. b. as a sign of age, *hoary* "φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαὶ (sc. τρίχες) O. 4. 26. "τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;" Pelias addresses Jason abusively P. 4. 98. Ἀίδαν γῆράς τε δέξασθαι πολιὸν I. 6. 15.

πολῐοχος, -ον] (cf. πολιάοχος) *protecting the city* π]ολίοχον Γλαυκ[ώπιδ]α (supp. Lobel) Δ. 4. 38.

πόλις, πτόλις] (-ις, -ιος, -ι coni., -ιν; -ίων, -ίεσ(σ)ι(ν), πόλεσιν dub., -ῖς dub.: πτόλις, -ιν: πόλεα heterocl. acc. dub. Δ. 3. 9.) *city, state* αὐδάσομαι — τεκεῖν μή τιν' — πόλιν — ἄνδρα μᾶλλον εὐεργέταν— Θήρωνος O. 2. 93. τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον O. 5. 4. αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς δαιδάλλειν O. 5. 20. βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν (Lindos?) O. 7. 34. Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει θαλίας καὶ πόλις (Ialysos) O. 7. 94. αὐτούς τ' ἀέξοι καὶ πόλιν O. 8. 88. φίλαν πόλιν μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς O. 9. 21. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν (Opous) O. 9. 66. νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων O. 10. 13. ἴδε πατρίδα πολυκτέανον — βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν (the city of Augeas, king of the Epeians) O. 10. 38. Τίρυνθα ναίων πόλιν O. 10. 68. μέλιτι εὐάνορα πόλιν καταβρέχων (Locri Epizephyrii) O. 10. 99. βάθρον πολίων ἀσφαλές, Δίκα O. 13. 6. ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου καλλίπλουτοι πόλιες O. 13. 111. ὅρος — τοῦ μὲν ἐπωνυμίαν κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν γείτονα (Aitna) P. 1. 31. Πριάμοιο πόλιν πέρσεν P. 1. 54. τῷ πόλιν κείναν — Ἱέρων ἐν νόμοις ἔκτισσε (Aitna) P. 1. 61. χώταν πόλιν οἱ σοφοὶ τηρέωντι P. 2. 88. κτίσσειεν εὐάρματον πόλιν ἐν ἀργεννόεντι μαστῷ (Cyrene) P. 4. 8. "μεγαλᾶν πολίων ματρόπολιν Θήραν γενέσθαι" P. 4. 19. ["νάεσσι πόλῖς ἀγαγὲν Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα" (Lehrs: πολεῖς codd.) P. 4. 56.] ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις P. 4. 272. βασιλεὺς ἐσσὶ μεγαλᾶν πολίων P. 5. 16. ἦλθες ἤδη Λιβύας πεδίον — καὶ πατρωίαν πόλιν (Cyrene) P. 5. 53. Κυράνας ἀγακτιμέναν πόλιν P. 5. 81. πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ Ἐρεχθέος ἀστῶν P. 7. 9. Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ πόλιν τάνδε κόμιζε P. 8. 99. καλλίσταν πόλιν (Cyrene) P. 9. 69. τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι (Cyrene) P. 9. 91. ἔβαν Ἴρασα πρὸς πόλιν P. 9. 106. ἐν δ' ἀγαθοῖσι κεῖται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες P. 10. 72. τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ ὄλβῳ τεθαλότα P. 11. 52. φιλάγλαε, καλλίστα βροτεᾶν πολίων (Akragas) P. 12. 1. παρὰ καλλιχόρῳ ναίοισι πόλι Χαρίτων (Bergk: πόλιν, πόλει codd.: καλλίχορον — πόλιν Theon: Orchomenos) P. 12. 26. Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς N. 1. 15. χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις (Aigina) N. 5. 47. πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων Αἰακιδᾶν (Aigina) N. 7. 9. πρὸς Ἴλου πόλιν N. 7. 30. Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν N. 7. 35. πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' (Aigina) N. 8. 13. κυδαίνων πόλιν (Sikyon) N. 9. 12. Δαναοῦ πόλιν — Ἄργος N. 10. 1. Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες N. 10. 47. τάνδ' ἐς εὔνομον πόλιν (Aigina) I. 5. 22. πόλιν Τρώων πράθον I. 5. 36. πόλις Αἴαντος — Σαλαμίς I. 5. 48. οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις ἅτις οὐ Πηλέος ἀίει κλέος I. 6. 24. τάνδε πόλιν θεοφιλῆ ναίοισι (Aigina) I. 6. 65. φιλαρμάτου πόλιος — ἀγεμόνα (sc. Θήβαν) I. 8. 20. "πάσαις πολίεσσιν ὁμίλει" fr. 43. 3. πολίων δ' ἑκατὸν πεδέχειν μέρος ἕβδομον (in Krete) Πα. 4. 37. διέπερσεν Ἰλίου πόλ[ιν Πα. 6. 104.]πόλιν πατρίαν (Aigina?) Πα. 6. 178. Κάδμου στρατὸν καὶ Ζεάθου πό[λιν] (Thebes) Πα. 9. 44.]υ πόλιν χαλκεα[Πα. 14. 26.]ν' ἀμφὶ πόλιν φλεγε[Πα. 18. 4.]σχήσει πολι[Πα. 21. 17. Κυ]κλώπων πτόλις α[Δ. 1. 6. τ]ίνα πτόλιν Δ. 4. c. 6. θύεται ἄνδρες ὑπὲρ πόλιος (Bergk e paraphr. Plutarchi: ὑπὲρ πολέων, ἐπὶ πόλεως codd. Herodiani) fr. 78. 3. ὑψηλὰν πόλιν ἀμφινέμονται (Akragas) fr. 119. 2. ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες (πολίεσσιν coni. Boeckh, edd.) fr. 210. ἁ μὲν πόλις Αἰακιδᾶν (Aigina) fr. 242. δαιτίκλυτον πόλιν ἐς Ὀρχομενῶ διώξιππον ?fr. 333a. 8. dub.,]εων ἐλθὲ φίλαν δὴ πόλεα (Schr.: πολέα G-H: πολεῶ[ν] Π: forma πόλεα valde dubia, nott. Snell) Δ. 3. 9.

πολίτας] (-ῖται, -ίταις, -ῖται: cf. -ιάτας) *(fellow) citizen* ἠῢ δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν O. 5. 16. "κεδνοὶ πολῖται" P. 4. 117. ἔν τε σοφοῖς δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις P. 4. 296. κακολόγοι δὲ πολῖται P. 11. 28. τόν, ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ N. 2. 24.

πολλάκι(ς)] *often* ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι τὸ πολλάκις O. 1. 32. κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις φᾶμαι P. 2. 15. θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις P. 4. 295. καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι N. 5. 18. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει I. 1. 63. πολλάκι Πα. 6. 182.]πολλάκις[Πα. 12. 27. πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νοήματι πρὸς Ἀφροδίταν (Boeckh: πολλάκις codd.) fr. 122. 4.

πολῠάνθεμος, -ον] *rich in flowers* Ὧραι πολυάνθεμοι O. 13. 17.

πολύβᾰτος] *much frequented* θεοί, πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντ' ἐν ταῖς ἱεραῖς Ἀθάναις οἰχνεῖτε fr. 75. 3.

προπετής] *precipitate* δύο μὲν Κρονίου πὰρ τεμένει, παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος N. 6. 63.

προπίνω] *offer a toast* (in welcome) φιάλαν ὡς εἴ τις — δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε O. 7. 4.

πρόπολος] *servant* Μήδειαν — ναὶ σώτειραν Ἀργοῖ καὶ προπόλοις i. e. *sailors* O. 13. 54. πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι N. 4. 79.

προπράων] *benevolent* Ἡράκλεες, σέο δὲ προπρᾷον' ἔμμεν ξεῖνον ἀδελφεόν τ' (Schr.: προπρεῶνα μὲν codd.) N. 7. 86.

πρός] (cf. ποτί.)

1. prep. c. acc. a. *to, toward* πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται — Ἡρακλέος σταλᾶν O. 3. 43. πρὸς Πιτάναν — δεῖ σάμερον ἐλθεῖν O. 6. 28. κοῖλαν πρὸς ἄγυιαν θνασκόντων (v. l. ἐς) O. 9. 34. "Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα" P. 4. 56. "ἐλθόντας πρὸς Αἰήτα θαλάμους" P. 4. 160. ἔβαν Ἴρασα πρὸς πόλιν P. 9. 106. ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον P. 10. 28. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι N. 3. 26. κατέδρακεν Ἡρακλέος ὀλβίαν πρὸς αὐλὰν N. 4. 24. βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται — πρὸς Ἰόνιον πόρον N. 4. 53. Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν *lying to the west* N. 4. 69. ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου *up to* N. 5. 51. πρὸς ἄκρον ἀρετᾶς ἦλθον N. 6. 23. πρὸς Ἴλου πόλιν N. 7. 30. ᾤχετο δὲ πρὸς θεόν N. 7. 40. (ἀρετά)

ἀερθεῖσ' — π'ρὸς ὑγρὸν αἰθέρα N. 8. 41. ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν I. 2. 42. πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν fr. 124. 7. πρὸς Ὄλυμπον Θρ. 7. 15. irregular position: πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας ὤρεγον χεῖρας P. 4. 239. **b.** *against* **α.** γέρονθ' ὅτι Πρίαμον πρὸς ἑρκεῖον ἤναρε βωμὸν ἐπενθορόντα Πα. 6. 114. τέλος δ' ἀείραις πρὸς στιβαρὰς ἐπάραξε πλευράς fr. 111. 4. "δοιὰ βοῶν θερμὰ πρὸς ἀνθρακιὰν στέψαν" (Schr.: δ' εἰς codd., valde corrupti) fr. 168. 2. **β.** *in opposition, answer to: against* ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον O. 2. 88. χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων O. 10. 84. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν P. 2. 88. μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον fr. 180. 1. **c.** *towards (the time of), about* πρὸς εὐάνθεμον δ' ὅτε φυὰν O. 1. 67. τὸν δὲ σύγκοιτον γλυκὺν παῦρον ἐπὶ γλεφάροις ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ P. 9. 25. τελέθει πρὸς γῆρας αἰὼν ἡμέρα N. 9. 44. **d.** of mental direction, *to* πρὸς ἡσυχίαν φιλόπολιν — τετραμμένον O. 4. 16. ὄφρα — ἵκωμαι — π'ρὸς ἀνδρῶν καὶ γένος O. 6. 24. "τραχεῖαν ἑρπόντων πρὸς ἔπιβδαν" P. 4. 140. θυμὸν ἐκδόσθαι πρὸς ἥβαν P. 4. 295. πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν ἦτορ I. 3. 10. πτάμεναι νοήματι π'ρὸς Ἀφροδίταν (Wil.: ποτ τὰν codd.) fr. 122. 5. **e.** *with a view to, with the object of* ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον κινδύνῳ κεκαλυμμένον O. 5. 15. ἄνεται δὲ π'ρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς O. 8. 8. ἐρεθίζομαι πρὸς αὐτά[ν] *I am provoked to song* fr. 140b. 14. **f.** *in respect of, in* ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν P. 6. 42. ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι N. 8. 4. **g.** *by reference to, according to* τῶν νῦν δὲ καὶ Θρασύβουλος πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα P. 6. 45.

2. c. gen. **a.** of pers., *at the hands of, from, by* χρὴ πρὸς μακάρων τυγχάνοντ' εὖ πασχέμεν P. 3. 103. δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς θεῶν P. 4. 63. ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν P. 4. 297. ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον N. 9. 45. καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις N. 10. 42. τετίματαί τε πρὸς ἀθανάτων φίλος I. 4. 59. πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς fr. 123. 6. ἥροες ἁγνοὶ πρὸς ἀνθρώπων καλέονται fr. 133. 6. **b.** *in the eyes of* ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει P. 4. 286. **c.** *by* in prayers, invocations. πρὸς Ὀλυμπίου Διός σε, χρυσέα κλυτόμαντι Πυθοῖ, λίσσομαι — με δέξαι Πα. 6. 1. ἀλλά σε πρὸς Διός, ἱππόσοα θοάς, ἱκετεύω Πα. 9. 7. **d.** *under the force of, in the face of* πένθος δὲ πίτνει βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν O. 2. 24. **e.** *from* τᾶς δὲ Θεοξένου ἀκτῖνας πρὸς ὄσσων μαρμαρυζοίσας δρακείς (Kaibel: ἀκτῖνας ὄσσων, ἀκτῖνας προσώπων codd.) fr. 123. 2.

3. c. dat., *on at* ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν P. 1. 86. [πρὸς τέρμασιν (coni. Boeckh: ἐν codd.) P. 9. 114.] ἐσχατιαῖς ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυραν (v. l. ἐσχατιὰς) I. 6. 12.

4. in tmesis. πρὸς ὄμμα βαλὼν χερὶ[(v. προσβάλλω) Πα. 15. 6.

προσάγω] *bring* ξυνὸν ἄστει κόσμον ἐῷ προσάγων (sc. Λάμπων) I. 6. 69.

προσαιτέω] *beg for* δ' οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἔπι fr. 177f.

προσανής] *soothing* πέποιθα ξενίᾳ προσανεῖ Θώρακος P. 10. 64. pro subs., τοὺς δὲ προσανέα πίνοντας (sc. φάρμακα, simm.) P. 3. 52.

προσάντης] *steep* met. οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος γίνεται, εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων I. 2. 33.

προσάπτω] *attach to, fix upon* c. acc. & dat., κελεύθοις ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω N. 8. 37.

προσαυδάω] *address* "φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσαύδα" (Ahrens: -ηύδα codd., cf. Forssman, 99) P. 4. 119.

προσβάλλω] a. *lay upon* χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν P. 4. 271. b. *cast before, provide* μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι (sc. ἥρωες) I. 5. 29. c. in tmesis, met., *cast upon* πρὸς ὄμμα βαλὼν χερὶ (sc. Ζεύς) Πα. 15. 6.

πρόσειμι] *come towards* ταρβεῖ προσιόντα νιν (= πόλεμον) fr. 110.

προσεῖπον] *address, call upon* ἄμμι δ' ἔοικε Κρόνου Σεισίχθον' υἱὸν — κελαδῆσαι, καὶ σέθεν, Ἀμφιτρύων, παῖδας προσειπεῖν I. 1. 56.

[**προσέλκω,** v. προσέρπω.]

προσεννέπω] *call upon* by name κλέπτων δὲ θυμῷ δεῖμα προσήνεπε P. 4. 97. c. acc., αὐτίκα δ' ἐκ μεγάρων Χίρωνα προσήνεπε φωνᾷ (*called him out and addressed him*, Gildersleeve: cf. N. 1. 60.) P. 9. 29. c. acc. & inf., ἐγὼ δ' ὑψίθρονον Κλωθὼ κασιγνήτας τε προσεννέπω ἑσπέσθαι κλυταῖς ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς I. 6. 17.

προσέρπω] *steal upon* ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόαισι πνοαῖς ματρομάτωρ ἐμά (v. l. προσέλκει, cf. van Groningen on Theognis 372) O. 6. 83. τὸν προσέρποντα χρόνον P. 1. 57. cf. ποτιέρπω.

προσέχω] med., *be attached, devoted to* c. dat. τίν τ', Ἐλέλιχθον, — μάλα ἀδόντι νόῳ, Ποσειδάν, προσέχεται (Er. Schmid: προσέρχεται codd.) P. 6. 51.

πρόσθα] *before* πρόσθα μὲν ἴς Ἀχελωίου τὸν ἀοιδότατον — Μέλανός τε ῥοαὶ τρέφον κάλαμον (forma apud Pindarum inusitata; haud scio an πρόσθε sit scribendum, Turyn) fr. 70. 1.

πρόσθε(ν)] *earlier* ὅτι π'ρόσθε ποτὲ Τιρύνθιον ἔπερσαν αὐτῷ στρατόν O. 10. 31. πρόσθε γὰρ νώνυμος — βρέχετο πολλᾷ νιφάδι O. 10. 50. ἄλλον αἴνησεν γάμον — πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ P. 3. 14. οἶκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν — ἐπάγαγες P. 8. 65. πολλὰ δὲ π'ρόσθεν πτερὰ δέξατο νικᾶν P. 9. 125. κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ N. 9. 15. διπλόαν νίκαν ἀνεφάνατο παίδων ⟨τε⟩ τρίταν πρόσθεν I. 4. 71. τά τ' ἐόντα τε κα[ὶ —] πρόσθεν γεγενημένα Πα. 8. 84. followed by πρίν, ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἐᾷ πρόσθε καρδίᾳ, πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν P. 2. 91.

πρόσκοπος, -ον] *foreseeing* τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν fr. 231.

προσμείγνυμι] *unite with* met. κράτει δὲ προσέμειξε δεσπόταν (Schr.: προσέμιξε codd.: *brought success to his master*) O. 1. 22.

προσμένω] *withstand* c. acc. ὄφρα — ἀλαλὰν Λυκίων τε προσμένοι καὶ Φρυγῶν (sc. Ἀχιλλεύς) N. 3. 60.

πρόσοδος] *avenue* met. πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν N. 6. 45.

προσοίχομαι] *approach with reverence* (cf. ἐποίχομαι) ὀμφαλὸν ἐριβρόμου χθονὸς ἐς νάιον προσοιχόμενοι P. 6. 4.

προσοράω] *observe* τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι (vv. ll. ἰδέσθαι, πυθέσθαι) P. 1. 26.

πρόσοψις] *appearance* "φαιδίμαν ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος" P. 4. 29.

προσπᾰλαίω] *wrestle against* c. dat. καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ προσπαλαίει P. 4. 290. Ἀνταίου δόμους Θηβᾶν ἄπο Καδμειᾶν μορφὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος προσπαλαίσων ἦλθ' ἀνὴρ (sc. Ἡρακλέης) I. 4. 53.

προσπτύσσω] med., *welcome warmly* καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας (sc. Ξενοκράτης) I. 2. 39.

προστῐ́θημι] *add* ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθεὶς O. 5. 24. met., *link with*, τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ καὶ σεμνὸν ἀγλααῖσι μερίμναις Πυθίου Θεάριον N. 3. 68.

προστρέπω] dub., *turn over to* c. acc. & dat. λατρίαν Ἰαολκὸν πολεμίᾳ χερὶ προστρᾶπῶν Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν (προτραπὼν coni. Heyne: προστραχὼν Postgate) N. 4. 55.

προστυγχάνω] *befall* εἰ δέ τις ἀνθρώποισι θεόσδοτος †ἀτληκηκότας† προστύχῃ ταύταν σκότει κρύπτειν ἔοικεν (ἀτλάτα κακότας coni. Boeckh) fr. 42. 6.

πρόσφᾶτος] n. s. pro adv., *lately* πρόσφατον Θήβᾳ ξενωθεὶς P. 4. 299.

προσφέρω] a. *offer* τοῦτο δὲ προσφέρων ἄεθλον, ὄρθιον ὤρυσαι θαρσέων O. 9. 108. b. *lay upon* c. acc. & dat. "ὁσία κλυτὰν χέρα οἱ προσενεγκεῖν;" Apollo speaks P. 9. 36. c. *add to* οὐδ' ἀμόχθῳ καρδίᾳ προσφέρων τόλμαν παραιτεῖται χάριν N. 10. 30. d. *resemble* ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις N. 6. 4. "ὦ τέκνον, ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων πάσαις πολίεσσιν ὁμίλει" fr. 43. 3.

προσφθέγγομαι] *name* καὶ πάγον Κρόνου προσφθέγξατο O. 10. 50.

πρόσφορος, -ον] (cf. ποτίφορος.) a. *suitable, fitting* εἴην εὑρησιεπὴς ἀναγεῖσθαι πρόσφορος ἐν Μοισᾶν δίφρῳ O. 9. 81. χαίρω δὲ πρόσφορον ἐν μὲν ἔργῳ κόμπον ἱείς N. 8. 48. θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος N. 9. 7. ἀνδρὸς δ' οὔτε γυναικὸς — χρή με λαθεῖν ἀοιδὰν πρόσφορον Παρθ. 2. 37. b. *useful* c. dat. ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον ("Danaorum telis utile," Boeckh) fr. 183.

πρόσωθεν] (cf. πόρσω.) *further, beyond* οὐκ ἔστι π'ρόσωθεν θνατὸν ἔτι σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν (Boehmer: οὐκέτι πόρσω, οὐκ ἔστι πρόσω codd.) N. 9. 47.

πρόσωπον] (-ον, -ου, -ον; -α acc.) a. *face* οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής (v. l. ἀτρεκές ap. Stobaeum) N. 5. 17. οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί I. 2. 8. b. *facade* met., of the prelude to an ode ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές O. 6. 3. φάει δὲ π'ρόσωπον ἐν καθαρῷ — νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ P. 6. 14.

πρότερος] (-ων; -ᾳ, -αις, -ας; -ον.) a. *in former times, early* κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας O. 3. 11. ἐπὶ π'ροτέρων ἀνδρῶν O. 7. 72. ἀρχαῖς δὲ προτέραις ἑπόμενοι O. 10. 78. ἐκ προτέρων — καμάτων P. 3. 96. ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ P. 8. 48. χώρας — Μυρμιδόνες ἵνα πρότεροι ᾤκησαν N. 3. 13. b. pro subs., *men of old* σὲ δ' ἀντία π'ροτέρων φθέγξομαι O. 1. 36. μανθάνων οἶσθα π'ροτέρων P. 3. 80. λεγόμενον δὲ τοῦτο προτέρων ἔπος ἔχω (v. l. πρότερον) N. 3. 52. c. n. s. pro adv. ἀντεβόλησεν τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον O. 13. 31. "δώδεκα δὲ π'ρότερον ἁμέρας" P. 4. 25. ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς P. 6. 28. τοὶ καὶ σὺν μάχαις δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι Ἡρακλῆι π'ρότερον, καὶ σὺν Ἀτρείδαις I. 5. 37.

προτ'ροπάδᾶν] *headlong* ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας ἵκετο σπεύδων P. 4. 94.

προτυγχάνω] aor. part., προτῠχόν, *coming to hand, ready* "ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευε δοῦναι" (v. l. προτυχὼν) P. 4. 35.

προφαίνω] a. *make known, illuminate* Ἀχιλεύς, οὖρος Αἰακιδᾶν, Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν I. 8. 56. b. *reveal* ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται μόχθος ἄμμιν fr. 42. 1.

πρόφαντος] *preeminent* ἐμὲ — πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ O. 1. 116.

πρόφᾰσις] (-ις, -ιν.) a. *excuse, (professed) motive* c. gen. "ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ κώλυεν μεῖναι" P. 4. 32. πρόφασιν βληχροῦ γενέσθαι νείκεος fr. 245. b. *excuse, evasion* τιθεμέ-

νων ἀγώνων πρόφασις — ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον fr. 228. pro pers., τὰν 'Επιμαθέος ἄγων ὀψινόου θυγατέρα Π'ρόφασιν P. 5. 28.

προφάτας] *prophet* γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον, ὀρθόμαντιν Τειρεσίαν N. 1. 60. ἐν ζαθέῳ με δέξαι χρόνῳ ἀοίδιμον Πιερίδων προφάταν Πα. 6. 6. Τήνερον εὐρυβίαν θεμίτ[ων —]ἐξαίρετον προφάταν Πα. 9. 42. λευκίππων Μυκηναίων προφᾶται (-άτᾳ coni. Bergk, i. e. Amphiareus) fr. 202. met., ἐγκιρνάτω τίς μιν (sc. κρατῆρα), γλυκὺν κώμου προφάταν N. 9. 50.

προφᾱτεύω] *act as a prophet* μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ (cf. Πα. 6. 6) fr. 150.

πρόφᾰτος] *renowned* ὅς σὲ μὲν Νεμέᾳ πρόφατον — θῆκεν (byz.: πρόφαντον codd.) O. 8. 16.

προφέρω] a. *come to the fore* ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει P. 2. 86. b. *proclaim* τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν, διαπρεπέα νᾶσον I. 5. 43.

προφεύγω] *avoid* ζώει κάματον προφῠγὼν ἀνιαρόν Παρθ. 1. 19.

πρόφ'ρων] (-ων, -ονα, -όνων.) *kind, willing* προφρόνων Μοισᾶν τύχοιμεν I. 4. 43. ἐς πόλεμον ἄγε — πρόφρονα σύμμαχον I. 6. 28. esp. nom., *gladly, readily,* Μόψος ἄμβασε στρατὸν πρόφρων P. 4. 191. θεός τέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν P. 5. 117. "νῦν δ' εὐρυλείμων πότνιά σοι Λιβύα δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων" P. 9. 56. πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ Μοισᾶν ὁ κάλλιστος χορός N. 5. 22. ὁ [Λοξ]ίας [πρό]φρων ἀθανάταν χάριν Θήβαις ἐπιμείξων Παρθ. 2. 4. adv., -ως, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ' 'Απόλλων P. 2. 16. ἐμὰν ποιπνύων χάριν τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον, φιλέων φιλέοντ' ἄγων ἄγοντα προφρόνως P. 10. 66. ἐγὼ δ' 'Ηρακλέος ἀντέχομαι προφρόνως N. 1. 33.

προχέω] *pour out* ποταμοὶ δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ αἴθων' P. 1. 22. 'Εφυραίων ὄπ' ἀμφὶ Πηνειὸν γλυκεῖαν προχεόντων ἐμὰν P. 10. 56.

προχοά] *outflow* "Τριτωνίδος ἐν προχοαῖς λίμνας" P. 4. 20.

πρυμνά] *prow* ἁλίαισιν πρύμναις Τήλεφος ἔμβαλεν O. 9. 73. ἀρχὸς ἐν πρύμνᾳ — ἀνέμους τ' ἐκάλει νύκτας τε P. 4. 194.

πρυμνόν] a. *lower part* τὰν (sc. ἵππον) πρυμνὸν κεφαλᾶς ὀδὰξ αὐχένα φέροισαν (cf. Forssman, K. Z., 1964, 12) fr. 169. 31. b. pl., *extremity, edge* πρυμνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανὼν P. 5. 93.

πρῠτᾰνεῖον] *town hall* παῖ 'Ρέας, ἅ τε π'ρυτανεῖα λέλογχας, 'Εστία (τὰ πρυτανεῖά φησι λαχεῖν τὴν 'Εστίαν, παρόσον αἱ τῶν πολέων ἑστίαι ἐν τοῖς πρυτανείοις ἀφίδρυνται Σ.) N. 11. 1.

πρῠ́τᾰνις] *lord* πρύτανι κύριε Hiero P. 2. 58. Κρονίδαν, βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν P. 6. 24. Κρον[—] πρυτα[ν Πα. 6. 69.]ιόν τε σκόπελον γείτονα πρύτανιν Δ. 3. 10.

πρών] *foreland* Νεοπτόλεμος δ' ἀπείρῳ διαπρυσίᾳ (sc. κρατεῖ) βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς 'Ιόνιον πόρον N. 4. 52.

πρῴρᾱθε(ν)] *from the prow* "π'ρῴραθεν Εὔφαμος καταβαὶς" (Bergk: πρώραθεν codd.) P. 4. 22. ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ πρῴραθε (Bergk: πρώραθε codd.) P. 10. 52.

Πρωτεσῐ́λας] king of Phylake in Thessaly. Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν 'Αχαιῶν ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι (τελεῖται δὲ τῷ Πρωτεσίλᾳ κατὰ τὴν Φυλάκην ἐπιτάφιος ἀγὼν Σ.) I. 1. 58.

πρώτιστος] *first of all* ἥρως — ἐμφύλιον αἷμα πρώτιστος — ἐπέμειξε θνατοῖς P. 2. 32. n. s. pro adv., αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν Πηλέα θ' N. 5. 25.

Πρωτογένεια] daughter of Opous, king of the Epeians of Elis, wife of Lokros and mother by Zeus of Opous, who founded the city of the same name in Opuntian Lokris. φέροις δὲ Πρωτογενείας ἄστει γλῶσσαν O. 9. 41.

πρωτόγονος, -ον] *first created* ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ παρέσταν μὲν ἄρα Μοῖραι σχεδόν (ἐν δὴ ταύτῃ τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων καὶ πρώτῃ τελουμένῃ ἑορτῇ Σ.) O. 10. 51.

(Πρωτομάχα)] daughter of Pindar; test., Vit. Pind., P. Oxy. 2438, 24ff. Πρ]ω[το]μάχην κα[ὶ Εὐμητι]ν ὧν μνημονε[ύει ἐν τ]ῇ ᾠδῇ ἧς ἡ ἀρχή· ὁ Μοισαγέτας κτὲ fr. 94c.

πρῶτος] (-ος, -ῳ, -οι, -οις; -α, -ᾳ, -αν; -ον nom., acc.: superl. v. πρώτιστος.) a. *first* οἷς ποτε π'ρώτοις περὶ δωδέκατον δρόμον ἐλαυνόντεσσιν (v. l. πρῶτον) O. 6. 75. ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν O. 7. 42. ἅμα πρώτοις ἄρξεται καὶ τερτάτοις O. 8. 45. σὺν Ὀλυμπιάδι πρώτᾳ O. 10. 58. ναυσιφορήτοις δ' ἀνδράσι π'ρώτα χάρις — πομπαῖον ἐλθεῖν οὖρον P. 1. 33. βάματι δ' ἐν πρώτῳ (τριτάτῳ coni. Aristarchus) P. 3. 43. εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν ἀμφί οἱ ψαύσειε πέπλοις P. 9. 119. Αἰακίδαις ἔρνεα πρῶτος ⟨ἔνεικεν⟩ ἀπ' Ἀλφεοῦ N. 6. 18. ἐν ἁλικίᾳ πρώτᾳ *earliest* N. 9. 42. πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν, πολλὰ δὲ κνίσᾳ (sc. Ἑστίαν) N. 11. 6. ἐν δὲ μηνὸς πρῶτον τύχεν ἆμαρ Πα. 2. 76. τὶν γὰρ εὔφρων ἕψεται πρώτα θυγάτηρ ὁδοῦ *she will be the first to follow you upon the way* Παρθ. 2. 68. (βάρβιτος) τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν πρῶτος fr. 125. 2. pro subs., c. gen., τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων *the first of prizes* P. 1. 99. b. adv., (τὸ) πρῶτον, α. *in the first place, at first* δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον, λαοὶ δ' ὀνύμασθεν O. 9. 44. "ξείνοις — δεῖπν' ἐπαγγέλλοντι πρῶτον" P. 4. 31. σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν, ἐξέτης τὸ πρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον N. 3. 49. esp. c. μέν, ὄτρυνον νῦν ἑταίρους, Αἰνέα, πρῶτον μὲν — κελαδῆσαι, γνῶναί τ' ἔπειτ' O. 6. 88. ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον δεξάμενοι στεφάνων I. 6. 3. πρῶτον μὲν fr. 30. 1. πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πέδον καὶ fr. 172. 3. β. *for the first time* ὑπ' Ἀπόλλωνι γλυκείας πρῶτον ἔψαυσ' Ἀφροδίτας O. 6. 35. ὄρνιν Κυπρογένεια φέρεν πρῶτον ἀνθρώποισι P. 4. 216. "θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις" P. 8. 47. "τοῦτο — αἰδέοντ', ἀμφανδὸν ἁδείας τυχεῖν τὸ π'ρῶτον εὐνᾶς" P. 9. 41. πειρᾶτο δὲ π'ρῶτον μάχας N. 1. 43. καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται πρῶτον N. 2. 4. ἑορτὰ — ἐν ᾧ πρῶτον εὐνάσθην fr. 193.

πταίω] *make to stumble* ὤνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει fr. 205. 2.

[πτανός, = ποτανός (codd. Dion. Hal. contra metr.: τ' coni. Blass) Πα. 9. 4.]

πτάσσω] (cf. πτώσσω.) *shrink back in awe* ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ ἥροες ἀντίθεοι P. 4. 57. [πτάξεις (coni. Edmonds: πτίξεις codd.) fr. 207.]

πτερόεις] (-όεις, -όεντι, -όεντ(α).) a. *winged* ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας — ἵππον πτερόεντ' O. 13. 86. Ἰξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον P. 2. 22. πτερόεντ' αἰετὸν P. 2. 50. πτερόεις — Πάγασος I. 7. 44. b. *feathered* πτερόεντα δ' ἵει γλυκὺν Πυθῶνάδ' ὀιστόν O. 9. 11. c. (= ποτανός) met., *soaring* καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον I. 5. 63. d. frag. πτε[ρ]οε[fr. 1a. 7.

πτερόν] (-ά, -οῖσι(ν).) *wing* a. πτεροῖσίν τ' ἀκάμαντας ἵππους O. 1. 87. ἄνδρας πτεροῖσιν νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις P. 4. 183. b. met., *garland* ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν O. 14. 24. πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν P. 9. 125.

πτέρυξ] *wing* a. Διὸς αἰετός, ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις P. 1. 6. b. met. εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς Πιερίδων — ἔρνεσι φράξαι χεῖρα (τοῖς ἐγκωμίοις μέλεσιν Σ.) I. 1.

64. c. frag. πτερ]ύγεσσι κ[P. Oxy. 2447, fr. 53.

πτίσσω] πυθμένα †πτίξεις (nullo sensu codd.: πτάξεις coni. Edmonds: ποθ' ἥξεις Wil.) fr. 207.

Πτοιόδωρος] father of Thessalos of Korinth, grandfather of Xenophon and brother of Terpsias. Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί (Πτῳοδώρῳ coni. Bergk) O. 13. 41.

πτολίεθ'ρον] *citadel* κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον fr. 76. 3.

πτολίπορθος, -ον] *city destroying* πτολιπόρθοις ἐν μάχαις O. 8. 35.

πτόλις] v. πόλις, Δ. 1. 6, Δ. 4. I. 6.

πτύξ] (cf. πτυχά b.) *valley*]πτυχὶ Τομάρου[i. e. the site of Dodona fr. 59. 7.

πτῠχά] a. *fold* met. ξένον — κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς O. 1. 105. b. *valley* Κρισαίαις ἐνὶ πτυχαῖς P. 6. 18. Πίνδου κλεενναῖς ἐν πτυχαῖς P. 9. 15. ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη i. e. at the Isthmian games N. 2. 21.

Πτώιος] son of Apollo and Zeuxippe, who gave his name to Mt. Ptoion in Boiotia, where was a sanctuary of Apollo. καί ποτε τὸν τρικάρανον Πτωίου κευθμῶνα κατέσχεθε fr. 51b. test., Σ Paus., 9. 23. 6, οὗτος (= Παυσανίας) Ἀθάμαντος καὶ Θεμιστοῦς φησὶ τὸν Πτῷον, Πίνδαρος δὲ ἐν ὕμνοις Ἀπόλλωνος καὶ τῆς Ἀθάμαντος θυγατέρος Ζευξίππης fr. 51c.]εν Πτώιω[ι Πα. 7. f. 2.

Πτῳόδωρος] v. Πτοιόδωρος.

πτώσσω] (cf. πτάσσω.) *skulk* κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι πτώσσοντι sc. those who have been defeated in the games P. 8. 87.

πυγμά] *boxing* ἄνδρα παρ' Ἀλφειῷ στεφανωσάμενον αἰνέσω πυγμᾶς ἄποινα O. 7. 16. Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος O. 10. 67.

πυγμᾰχία] *boxing* τεᾶς — πυγμαχίας ἕνεκεν O. 11. 12. ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία ⟨πλεόνων⟩ ταμίαν στεφάνων N. 6. 25.

πύγμᾰχος] *boxer* Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι I. 8. 62.

Πυθάγγελος] father of Echekrates of Orchomenos. Ἐχεκράτει παιδὶ Πυθαγγέλω (Πυθαγγέλου Pindarice!) ?fr. 333a. 6.

Πῡθέας] son of Lampon of Aigina, elder brother of Phylakidas, victor in Nemean pankration, cf. Severyns, Bacchylide, 45ff. Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον N. 5. 4. καὶ νῦν τεὸς μάτρως ἀγάλλει κείνου ὁμόσπορον ἔθνος, Πυθέα (Mingarelli: Πυθέας codd.) N. 5. 43. τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν Πυθέᾳ τε, παγκρατίου (ἀμφοτέροις ὑμῖν, σοί τε καὶ τῷ Πυθέᾳ Σ.) I. 5. 19. αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι (perhaps because P. had acted as his brother's trainer) I. 5. 59. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων Εὐθυμένει τε I. 6. 58. cf. fr. 4.

Πῡθιάς] (sc. ἑορτά.) *Pythian festival* Πυθιάδος δ' ἐν δρόμῳ P. 1. 32. κλεεννᾶς ὅτι εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν P. 5. 21. ἐν Πυθιάδι P. 8. 84.

Πῡθιονίκας] *winner in the Pythian games* ἐθέλω χαλκάσπιδα Πυθιονίκαν σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν P. 9. 1.

Πῡθιόνῑκος, -ον] *for a Pythian victory* Πυθιόνικος — ἑτοῖμος ὕμνων θησαυρὸς P. 6. 5. Πυθιόνικον τιμὰν P. 8. 5.

Πύθῐος] (-ίου, -ιον, -ιε; -ίων, -ίοισ(ι).) *Pythian* a. adj., παρὰ Πύθιον Ἀπόλλωνα O. 14. 11. ἀέθλων Πυθίων P. 3. 73. "Πύθιον ναὸν" P. 4. 55. στεφάνων Πυθίων P. 10. 26. ἐν Πυθίοισι δὲ δαπέδοις κεῖται N. 7. 34. μαντεύμασι Πυθίοις I. 7. 15. b. subs., α. masc., *the Pythian* i. e. Apollo. ὅς τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ καὶ σεμνὸν ἀγλααῖσι μερίμναις Πυθίου Θεάριον N. 3. 70. λέγει ?] κόρα μιγεῖσ' Ὠκεανοῦ Μελία σέο, Πύθι[ε

Πα. 9. 43. β. n. pl., *Pythian games* ἐν Πυθίοισί τε νικᾶν N. 2. 9.

πυθμήν] *depths* Ταρτάρου πυθμένα †πτίξεις† ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις fr.207.

Πυθόνικος] father of Thrasydaios. ἤ πατρὶ Πυθονίκῳ τό γέ νυν ἤ Θρασυδᾴῳ (Tric..: Πυθιονίκῳ codd.) P. 11. 43.

Πυθώ] (Πυθώ, -οῖ, -όῖ, -οῖ voc.: -ῶθεν.) *Delphi, Pytho* 'Ολυμπίᾳ Πυθοῖ τε νικώντεσσιν O. 7. 10. Πυθοῖ τ' ἔχει σταδίου τιμὰν O. 13. 37. 'Απόλλων ἅ τε Πυθώ P. 4. 66. ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει P. 10. 4. 'Ολυμπίᾳ — Πυθοῖ τε P. 11. 49. πόρε, Λοξία, τεαῖσιν ἁμίλλαισιν εὐανθέα καὶ Πυθόι στέφανον I. 7. 51. χρυσέα κλυτόμαντι Πυθοῖ Πα. 6. 2. Π]υθόι τε[(supp. Lobel) P. Oxy. 2442, fr. 51. test., Σ Aesch., Eum. 2, Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν 'Απόλλωνα, διὸ καὶ ταρταρῶσαι ἐζήτει αὐτὸν ἡ Γῆ fr. 55. -ῶθεν, *from the Pythian festival,* εἴη μιν — ἔτι καὶ Πυθῶθεν 'Ολυμπιάδων τ' ἐξαιρέτοις 'Αλφεοῦ ἔρνεσι φράξαι χεῖρα (Pauw: Πυθόθεν codd.) I. 1. 65.

Πυθών] (-ῶνος, -ῶνι, -ῶνα: -ωνάδε; -ωνόθεν.) *Pytho, Delphi* ἐν δὲ Πυθῶνι χρησθὲν παλαίφατον τέλεσσεν O. 2. 39. 'Ολυμπίᾳ μὲν — Πυθῶνι δὲ — 'Ισθμοῖ τε O. 2. 49. πετραέσσας — ἐκ Πυθῶνος O. 6. 48. 'Ολυμπίᾳ στεφανωσάμενος καὶ δὶς ἐκ Πυθῶνος O. 12. 18. ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι P. 3. 27. Λατοΐδαισιν — Πυθῶνί τ' P. 4. 3. Πυθῶνι δίᾳ P. 7. 11. Πυθῶνος ἐν γυάλοις P. 8. 63. ἐν Πυθῶνι — ἀγαθέᾳ P. 9. 71. ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν γᾶς ὀμφαλὸν κελαδήσετ' P. 11. 9. δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος P. 12. 5. ἐν ἀγαθέᾳ — Πυθῶνι κράτησεν N. 6. 35. ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις N. 9. 5. ἐκράτησε δὲ καί ποθ' 'Ελλανα στρατὸν Πυθῶνι N. 10. 25. ἐν Πυθῶνι πειρᾶσθαι καὶ 'Ολυμπίᾳ ἀέθλων N. 11. 23. -ωνάδε, ἀλλ' ὁ μὲν Πυθωνάδ' — ᾤχετ' ἰὼν O. 6. 37. πτερόεντα δ' ἵει γλυκὺν Πυθωνάδ' ὀιστὸν O. 9. 12. -ωνόθεν, ἔχοντα Πυθωνόθεν τὸ καλλίνικον λυτήριον δαπανᾶν μέλος χαρίεν P. 5. 105. Πυ]θωνόθ[εν Πα. 6. 72.

πυκινός, πυκ'νός] *shrewd* Σίσυφον μὲν πυκνότατον παλάμαις ὡς θεόν O. 13. 52. πυκινὰν μῆτιν κλύοντες (sc. Μηδείας) P. 4. 58. πυκινῷ — θυμῷ (sc. Πελία) P. 4. 73. ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς (Pauw: Τειρεσίαο πυκιναῖς codd.) I. 7. 8. ἀπὸ Ταυγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 3.

πύκτας] *boxer* πύκτας δ' ἐν 'Ολυμπιάδι νικῶν O. 10. 16. πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν 'Επιδαύρῳ διπλόαν νικῶντ' ἀρετάν N. 5. 52.

πύλα] (-ᾶν, -αισ(ι), -ας.) pl., *gate* τοὶ μὲν οἰχθεισᾶν πυλᾶν ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν N. 1. 41. of cities, ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι (at the Isthmian games) O. 9. 86. ἐν Κάδμου πύλαις (at Thebes) P. 8. 47. τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών (at Isthmian games) N. 10. 27. παρ' εὐτειχέσιν Κάδμου πύλαις I. 6. 75. met., of song, χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνάμεν αὐταῖς O. 6. 27. test., Strabo, 3. 5. 5, ἃς (= the straits of Gibraltar) Πίνδαρος καλεῖ πύλας Γαδειρίδας, εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν 'Ηρακλέα fr. 256.

Πυλάδας] son of Strophios, king of Phokis, friend of Orestes. ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα νικῶν ξένου Λάκωνος 'Ορέστα (at Delphi in Phokis) P. 11. 15.

Πύλος] city of Messenia (P. 6. 35) founded by Neleus. ἐπεὶ ἀντίον πῶς ἂν τριόδοντος 'Ηρακλέης σκύταλον τίναξε χερσίν, ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδάν; O. 9. 31. δοιοὶ δ' ὑψιχαῖται ἀνέρες, 'Εννοσίδα γένος, αἰδεσθέντες ἀλκάν, ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου (sc. ἦλθον: i. e. Periklymenos and Euphamos: Νηλέως γὰρ ὁ Περικλύμενος, ὁ δὲ Νηλεὺς Ποσειδῶνος υἱός Σ.) P. 4. 174. μαντήιον· τῷ Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ ἔνασσεν ἀλκάεντας 'Ηρακλέος ἐκγόνους Αἰγιμιοῦ τε (sc. 'Απόλλων: ἀπὸ

τῆς Πύλου τὴν Μεσσήνην σημαίνει. τριμερὴς δὲ ἡ τῶν 'Ηρακλειδῶν διαίρεσις· οἱ μὲν γὰρ 'Αριστοδήμου παῖδες ἔσχον τὴν Λακωνικήν, ὁ δὲ Τήμενος τὸ "Αργος, ὁ δὲ Κρεσφόντης τὴν Μεσσήνην Σ.) P. 5. 70.

πυνθάνομαι] *learn* (cf. πεύθομαι) ἐπεὶ τίνα πάτραν, τίνα οἶκον ναίων ὀνυμάξεαι ἐπιφανέστερον 'Ελλάδι πῦθέσθαι; P. 7. 8.

πύξ] *at boxing* ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα O. 7. 89.

πῦρ] (πῦρ, πυρός, πυρί, πῦρ.) *fire* **a.** ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει O. 1. 1. ὕδατος — πυρὶ ζέοισαν εἰς ἀκμάν O. 1. 48. πῦρ πνεόντων ἀρχὸς ἵππων O. 7. 71. ὑπὸ στερεῷ πυρὶ O. 10. 86. Χίμαιραν πῦρ πνέοισαν O. 13. 90. τὸν αἰχματὰν κεραυνὸν σβεννύεις αἰενάου πυρός P. 1. 6. τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται ἐκ μυχῶν παγαί P. 1. 21. πῦρ ἐξ ἑνὸς σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν P. 3. 36. πυρὶ καιόμενος P. 3. 102. φλόγ' — πνέον καιομένοιο πυρος P. 4. 225. πῦρ δέ νιν οὐκ ἐόλει P. 4. 233. εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον (sc. δρῦς) P. 4. 266. πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων ὄνυχας ὀξυτάτους ἀκμὰν καὶ δεινοτάτων σχάσαις ὀδόντων N. 4. 62. γαίᾳ δὲ καυθείσᾳ πυρὶ i. e. earthenware N. 10. 35. ματέρ' — πολεμίῳ πυρὶ πλαγεῖσαν Πα. 2. 80. χρῆν ἄρα Πέργαμον εὐρὺν ἀιστῶσαι σέλας αἰθομένου πυρός Πα. 6. 98. ὁ παγκρατὴς κεραυνὸς ἀμπνέων πῦρ Δ. 2. 16. θύματα μειγνύντων πυρὶ τηλεφανεῖ Θρ. 7. 9. πῦρ πνέοντος — κεραυνοῦ fr. 146. 1. πυρὶ δ' ὑπνώοντε† σώματα (ὤπτων coni. Snell) fr. 168. 3. τὸ πεπρωμένον οὐ πῦρ οὐ σιδάρεον σχήσει τεῖχος fr. 232. **b.** *heat* ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι P. 3. 50.

πῦρά] *funeral pyre* ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαϊονίδας εἶπεν (τελεσθεισᾶν coni. Pauw: νεκροῖς Wil.: v. τελέω) O. 6. 15. καιομένα δ' αὐτῷ διέφαινε πυρά P. 3. 44. ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας N. 9. 24. ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' 'Ελικώνιαι παρθένοι στάν I. 8. 57.

πύργος] *tower* δράκοντες, ἐπεὶ κτίσθη νέον, πύργον ἐσαλλόμενοι τρεῖς O. 8. 38. met., ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος —, πύργος ἄστεος ὄμμα τε φαεννότατον ξένοισι P. 5. 56. τετείχισται δὲ πάλαι πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν (cf. Πα. 2. 38) I. 5. 45.

πῦροφόρος, -ον] *corn bearing* τὰν πυροφόρον Λιβύαν I. 4. 54.

πῦρόω] *destroy by fire* ἐπεὶ ἀμφ' 'Ελένᾳ πυρωθέντων Τρώων ἔλυσε δόμους ἁβρότατος (πυρωθέντας coni. Snell, Bergk) P. 11. 33.

πυρπᾰ́λᾰμος] sens. dub., *of the firehand* (Gildersleeve) πυρπάλαμον βέλος ὀρσικτύπου Διός (i. e. ?"*firebolt from the hand of*") O. 10. 80.

Πύρρα] wife of Deukalion. Πύρρα Δευκαλίων τε Παρνασσοῦ καταβάντε δόμον ἔθεντο πρῶτον O. 9. 43.

πυρσός] *torch* προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ I. 4. 43. ἱππεύει πυρσῷ κατάκομος λάμποντι (sc. 'Ηλιος) ?fr. 356.

πυρφόρος] *firebearing* Ζεὺς δ' ἐπ' "Ιδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν N. 10. 71. "ἔδοξε γὰρ τεκεῖν πυρφόρον ἐρι[—] 'Εκατόγχειρα" (v. τίκτω) Πα. 8A. 20.

πω] c. neg., *not yet* σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν — εὗρεν O. 12. 7. ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις I. 2. 6. [ἥβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χόα (vel χεία) πω καλῶν δάμασεν (cod. contra metr.: ὑπὸ χείᾳ καλῶν Tricl., edd. plerique: fort. locus magis corruptus) I. 8. 70.]

πῶλος] (ἡ) *colt* κείνας — ποικιλανίους ἐδάμασσε πώλους P. 2. 8.

πως] *somehow* "Ιδας ἀμφὶ βουσίν πως χολωθεὶς N. 10. 60.

πῶς] *how* **a.** introducing dir. quest. ἐπεὶ ἀντίον πῶς ἂν τριόδοντος 'Ηρακλέης σκύταλον τίναξε χερσίν; (v. Headlam-Knox on Herondas, 2. 72) O. 9. 30. **b.** introducing indir. quest. αἰδέομαι μέγα εἰπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον, πῶς δὴ λίπον εὐκλέα νᾶσον N. 5. 15.

Ρ

ῥα] = ἄρα (βάρβιτος)· τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν fr. 125. 1. add. καί, καί ῥά μιν χώρας ἀκλάρωτον λίπον O. 7. 59. καί ῥά μιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι P. 3. 45. καί ῥ' ἦλθον Πελία μέγαρον P. 4. 134. καί ῥά οἱ P. 4. 189.

ῥάβδος] (ἡ) *staff* οὐδ' Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον, βρότεα σώμαθ' ᾇ κατάγει O. 9. 33. Ὅμηρος — αὐτοῦ πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν (ἀντὶ τοῦ κατὰ ῥαψῳδίαν Σ.) I. 4. 38.

Ῥᾰδάμανθῠς] judge in Hades. βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος, ὃν πατὴρ ἔχει μέγας ἑτοῖμον αὐτῷ πάρεδρον O. 2. 75. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν ἔλαχε καρπὸν ἀμώμητον P. 2. 73.

ῥᾴδιος] *easy* τὸ διδάξασθαι δέ τοι εἰδότι ῥᾷτερον (Boeckh: ῥαίτερον codd.) O. 8. 60. ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις P. 4. 272.

ῥαθάμιγξ] *drop* χέων ῥαθά[μιγ]γα (supp. Vitelli) Πα. 7. 9.

ῥαίνω] (ῥαίνω; -ων; -έμεν: pass. ῥανθεισᾶν aor.) *besprinkle* Ἀχιλέος· ὃ καὶ Μύσιον ἀμπελόεν αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον I. 8. 50. met., μεγαλᾶν δ' ἀρετᾶν δρόσῳ μαλθακᾷ ῥανθεισᾶν κώμων ὑπὸ χεύμασιν (v. l. μεγάλαν δ' ἀρετὰν — ῥανθεῖσαν) P. 5. 100. Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ P. 8. 57. ὔμμε τ' — τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις I. 6. 21.

ῥαίω] *shatter* αἰὼν δὲ δι' ὀστέων ἐρραίσθη (codd.: ἐραίσθη Christ) fr. 111. 5.

ῥάμμα] v. λυθίραμμος.

[ῥάσσω, *throw down* ῥάξεται (coni. Gildersleeve: ἄρξεται codd., q. v.) O. 8. 45.]

ῥαπτός] *stitched together* met. Ὁμηρίδαι ῥαπτῶν ἐπέων — ἀοιδοί N. 2. 2.

Ῥέα] wife of Kronos, mother of Zeus. ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας O. 2. 12. πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον O. 2. 77. [Ῥέας πόρον v. Ἀρεία N. 9. 41.] παῖ Ῥέας — Ἑστία N. 11. 1. ἐλασίβροντα παῖ Ῥέας fr. 144.

ῥέεθρον] *stream* σόν τε, Κασταλία, παρὰ Ἀλφεοῦ τε ῥέεθ'ρον O. 9. 18. ἐπ' Ἀλφεοῦ ῥεέθροισιν O. 13. 36. ἐπ' Ἀσώπου ῥεέθ'ροις N. 9. 9. ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας (i. e. at Thebes and Sparta) I. 1. 29. Κάστορος δ' αἰχμὰ Πολυδεύκεός τ' ἐπ' Εὐρώτα ῥεέθ'ροις (sc. γέρας ἔχει) I. 5. 33.

ῥέζω] (ῥέζοντ(α), -οντας; ῥέξαις.) a. *perform* ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις O. 9. 94. κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν — καλὰ ῥέζοντ' ἔννεπεν P. 9. 96. ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν N. 4. 32. b. *sacrifice* κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ ῥέζοντας P. 10. 34.

Ῥεία?] v. Ἀρεία.

ῥέπω] a. *swing in balance* ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ, ὀρθᾷ διακρίνειν φρενὶ — δυσπαλές (Bergk: ῥέποι codd., ῥέπει byz.) O. 8. 23. b. met., *come down* τὸν δὲ σύγκοιτον γλυκὺν παῦρον ἐπὶ γλεφάροις ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ (join ἐπὶ γλ. with ῥέποντα) P. 9. 25.

ῥέω] *run, flow* Ἀλφεὸν εὐρὺ ῥέοντα O. 5. 18. νῦν ψᾶφον ἑλισσομέναν ὁπᾷ κῦμα κατακλύσσει ῥέον O. 10. 10. νότιον θέρος ὕδατι ζακότῳ ῥέον (Schr.: ἱερὸν codd. Dion. Hal.) Πα. 9. 18.

ῥηγμίν] *shore* of the sea (Φῶκος) ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι πόντου N. 5. 13.

ῥήγνυμι] *tear* ἦ μὰν ἀνόμοιά γε δᾴοισιν ἐν θερμῷ χροΐ ἕλκεα ῥῆξαν (sc. Αἴας καὶ Ὀδυσσεύς) N. 8. 29. [ῥήξεται (coni. Bergk.: ῥάξεται Wil.: ἄρξεται codd.) O. 8. 45.]

ῥῆμα] (ῥῆμα nom., acc., ῥήματα.) a. *word* ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει, ὅ τι κε σὺν Χαρίτων τύχᾳ γλῶσσα φρενὸς ἐξέλοι βαθείας N. 4. 6. οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι, ῥήματα πλέκων N. 4. 94. b. *saying* τῶν δ'

Ὁμήρου καὶ τόδε συνθέμενος ῥῆμα πόρσυν' P. 4. 278. νῦν δ' ἐφίητι (sc. ἁ Μοῖσα) ⟨τὸ⟩ τὠργείου φυλάξαι ῥῆμ' ἀλαθείας ⟨⏑–⟩ ἄγχιστα βαῖνον, χρήματα χρήματ' ἀνήρ I. 2. 10.

ῥῆσις] *report* φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσεις O. 7. 55. παλίγγλωσσον δέ οἱ ἀθάνατοι ἀγγέλων ῥῆσιν θέσαν N. 1. 59.

Ῥῆσος] a Thracian king, son of Strymon. test., Σ T Hom., K 435, ἱστορεῖ δὲ Πίνδαρος ὅτι καὶ μίαν ἡμέραν πολεμήσας πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἐνεδείξατο κακά, κατὰ δὲ πρόνοιαν Ἥρας καὶ Ἀθηνᾶς ἀναστάντες οἱ περὶ Διομήδεα ἀναιροῦσιν αὐτόν fr. 262.

ῥητός] *to be spoken*]τον οὐ ῥητ[ο]ν[(supp. Lobel) Πα. 17. a. 4.

ῥιγέω] *be cold* met., εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν, μηκέτι ῥίγει (v. Schadewaldt, 283[3]) N. 5. 50.

ῥίζα] *root* met. ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου O. 2. 46. "φαμὶ γὰρ — Ἐπάφοιο κόραν ἀστέων ῥίζαν φυτεύσεσθαι μελησίμβροτον" (v. Barrett, Hermes, 1954, 435[1]) P. 4. 15. νιν (= Κυράναν) πολυμήλου καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονὸς ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν (τρίτην μοῖραν τῆς ἠπείρου γῆς, τουτέστι τὴν Λιβύην Σ.) P. 9. 8. Ἀχιλεύς, οὖρος Αἰακιδᾶν, Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν (φησὶ τοὺς προγόνους Σ.) I. 8. 56. ῥίζᾳ τε[Παρθ. 2. 58.

ῥίμφα] *lightly, swiftly* οἱ μὲν πάλαι — ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους (ῥᾳδίως Σ.) I. 2. 3. ῥίμφα δ' εἶσιν Ἄρτεμις Δ. 2. 19.

ῥιμφάρμᾰτος, -ον] *of swift chariots* ῥιμφαρμάτου διφρηλασίας O. 3. 37.

ῥῑνός] *hide* τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα — Ἀμφιτρυωνιάδαν I. 6. 37.

ῥῑπά] (-άν; -αί, -αῖσ(ι), -αῖσιν, -άς.) a. *blast, rushing* of wind, sea ὠκυπόρους κυμάτων ῥιπὰς ἀνέμους τ' ἐκάλει P. 4. 195. "ψάμαθοι κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται" P. 9. 48. θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς ὑπὸ Τροίαν N. 3. 59. ἦν γὰρ (sc. Δᾶλος) τὸ πάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν ἀνέμων ῥιπαῖσιν *carried on the waves by the blasts of the winds* (post παντοδαπῶν add. τ' Schneider) fr. 33d. 3. ὠκύαλον †τε πόντου† [ῥ]ιπὰν †ἐτάραξε καὶ† Παρθ. 2. 20. μαλάσσοντες βίαιον πόντον ὠκείας τ' ἀνέμων — ῥιπάς *fr. 140c. 2* ὅσ' ἀγλαὰ χθὼν πόντου τε ῥιπαὶ φέροισιν fr. 220. 3. b. *onslaught, blow* βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν N. 1. 68. met., ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου fr. 166. 1. c. *throbbing note* ὁ δὲ κνώσσων ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς ῥιπαῖσι κατασχόμενος i. e. of the lyre P. 1. 10.

ῥίπτω] (aor. ἔρριψε(ν); ῥῖψον; ῥίψαις: pass. aor. ῥιφθεῖσαν: pf. ῥερῖφθαι.) a. *cast, hurl* ἔλπομαι μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν ἔξω — μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους P. 1. 45. χερσὶ δ' ἄρα Κρονίων ῥίψαις δι' ἀμφοῖν P. 3. 57. ὅ τοι πτερόεις ἔρριψε Πάγασος δεσπόταν (ἀπεσείσατο καὶ κατέστρεψε Σ.) I. 7. 44. δέ μιν ἐν πέλαγος ῥιφθεῖσαν εὐαγέα πέτραν φανῆναι Πα. 7B. 47. μελέων ἄπο ποικίλον [σπά]ργανον ἔρριψεν (ἔρρειψεν Π, corr. Lobel) Πα. 20. 12.]ριπτομεν[fr. 111a. 2. ἔρ]ριψεν (]ρειψεν Π: corr. et supp. Lobel) Θρ. 4. 3. b. *utter* cf. ἀπορρίπτω. ῥερῖφθαι ἔπος (παρὰ τῷ Πινδάρῳ· τὸ ῥ ἀναδιπλασιασθὲν — κατὰ τὴν ποιητικὴν ἐξουσίαν Herodian 2. 789. 45L.) fr. 318. c. in tmesis ἀπὸ — ῥῖψον (v. ἀπορρίπτω) O. 9. 36. ἀπὸ — ῥίψαις (v. ἀπορρίπτω) P. 4. 232.

ῥιψαύχην] *in which the neck is tossed* ῥιψαύχενι σὺν κλόνῳ (sic codd. Plutarchi 706e, 714c: ἐριαύχενι Plut. 623b: ὑψαύχενι Π.) Δ. 2. 13.

ῥοά] (-αί, -ᾶν, -αῖσι(ν), -άς.) a. *stream, current* ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω N. 7. 62. παρ' Ἰσμηνοῦ ῥοᾶν (Bergk: ῥοὰν codd.) N. 11. 36. Μέλ[ανό]ς τε ῥοαὶ (Wil.: τε ποταμοῦ ῥοαὶ Π.) fr. 70. 2. ἰδίᾳ τ'

ἐρεύνασε τεναγέων ῥοάς N. 3. 25. b. met. προμαθείας δ' ἀπόκεινται ῥοαί (join προμαθείας ῥοαί) N. 11. 46. met. of song, cf. N. 7. 62 supra, ῥοαὶ δ' ἄλλοτ' ἄλλαι εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν O. 2. 33. εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν ῥοαῖσι Μοισᾶν ἐνέβαλε N. 7. 11. ἀμνάμονες δὲ βροτοί, ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν I. 7. 19.]ροαι δὲ Μοισαι[?fr. 334a. 3.

ῥόδον] *rose* χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις I. 4. 18.]σι τε ῥοδ[ων (supp. Lobel) Δ. 4. c. 2. ῥόδα τε κόμαισι μείγνυται fr. 75. 18.

Ῥόδος] the island οὔπω — φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν O. 7. 57. ἂν δὲ Ῥόδον κατῴκισθεν (sc. οἱ τοῦ Θήρωνος πρόγονοι) fr. 119. pro pers., τὰν ποντίαν ὑμνέων παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον O. 7. 14. Ῥόδῳ ποτὲ μιχθεὶς τέκεν ἑπτὰ — παῖδας O. 7. 71.

ῥόθια] (τά) *breakers* met. ἀοιδᾶν ῥόθια δεκομένα κατερεῖς (sc. Αἴγινα) Πα. 6. 129.

ῥόθος] *shout* πολὺν ῥόθ[ο]ν ἵεσαν ἀπὸ στομ[άτων] Ἐλείθυιά τε καὶ Λάχεσις Πα. 12. 16.

ῥοῖζος] *rushing sound* ῥ]οῖζον κ[(supp. Lobel) Δ. 4. a. 7.

Ῥοῖκος] a man of Knidos, v. test., fr. 165, fr. 252.

ῥόμβος] any circling movement ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμβον (τὴν δίνησιν καὶ τὴν βολὴν τῶν ἀκόντων Σ.) O. 13. 93. ἀλώπηξ, αἰετοῦ ἅ τ' ἀναπιτναμένα ῥόμβον ἴσχει (τὴν τοῦ αἰετοῦ ὁρμὴν Σ. *swoop*) I. 4. 47. σεμνᾷ μὲν κατάρχει Ματέρι πὰρ μεγάλᾳ ῥόμβοι τυπάνων *waving* Δ. 2. 9.

ῥόος] *stream* ποταμοὶ δ' ἀμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ αἴθων' P. 1. 22.

ῥόπαλον] *club* νωμῶν τραχὺ ῥόπαλον (? sc. Ἡρακλέης) fr. 111. 3.

ῥυθ'μός] *symmetry* τοῦ δὲ (sc. ναοῦ) παντέχν[οις] Ἀφαίστου παλάμαις καὶ Ἀθά[νας] τίς ὁ ῥυθμὸς ἐφαίνετο; Πα. 8. 67.

ῥύομαι] 1. *rescue* ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων ἐρρύσατο P. 12. 19.]ντος αὐχὴν ῥύοιτο πα[Δ. 3. 14. 2. *hinder* Τρωίας ἶνας ἐκταμὼν δορί, ταί μιν ῥύοντό ποτε μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα I. 8. 52.

ῥῡσίδιφ'ρος, -ον] *chariot preserving* οὐκ ἐμέμφθη ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός I. 2. 21.

Σ

σαθρός] *unwholesome* (πάρφασις) ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σάθρόν N. 8. 34.

σαίνω] (aor. ἔσᾱνεν, -αν.) a. *fawn upon* c. acc., πρός c. acc. σὺν ἀνάγκᾳ μιν φίλον καί τις ἐὼν μεγαλάνωρ ἔσανεν P. 1. 52. σαίνων ποτὶ πάντας ἄταν πάγχυ διαπλέκει P. 2. 82. b. *show joy* c. πρός c. acc. ξείνων δ' εὖ πρασσόντων, ἔσαναν αὐτίκ' ἀγγελίαν ποτὶ γλυκεῖαν ἐσλοί (ἀντὶ τοῦ ἐχάρησαν Σ.) O. 4. 5.

Σακάδας] test., Paus., 9. 30. 2, ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας οὐ συνιεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν fr. 269. cf. [Plut.] de musica, § 8, p. 1134a, γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· ὁ δ' αὐτὸς καὶ αὐλητὴς (Wyttenbach: ποιητὴς codd.) ἀγαθὸς καὶ τὰ Πύθια τρὶς νενικηκὼς ἀναγέγραπται· τούτου καὶ Πίνδαρος μνημονεύει.

Σᾰλᾰμίς] the island. ἀρέομαι πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν μισθόν P. 1. 76. καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν δυνατός N. 2. 13. ἀτὰρ Αἴας Σαλαμῖν' ἔχει πατρῴαν N. 4. 48. καὶ νῦν

ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ I. 5. 49.

Σαλμωνεύς] son of Aiolos, grandfather of Pelias. "Κρηθεῖ τε — καὶ θρασυμήδει Σαλμωνεῖ" P. 4. 143.

σᾶμα] (σάματι, σᾶμα, σάμασιν.) **a.** *indication* θεοῦ σάμασιν πιθόμενοι P. 4. 199. πολέμοιο δὲ σᾶμα φέρεις; (Scaliger: δις ἅμα codd. Dion. Hal.) Πα. 9. 13. fig., πείθονται δ' ἀοιδοὶ σάμασιν (sc. τῆς φόρμιγγος: i. e. notes) P. 1. 3. **b.** *tomb* ἀρχαίῳ σάματι πὰρ Πέλοπος O. 10. 24. τὸν — κρύψαν ἔνερθ' ὑπὸ γᾶν διφρηλάτα Ἀμφιτρύωνος σάματι P. 9. 82. ἀφνεὸς πενιχρός τε θανάτου παρὰ σᾶμα νέονται (πέρας ἅμα coni. Weiseler) N. 7. 20. Ἀμ]φιτρύωνί τε σᾶμα χέω[ν fr. 169. 48.

σᾱμαίνω] *indicate* καὶ τοιᾷδε κορυφᾷ σάμαινεν λόγων (? sc. Κασσάνδρα) Πα. 8A. 14.

σᾱμάντωρ] σαμάντορι[Πα. 13. a. 24.

σᾱ́μερον] *today* πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερόν ἐλθεῖν ἐν ὥρᾳ (σάμερόν μ' add. Boeckh) O. 6. 28. σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ στᾶμεν P. 4. 1. ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον δαίμων P. 12. 29.

Σᾶμος] first victor in the four horse chariot race at Olympia. ἀν' ἵπποισι δὲ τέτρασιν ἀπὸ Μαντινέας Σᾶμος ὁ Ἁλιροθίου (Boeckh e Σ: σᾶμ' ἁλιρ(ρ)οθίου codd.: Σῆρος v. l. ap. Σ.) O. 10. 70.

σάν] Doric name for the letter sigma. πρὶν μὲν ἕρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων (a ref. either to ἄσιγμοι ᾠδαί, Athen. 455c, or to mispronounciation of sigma, Wil.) Δ. 2. 3.

Σαοκλείδας] v. Σωκλείδας.

σαόφρων] v. σώφρων.

σάος] v. σῶς.

σᾰόω] *rescue* "δέρμα—τῷ ποτ' ἐκ πόντου σαώθη" P. 4. 161. τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν fr. 231.

σάρξ] pl. *flesh* "καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ⟨⏑⏑⟩ ἦδ' ὀστέων στεναγμὸν βαρύν" (of Herakles, devouring an ox) fr. 168. 5. διοίγετο σάρκες fr. 246b.

Σαρπαδών] v. Σαρπηδών.

Σαρπηδών] son of Zeus, king of Lykia. Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις, ἐξ ἐπέων κελαδεννῶν — γινώσκομεν (Σαρπαδόν' Schr.) P. 3. 112.

[**σαυτόν**, v. ad fr. 97.]

σάφᾱ] *clearly* εὐθυπορεῖ, σάφα δαεὶς O. 7. 90. σάφα εἴπαις O. 8. 46. τὺ δὲ σάφα νιν ἔχεις P. 2. 57.

σᾰφᾱνής] *clear* n. s. pro subs. τὸ δὲ σαφανὲς — κατέφρασεν, ὁπᾷ O. 10. 55.

σᾰφέως] *clearly* τοῦτό γέ οἱ σαφέως μαρτυρήσω O. 6. 20. "φράσσατέ μοι σαφέως" P. 4. 117.

σᾰφής] *clear* τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέκμαρ N. 11. 43. λάμπει δὲ σαφὴς ἀρετὰ pr. I. 1. 22. τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν I. 6. 20. n. s. pro adv., ὡς μὰν σαφὲς οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν O. 13. 45. τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφὲς O. 13. 103. ἔμαθε δὲ σαφὲς P. 2. 25. "θαέομαι σαφὲς" P. 8. 45. ἴστω γὰρ σαφὲς I. 7. 27.]σαφες ευ[Πα. 8. 94.

σβεννύω] *extinguish* c. acc. & gen. (cf. K-G., 1. 396.) καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις αἰενάου πυρός (sc. φόρμιγξ) P. 1. 5.

σεβίζω] *revere* σεβίζομεν Κυράνας ἀγακτιμέναν πόλιν P. 5. 80. μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι (sc. ἥρωες) I. 5. 29.

σέβω] *revere* αἰέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν O. 14. 12. μάλιστα μὲν Κρονίδαν — θεῶν σέβεσθαι P. 6. 25.

σειρήν] (cf. Κηληδών.) subs., adj., *siren* fig. of eloquence. σειρῆνα δὲ κόμπον αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς κεῖνον, ὃς Ζεφύρου τε σιγάζει πνοὰς αἰψηρὰς Παρθ. 2. 13. οὐδὲ πελέκεις οὐδὲ σειρήν (cf. Σ, ταῦτα πρὸς τὸν Σιμωνίδην ἐπεὶ ἐκεῖνος ἐν ἑνὶ ᾄσματι ἐπόησεν Σειρῆνα τὸν Πεισίστρατον: "illum neque secures Pisistrati tyranni neque eloquentia movit," interpr. Turyn) ?fr. 339.

σεισίχθων] *earth shaking* epith. of Poseidon. ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν — κελαδῆσαι I. 1. 52.

σείω] *shake* ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις P. 4. 272. οὕτω δὲ καὶ πίτνει χαμαί, ἀποτρόπῳ γνώμᾳ σεσεισμένον (sc. βροτῶν τὸ τερπνόν) P. 8. 94.

σελάνα] *moon* ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος O. 10. 75. test., Σ Theocrit., 2. 10b, Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν παρθενείων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται ⟨παρ⟩εῖναι Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην fr. 104.

σέλας] *flash* σέλας δ' ἀμφέδραμεν λάβρον Ἀφαίστου P. 3. 39. χρῆν ἄρα Πέργαμον εὐρὺν ἀιστῶσαι σέλας αἰθομένου πυρός Πα. 6. 97. κελαινεφέι δὲ σκότει καλύψαι σέλας καθαρὸν ἁμέρας fr. 108b. 4. met.,]ν ὕμνων σέλας ἐξ ἀκαμαν[το Πα. 18. 5. ὀμμ]άτων ἄπο σέλας ἐδίνασεν Πα. 20. 13.

σέλῖνον] *wild parsely* from which were made crowns for Isthmian victors. δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν φανέντα O. 13. 33. Ὀρσοτριαίνα ἵν' ἐν ἀγῶνι βαρυκτύπου θάλησε Κορινθίοις σελίνοις N. 4. 88. Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων I. 2. 16. Ἴσθμιον ἂν νάπος Δωρίων ἔλαχεν σελίνων I. 8. 64.

Σεμέλα] (cf. Θυώνα.) daughter of Kadmos, mother of Dionysos. ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ κεραυνοῦ τανυέθειρα Σεμέλα O. 2. 26. Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις, Ἰνὼ δὲ P. 11. 1. [Σεμέλην secl. edd. ut gloss. fr. 75. 12.] οἰχνεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί fr. 75. 19.

σεμνός] (-όν, -ούς; -ᾷ, -άν, -ᾶν; -όν nom., acc., -ῶν, -οῖς.) a. of gods and heroes, *august, revered* Ἡρακλέης σεμνὸν θάλος Αἰακιδᾶν O. 6. 68. σεμνᾶν Χαρίτων ἄτερ O. 14. 8. σεμνὰν θεὸν P. 3. 79. σεμνὰν Θέτιν N. 5. 25. σεμ]ναὶ Χάριτε[ς (supp. Snell) Πα. 3. 2. σεμνᾷ — Ματέρι πὰρ μεγάλᾳ (σοι v. l. ap. Strab.) Δ. 2. 8. σεμνᾶν Χαρίτων fr. 95. 4. b. of things, *sacred, hallowed* ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεὸν — καὶ σεμνοὺς ὀχετούς O. 5. 12. Ἰδαῖόν τε σεμνὸν ἄντρον O. 5. 18. σεμνὰν θυσίαν θέμενοι O. 7. 42. σεμνόν τ' — ἀκρωτήριον Ἄλιδος O. 9. 6. "σεμνὸν ἄντρον, Φιλλυρίδα, προλιπὼν" P. 9. 30. ἄμπνευμα σεμνὸν Ἀλφεοῦ N. 1. 1. σεμνὸν αἰνήσειν νόμον N. 1. 72. σεμνόν — Πυθίου θεάριον N. 3. 69. ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ σεμνὸν ἔπεστί τι N. 7. 23. ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι N. 8. 13. ἐν σεμνοῖς δαπέδοις i. e. at Nemea N. 10. 28. Θέμιν — Μοῖραι ποτὶ κλίμακα σεμνὰν ἄγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν fr. 30. 3. σε]μνὸν αν[Παρθ. 2. 59. σεμνῶν ἀδύτων fr. 95. 2.

Σέρῖφος] the island Περσεὺς ὁπότε τρίτον ἄυσεν κασιγνητᾶν μέρος ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων P. 12. 12.

σεύομαι] (aor. σύτο: pf. ἔσσυται; ἐσσύμενοι, -μένα; -μένως.) *speed* ὅτε παρ' Ἀλφεῷ σύτο δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων (sc. Φερένικος) O. 1. 20. ἔσσυταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι I. 8. 61. esp. part., ἐσσύμενοι δ' εἴσω κατέσταν P. 4. 135. [σευόμενοι (γενόμενοι v. l.) I. 1. 21.] τοὶ δ' ἐπίμπλαν ἐσσύμενοι πίθους *fr. 104b. 3.* c. cogn. acc., ⟨τί δ'⟩ ἔθηκας ἀμάχανον ἰσχύν τ' ἀνδράσι καὶ σοφίας ὁδόν, ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα; (sc. ἀκτὶς ἀελίου) Πα. 9. 5. adv., ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν ὤθεον fr. 166. 3.

σής] *moth* κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει fr. 222. 2.

Σθένελος] father of Eurystheus, king of Tiryns. Σθενέλοιό μιν υἱὸς κέλευσεν fr. 169. 44.

σθένος] (-ος, -ει, -ος.) a. *strength* α. of the human body. τὰ μέγιστ' ἀέθλων ἕλη τόλμᾳ τε καὶ σθένει P. 10. 24. πράσσει γὰρ ἔργῳ μὲν σθένος, βουλαῖσι δὲ φρὴν N. 1. 26. καὶ σθένει γυίων ἐρίζοντι

θρασεῖ N. 5. 39. (ἄκων) ὃς ἐξέπεμψεν παλαισμάτων αὐχένα καὶ σθένος ἀδίαντον N. 7. 73. σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει N. 10. 48. φέρει γὰρ Ἰσθμοῖ νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορφάεις I. 7. 22. ἐν ἔργμασιν δὲ νικᾷ τύχα οὐ σθένος fr. 38. Ἰάλεμον ὠμοβόλῳ νούσῳ πεδαθέντα σθένος Θρ. 3. 10. σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες fr. 133. 4. add. gen., ἀγωνίας δ' ἔρκος οἷον σθένος P. 5. 113. **β.** *(natural) strength, power, force* χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος O. 9. 51. "σθένος ἀελίου χρύσεον λεύσσομεν" P. 4. 144. (ἄρουραι) ἀναπαυσάμεναι σθένος ἔμαρψαν N. 6. 11. νιφετοῦ σθένος ὑπέρφατον (sc. φέρεις: of an eclipse of the sun) Πα. 9. 14. ὁπόταν τε χειμῶνος σθένει φρίσσων Βορέας ἐπιστέρχησ' *with its wintry strength* Παρθ. 2. 17. met., ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος N. 11. 38. εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου I. 3. 2. **b.** c. gen., in periphrasis, *strong, powerful* ζεῦξον ἤδη μοι σθένος ἡμιόνων O. 6. 22. ὅταν — καταζευγνύῃ σθένος ἵππιον P. 2. 12. κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν P. 5. 34. τέκε — Ἀλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν P. 9. 86. τὸ πάντολμον σθένος Ἡρακλέος — ὑμνήσομεν; fr. 29. 4. **c.** frag.]ν σθένος ἱεράν[Πα. 3. 93.

σῖγά] (-ᾶς, -ᾷ.) *silence* ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι N. 9. 7. ἀλλ' ὅμως καύχαμα κατάβρεχε σιγᾷ I. 5. 51. ὁ δὲ μηδὲν ἔχων ὑπὸ σιγᾷ μελαίνᾳ κάρα κέκρυπται Παρθ. 1. 9. οὐδὲ σιγᾷ κατερρύη fr. 177b. ἔσθ' ὅτε πιστόταται σιγᾶς ὁδοί fr. 180. 2. μὴ σιγᾷ βρεχέσθω (Boeckh: μὴ κεῖται, μησὶ γὰρ codd.) fr. 240.

σῖγάζω] *silence* σειρῆνα δὲ κόμπον — κεῖνον, ὃς Ζεφύρου τε σιγάζει πνοὰς αἰψηρὰς Παρθ. 2. 16.

σῖγᾱλός] *silent* σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών P. 9. 92.

σῖγάω] (σιγᾷ; σιγῷμι; σιγάτω; σιγᾶν: pass. σιγαθέν: σεσιγαμένον.) **a.** abs., *be silent* καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι N. 5. 18. **b.** c. acc., *keep silent about* ἄνευ δὲ θεοῦ σεσιγαμένον οὐ σκαιότερον χρῆμ' ἕκαστον O. 9. 103. Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ οἱ στόμα N. 10. 29. μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν μηδὲ τούσδ' ὕμνους I. 2. 44. τὸ δὲ μὴ Δί φίλτερον σιγῷμι πάμπαν fr. 81 ad Δ. 2. θνᾴσκει δὲ σιγαθὲν καλὸν ἔργον (Barnes: δ' ἐπιταθὲν codd.) fr. 121. 4.

σῐδάρεος] *of iron* τὸ πεπρωμένον οὐ πῦρ οὐ σιδάρεον σχήσει τεῖχος (Boeckh: -αροῦν codd.) fr. 232.

σῐδᾱρίτας] *iron clad* met. εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται (Heyne: σιδηρίταν codd., def. Forssman, 155) N. 5. 19.

σίδᾱρος] *iron* ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου *sword* O. 10. 37. ναῦν — τέλεσαν ἂν πλαγαὶ σιδάρου *hammer* P. 4. 246.

σῐδᾱροχάρμας] *delighting in steel* ἵππων τε σιδαροχαρμᾶν P. 2. 2.

Σῐκελία] the island. ἐν πολυμήλῳ Σικελίᾳ O. 1. 12. Σικελίας τ' ἔσαν ὀφθαλμός O. 2. 9. ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα (i. e. Τυφῶνος) P. 1. 19. κατένευσέν τέ οἱ χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς N. 1. 15. ἀπὸ τᾶς ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδάλεον ματεύειν fr. 106. 7.

Σῐκυών] (-υών, -υῶνος: -ωνόθε: Secuconi. Schr.) city of the N. Peloponnese, where in honour of Apollo were held games called Pythia, whose foundation Pindar attributes to Adrastos, but Σ N. 9. 1 to Kleisthenes. Πέλλανά τε καὶ Σικυὼν καὶ Μέγαρ' O. 13. 109. κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι, τὰν νεοκτίσταν ἐς Αἴτναν N. 9. 1. ἐκ τᾶς ἱερᾶς Σικυῶνος N. 9. 53. Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις

ἀπέβαν Ν. 10. 43. ἐν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος I. 4. 26.

Σῑληνός] *Silenos* ὁ ζαμενὴς δ' ὁ χοροιτύπος, ὃν Μαλέας ὄρος ἔθρεψε, Ναΐδος ἀκοίτας Σιληνός fr. 156. cf. fr. 157. Wil., Kl. Schr. iv. 26.

Σίπῠλος] city of Lydia. ἐκάλεσε πατὴρ (= Τάνταλος) τὸν εὐνομώτατον ἐς ἔρανον φίλαν τε Σίπυλον O. 1. 38.

Σίσῠφος] son of Aiolos; king of Korinth, founder by one account of the Isthmian games. Σίσυφον μὲν πυκνότατον παλάμαις ὡς θεόν O. 13. 52. Αἰολίδαν δὲ Σίσυφον κέλοντο (sc. αἱ Νηρείδες) ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας φθιμένῳ Μελικέρτᾳ (sc. ἄγειν τὰ Ἴσθμια) fr. 5.

σῐωπά] *silence* ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ P. 4. 57. τῶν ἀπειράτων γὰρ ἄγνωτοι σιωπαί ("le silence et l' oubli", Puech) I. 4. 30.

σιωπάω] v. ad. σωπάω.

σκαιός] *ill omened* ἄνευ δὲ θεοῦ σεσιγαμένον οὐ σκαιότερον χρῆμ' ἕκαστον O. 9. 104.

Σκᾰμανδρος] river in the Troad. λέγεται μὰν Ἕκτορι μὲν κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν ἀγχοῦ N. 9. 39.

σκᾶπτον] (-ῳ, -ον.) **a.** *staff* σκάπτῳ θενὼν σκληρᾶς ἐλαίας ἔκτανεν — Λικύμνιον O. 7. 28. **b.** *sceptre* (Ἱέρων) θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον (]τρον Π.) O. 1. 12. Ὀρτυγίας· τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων O. 6. 93. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός P. 1. 6. "καὶ σκᾶπτον μόναρχον καὶ θρόνος" P. 4. 152. Ἑστία, — εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας N. 11. 4. καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Δ. 2. 7. δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας N. 11. 4. καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Δ. 2. 7.

σκέλος] *leg* τεῖρε δὲ στερεῶς ἄλλαν μὲν σκέλος ἄλλαν δὲ πᾶχ[υν], τὰν δὲ — αὐχένα φέροισαν of the horses of Diomedes eating their groom fr. 169. 30.

σκευά] *gear, tackle* ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβάπτιστος εἶμι P. 2. 80.

[**σκήπτω,** v. ἀπο-, ἐν-, σκίμπτω.]

σκιά] *shadow* σκιᾶς ὄναρ ἄνθρωπος P. 8. 95.

σκῐάεις] (cf. σκιόεις.) *shadowy* χθονὸς ὀμφαλὸν παρὰ σκιάεντα (Housman: σκιόεντα Π.) Πα. 6. 17.

σκιάζω] *shelter under the shade of* c. acc. & dat. πρίν τις εὐθυμίᾳ σκιαζέτω νόημ' ἄκοτον ἐπὶ μέτρα Πα. 1. 2. frag. στεφά]νοισι πὰν [εὐ]θαλέος ὑγιε[ίας] σκιάζετε Πα. 6. 181.

σκῐᾰρός] *shady* Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν O. 3. 14. αἴτει πανδόκῳ ἄλσει σκιαρόν τε φύτευμα O. 3. 18. φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν καὶ †λιβάνῳ σκιαρὰν† καὶ (σκιαρὸν c. uno cod. Plutarchi Bergk: σκιαρᾷ Boeckh: λιβάνων σκιαρᾶν ⟨?⟩ Snell) Θρ. 7. 4.

σκίμπτομαι] *set fast, place firmly* ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον σκίμψατο καὶ βόας P. 4. 224.

σκῐόεις] (cf. σκιάεις.) *shadowy* "ὀρέων κευθμῶνας ἔχει σκιοέντων" P. 9. 34.

σκληρός] *hard* σκάπτῳ θενὼν σκληρᾶς ἐλαίας O. 7. 29. σκληρᾶ[Πα. 8A. 21.

σκόλῑον] *skolion, banquet song* με — τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου fr. 122. 14.

σκολῐός] **a.** *curving* κρυφᾷ δὲ σκολιαῖς γέννσσιν ἀνδέροντι πόδας ἠδὲ κεφαλάν (Boeckh: -ιαί, -ιούς, -ιοῖς codd.: cf. c. infra) fr. 203. 3. **b.** *winding* λύκοιο δίκαν ὑποθεύσομαι, ἀλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς (cf. c. infra) P. 2. 85. **c.** *crooked, cunning* πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθόνιον γένος ἀνδρῶν fr. 213.

Σκοπάδαι] a Thessalian clan of Krannon; test., Σ N. 7. 103 Σκοπάδας καὶ Ἀλευάδας εἴωθε (sc. ὁ Πίνδαρος) καλεῖν τοὺς Θετταλούς (Heyne: Κοπάδαι codd.) fr. 255.

σκόπελος] *rock* ἤτοι καὶ ἐγὼ σ[κόπ]ελον ναίων διαγινώσκομαι (a chorus of Keans speaks) Πα. 4. 21.]ιόν τε σκόπελον γείτονα πρύτανιν Δ. 3. 10. λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον fr. 196.

σκοπέω] *look for* φίλον ἦτορ, μηκέτ' ἀελίου σκόπει ἄλλο — φαεννὸν ἄστρον O. 1. 5.

σκοπιά] *peak* οὐκ ἔστι πρόσωθεν θνατὸν ἔτι σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν N. 9. 47. καὶ σκοπιαῖσιν [ἄκρ]αις ὀρέων ὕπερ ἔστα fr. 51a. 3.

σκοπός] (-ός, -οῦ, -οῖ(ο), -ῷ, -όν.) a. *mark, target* ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ O. 2. 89. ἄκοντι Φράστωρ ἔλασε σκοπόν O. 10. 71. παρὰ σκοπὸν οὐ χρὴ τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν O. 13. 94. ἔλπομαι μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν ὥτ' ἀπὸ τόξου ἱείς (Mingarelli: ἄντα σκοποῦ (τε)τυχεῖν codd.: σκοποῦ ἂν τετυχεῖν Σ^γρ·) N. 6. 27. ἀκοντίζων σκοποῖ' ἄγχιστα Μοισᾶν (Ahrens: σκοποῦ codd.) N. 9. 55. οὐ πὰρ σκοπόν fr. 6a. g. b. *watcher* οὐδ' ἔλαθε σκοπόν (Apollo) P. 3. 27. c. gen., 'Ολύμπου σκοποί O. 1. 54. τοξοφόρον Δάλου θεοδμάτας σκοπόν (Apollo) O. 6. 59. ξυνᾶνα Μαγνήτων σκοπὸν (Akastos) N. 5. 27. Ζεὺς ὁ θεῶν σκοπὸς Πα. 6. 94.

σκοτεινός] *gloomy* ξεῖνός εἰμι· σκοτεινὸν ἀπέχων ψόγον, ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω N. 7. 60.

Σκοτίος] test., Σ BT Hom., Ζ 24, τὸ γὰρ κύριον παροξύνεται παρὰ Πινδάρῳ fr. 319.

σκότος] (τό: but cf. Barrett on Eur., Hipp. 192.) = σκότος infra. ταύταν (sc. ? κακότατα) σκότει κρύπτειν ἔοικεν (σκότῳ coni. Schneidewin) fr. 42. 6. κελαινεφέι δὲ σκότει καλύψαι σέλας καθαρὸν ἀμέρας fr. 108b. 3.

σκότος] (ὁ.) *darkness* ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοὶ sc. in the underworld fr. 130 ad Θρ. 7. met., τά κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν; O. 1. 83. γνώμαν κενεὰν σκότῳ κυλίνδει N. 4. 40. ταὶ μεγάλαι γὰρ ἀλκαὶ σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι N. 7. 13. πρόφασις — ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον fr. 228.

Σκύθας] *a Scythian* νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται στρατῶν ὃς ἀμαξοφόρητον οἶκον οὐ πέπαται fr. 105b. 1. [Σκύθαι (del. Schr.) fr. 203. 1.]

Σκύριος] *of Skyros* Σκύριαι δ' ἐς ἀμελξιν γλάγεος αἶγες ἐξοχώταται fr. 106. 4.

Σκῦρος] the island. ὁ δ' ἀποπλέων (sc. Νεοπτόλεμος) Σκύρου μὲν ἅμαρτε, πλαγχθέντες δ' εἰς 'Εφύραν ἵκοντο N. 7. 37. ἦλθον ἄγγελοι ὀπίσω Σκυρόθεν Νεοπτόλεμον εὐρυβίαν ἄγοντες Πα. 6. 102.

σκῦρωτός] *paved* εὐθύτομόν τε κατέθηκεν 'Απολλωνίαις ἀλεξιμβρότοις πεδιάδα πομπαῖς ἔμμεν ἱππόκροτον σκυρωτὰν ὁδόν P. 5. 93.

σκῦτάλα] *message stick* met., *message bringer* ἐσσὶ γὰρ ἄγγελος ὀρθός, ἠυκόμων σκυτάλα Μοισᾶν (sc. Αἰνέας, leader of the chorus) O. 6. 91.

σκῦτᾰλον] *club* ἀντίον πῶς ἂν τριόδοντος 'Ηρακλέης σκύταλον τίναξε χερσίν O. 9. 30.

σμικ'ρός] *small, unimportant* σμικρὸς ἐν σμικροῖς — ἔσσομαι P. 3. 107. cf. μικρός.

Σμυρναῖος] an inhabitant of Smyrna. καὶ λιπαρῷ Σμυρναίων ἄστει (Boeckh: Σμυρναίῳ codd.) fr. 204. cf. test., s. v. 'Ομηρος fr. 264.

Σόλῡμοι] a people situated between Lycia and Pamphylia. Χίμαιραν — καὶ Σολύμους ἔπεφνεν sc. Bellerophon O. 13. 90.

σός] (σός, σόν; σάν, σαῖς: v. τεός.) *your* a. of the victor, σὸς πατὴρ N. 4. 14. προπάτωρ σὸς (Boeckh: ὁ σὸς codd.) N. 4. 90. b. of a personified place or city τὰν σὰν πόλιν αὔξων, Καμάρινα O. 5. 4. ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' 'Αλφεῷ ἄλσος — μέγα τοι κλέος αἰεί, ᾧτινι σὸν γέρας ἕσπετ' ἀγλαόν O. 8. 11. σόν τε, Κασταλία, πάρα 'Αλφεοῦ τε ῥέεθρον O. 9. 17. ['Αβδ]ηρε, καὶ στ[ρατὸν] ἱπποχάρμαν [σᾷ] βίᾳ πολέμῳ τελευταίῳ προβιβάζοις (supp. Bury: εὐ]βίᾳ Fraccaroli) Πα. 2. 105. ὁ πάντα τοι τά τε καὶ τὰ τεύχων σὸν ἐγγυάλιξεν ὄλβον (sc. Αἴγινα) Πα. 6. 133. c. of gods κείνων λυθέντες σαῖς ὑπὸ χερσίν, ἄναξ

(Zeus?) fr. 35. τὸ σὸν αὐτοῦ μέλι γλάζεις (Wil.: τὸ σαυτοῦ, σαυτὰ codd. Theocriti: τὸ σαυτῷ Ahrens: alii alia coni.: sc. Πάν) fr. 97. cf. a hero σόν τε, Περικλύμεν' εὐρυβία (sc. κλέος) P. 4. 175. d. in direct speech "σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει" P. 4. 158.

σοφία] (-ία, -ίας, -ίᾳ, -ίαν: -ίαι.) a. in general, *art, wisdom* δαέντι δὲ καὶ σοφία μείζων ἄδολος τελέθει O. 7. 53. τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον *is the best part of wisdom* P. 2. 56. γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν P. 4. 263. ἔθηκας ἀμάχανον ἰσχύν τ' ἀνδράσι καὶ σοφίας ὁδόν Πα. 9. 4. σοφίᾳ γὰρ ἀείρεται πλει[Πα. 14. 40. τί ἔλπεαι σοφίαν ἔμμεν ἂν ὀλίγον τοι ἀνὴρ ὑπὲρ ἀνδρὸς ἴσχει; fr. 61. 1. σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες fr. 133. 4. ἀτελῆ σοφίας καρπὸν δρέπειν (sc. τοὺς φυσιολογοῦντας) fr. 209. b. esp., *poetic art, skill* ἐμέ — πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ O. 1. 116. ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς ἐχθρὰ σοφία O. 9. 38. ἀμφί τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν P. 1. 12. πολλοῖσι δ' ἅγημαι σοφίας ἑτέροις P. 4. 248. ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων, σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων P. 6. 49. σοφία δὲ κλέπτει παράγοισα μύθοις N. 7. 23. ἀμνάμονες δὲ βροτοί, ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν I. 7. 18. ὅστις ἄνευθ' Ἑλικωνιάδων βαθεῖαν — ἐρευνᾷ σοφίας ὁδόν (v. l. σοφιαῖς.) Πα. 7B. 20. ἄμαχοι εἰς σοφίαν ?fr. 353. c. of other arts or skills ἀλλὰ κέρδει καὶ σοφία δέδεται (with particular ref. to medicine) P. 3. 54. κυριώτερο[(εἰς σοφίας λόγον) (supp. Snell ex Aristide) fr. 260. 7. pl., σοφίαι μὲν αἰπειναί O. 9. 107.

σόφισμα] *invention* πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον Ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ' O. 13. 17.

σοφιστάς] *skilled craftsman* sc. of poetry μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι I. 5. 28.

σοφός] (-ός, -ῷ, -όν, -οί, -ῶν, -οῖς, -ούς; -ᾶς, -αί, -αῖς; -ῶν; σοφώτατοι; -ώτατον, -ώτατα.) a. *wise, skilled* of people, ἁμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι O. 1. 34. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ pr. O. 2. 86. ἠὺ δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν pr. O. 5. 16. ἀγαθοὶ δὲ καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες ἐγένοντ' O. 9. 28. εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ O. 14. 7. καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν P. 1. 42. σοφὸν Αἰσονίδαν P. 4. 217. ἔν τε σοφοῖς — πολίταις P. 4. 295. πέφανταί θ' ἁρματηλάτας σοφός P. 5. 115. πολλοῖς σοφὸς δοκεῖ P. 8. 74. "σοφᾶς Πειθοῦς" P. 9. 39. αἱ δὲ σοφαὶ Μοισᾶν θύγατρες ἀοιδαὶ N. 4. 2. ἐσσὶ γὰρ ὢν σοφός (i. e. συνήσεις πρὸς τί ταῦτα εἴρηται Σ.) I. 2. 12. ταμίαι τε σοφοὶ Μοισᾶν ἀγωνίων τ' ἀέθλων (sc. the Aiginetans) I. 9. 4. σο]φὸν ἁγητῆρα λ[(supp. Bartoletti.) ?fr. 346a. 2. pro subs., τὸ πόρσω δ' ἐστὶ σοφοῖς ἄβατον κἀσόφοις O. 3. 44. αἱ δὲ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν O. 7. 31. χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι P. 2. 88. σοφοὶ δέ τοι κάλλιον φέροντι καὶ τὰν θεόσδοτον δύναμιν P. 5. 12. "εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι, ἐρέω" P. 9. 50. σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον (v. Schadewaldt, 300[1]) N. 7. 17. ἀρετὰ — ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν αἰθέρα N. 8. 41. ταῦτα θεοῖσι μὲν πιθεῖν σοφοὺς δυνατόν Πα. 6. 52. b. specifically, *skilled in poetry* ἐπέων — τέκτονες οἷα σοφοὶ ἅρμοσαν P. 3. 113. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν I. 1. 45. ἀνδ]ρὶ σοφῷ παρέχει μέλος Πα. 18. 3. cf. P. 4. 138, Δ. 2. 24. pro subs., ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται σοφῶν μητίεσσι O. 1. 9. βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν ἀκοὰ σοφοῖς P. 9. 78. εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς P. 10. 22. καὶ νεαρὰν ἔδειξαν σοφῶν στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος I. 8. 47. σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς

fr. 35b. c. of things τέκεν ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παραδεξαμένους παῖδας O. 7. 72. ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως O. 11. 10. σοφῶν ἐπέων P. 4. 138. καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι N. 5. 18. ἐμὲ δ' ἐξαίρετο[ν] κάρυκα σοφῶν ἐπέων Μοῖσ' ἀνέστασ' Ἑλλάδι Δ. 2. 24.

σπανίζω] *be lacking* (καλὰ ἔργα) Βασσίδαισιν ἅ τ' οὐ σπανίζει N. 6. 31.

σπάργανον] *swaddling clothes* "τοί μ' — πέμπον σπαργάνοις ἐν πορφυρέοις" P. 4. 114. κροκωτὸν σπάργανον ἐγκατέβα N. 1. 38. μελέων ἄπο ποικίλον [σπά]ργανον ἔρριψεν (sc. Ἡρακλέης) Πα. 20. 12. ἐν ᾧ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις fr. 193.

Σπάρτα] (-ας, -ᾳ, -αν.) = Λακεδαίμων. ἐν Σπάρτᾳ P. 1. 77. τὸ δ' ἐμὸν γαρύει ἀπὸ Σπάρτας ἐπήρατον κλέος, ὅθεν γεγενναμένοι ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι P. 5. 73. οἵ τ' ἀνὰ Σπάρταν Πελοπηιάδαι N. 8. 12. (Διόσκουροι) εὐρυχόρου ταμίαι Σπάρτας N. 10. 52. συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας, Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ N. 11. 34.

Σπαρτοί] *Sown Ones*, those who sprang from the dragon's teeth sown by Kadmos, and to whom some of the Theban nobility traced their descent. πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος κεῖτο (Amphitryon) P. 9. 82. Ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει I. 1. 30. ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν I. 7. 10. ἢ Κάδμον ἢ Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν — ὑμνήσομεν; fr. 29. 2.

σπάω] med., *grasp* σπασσάμενος δ' ἄροτρον P. 4. 234.

σπείρω] *sow* met. σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ (Beck e Σ: ἔγειρέ νυν codd.) N. 1. 13.

σπένδω] (in tmesis, κατασπένδειν.) *pour a libation over* εἴη δὲ τρίτον (sc. κρατῆρα) σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα σπένδειν μελιφθόγγοις ἀοιδαῖς I. 6. 9.

σπέρμα] (-ατος, -α.) a. *origin, source* (θάλος) ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου ἐγκωμίων — τυγχανέμεν O. 2. 46. καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ O. 7. 48. πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν P. 3. 37. καὶ ἐν ἀλλοδαπαῖς σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον ἆμαρ (Hermann: περ ἀρούραισι codd.) P. 4. 255. "ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας εὐρυχόρου σπέρμα πρὶν ὥρας" P. 4. 43. b. (human) *seed* ἔχεν δὲ σπέρμα μέγιστον ἄλοχος O. 9. 61. καὶ φέροισα σπέρμα θεοῦ καθαρόν P. 3. 15. ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν, σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος N. 10. 17. "τόνδε δ' ἔπειτα πόσις σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις στάξεν ἥρως" N. 10. 81. c. *seed, descendants* μὴ κρύπτε κοινὸν σπέρμ' ἀπὸ Καλλιάνακτος O. 7. 93.

σπέρχω] pass., *be stung, irritated* ἀλλὰ θεῶν βασίλεα σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ N. 1. 40.

σπεύδω] (σπεύδει; σπεῦδε; σπεύδων, -οντ(α); σπεύδειν: impf. σπεῦδεν.) a. *be in haste* Πελίας ἵκετο σπεύδων P. 4. 95. σπεύδοντ', ἔκλαγξέ θ' ἱερ[Πα. 8A, 10. b. *be eager (for)* κῦδος ἄρσαι σπεύδει Καμαρίνᾳ O. 4. 12. φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι N. 9. 21. c. acc., μή, φίλα ψυχά, βίον ἀθάνατον σπεῦδε P. 3. 62. καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν I. 4. 13. c. frag.]ροτοι σπευδ[Δ. 4. 22.

σπλάγχνα] (τά.) *womb* ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς Ἴαμος ἐς φάος αὐτίκα O. 6. 43. ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν ἐς αἴγλαν παῖς Διὸς ὠδῖνα φεύγων διδύμῳ σὺν κασιγνήτῳ μόλεν N. 1. 35. "ὑπὸ σπλάγχ[νοις] φέροισα τόνδ' ἀνέρ'" Πα. 8A. 18.

σποδέω] *pound* χεράδει σποδέων fr. 327.

σπονδά] *libation* τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι καρτεραίχμαν Ἀμφιτρυωνιάδαν I. 6. 37.

σπονδοφόρος] *truce bringing*, of the herald who proclaimed the Olympic games. (Νικόμαχος) ὅν τε καὶ κάρυκες ὡρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα Ζηνὸς Ἀλεῖοι I. 2. 23.

σποράς] f. adj., *scattered* καὶ σποράδας φερεμήλους ἔκτισαν νάσους Πα. 5. 38.

σπουδά] *earnestness* ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ O. 10. 97. τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν P. 4. 276.

σπουδαῖος] *earnest* πάντα λόγον θέμενος σπουδαῖον pr. P. 4. 132.

στᾰδιον] (-ίου, -ιον; -ίων, -ίοις.) *stadion*, *furlong race* στάδιον μὲν ἀρίστευσεν — παῖς O. 10. 64. πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον O. 13. 30. Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου θ' O. 13. 37. Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες P. 11. 49. (ὕμνον) Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα (ὅτι διαυλοδρόμος Σ.) N. 8. 16. ἔν τε γυμνοῖσι σταδίοις I. 1. 23.

στάδιος] *firmly standing* κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος O. 5. 13.

στάζω] *drip, drop* c. acc. "νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι" (sc. Ὧραι) P. 9. 63. "τόνδε δ' ἔπειτα πόσις σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις στάξεν ἥρως" (Pauw: ἔσταξεν codd.: i. e. τὸν Κάστορα μετὰ ταῦτα ὁ Τυνδαρεὺς σπέρμα θνητὸν ὄντα — ἔσπειρεν Σ.) N. 10. 82.

στάθμα] (-ας, -ᾳ, -αν.) a. *finishing line* met. καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμε πότμος ἄντιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν N. 6. 7. b. *measuring line* met. στάθμας δέ τινος (τινες coni. Sheppard) ἑλκόμενοι περισσᾶς ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ P. 2. 90. c. *rule* met. πόλιν — Ὑλλίδος στάθ'μας Ἱέρων ἐν νόμοις ἔκτισσε P. 1. 62. Ὕλλου τε καὶ Αἰγιμιοῦ —· τῶν μὲν ὑπὸ στάθ'μᾳ νέμονται I. 9. 4. τῶν νῦν δὲ καὶ Θρασύβουλος πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα (*to the standard of what is due to a father*, Gildersleeve) P. 6. 45.

στᾰθμάομαι] *measure out* Διὸς ἄλκιμος υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ O. 10. 45.

σταθμός] (-όν; -ούς, -ῶν.) s. & pl., *dwelling* ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων σταθ'μῶν O. 5. 10. ὅταν — εἰς Ἀίδα σταθμὸν ἀνὴρ ἵκηται O. 10. 92. αἰπεινῶν ἀπὸ σταθ'μῶν P. 4. 76. ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν Ζηνός I. 7. 45. πάνδοξον Αἰολάδα σταθμὸν υἱοῦ τε Παγώνδα ὑμνήσω Παρθ. 2. 9.]ες σταθμοῦ[P. Oxy. 2445, fr. 5.

στάλα] (-αν, -ᾶν, -αισιν.) a. *memorial stone* εἰ δέ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν Παρίου λίθου λευκοτέραν N. 4. 81. b. pl., *pillars* (of Herakles), symbol of the limits to which man can attain. Θήρων — ἅπτεται οἴκοθεν Ἡρακλέος σταλᾶν O. 3. 44. ἀνορέαις δ' ἐσχάταισιν οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις I. 4. 12.

στάσις] (-ις, -ιν; -ίων.) *civil strife* εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας O. 12. 16. φεῦγε γὰρ Ἀμφιαρῆ ποτε θρασυμήδεα καὶ δεινὰν στάσιν πατρίων οἴκων ἀπό τ' Ἄργεος (sc. Ἄδραστος) N. 9. 13. "οὐ πενθέων δ' ἔλαχον ⟨οὐ⟩ στασίων" (supp. e Plutarcho et Σ papyri Blass) Πα. 4. 53. στάσιν οὐλομέναν (sc. φέρεις;) Πα. 9. 15. ⟨οὔτ' ἐχθρὰ στάσις⟩ (dubitanter supp. Snell e Σ pap.) Πα. 14. 3.]ιτο μὲν στάσις Δ. 3. 3. στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών, πενίας δότειραν, ἐχθρὰν κουροτρόφον fr. 109. 3. [ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες ἢ στάσιν ἄλγος ἐμφανές (Ιστᾶσιν v. l.) fr. 210.]

στέγω] med., c. acc., *protect oneself against* ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους P. 4. 81.

στείχω] (στεῖχ(ε); στείχοι; στείχων, -οντα; στείχειν.) a. *walk* ἐν εὐθείαις ὁδοῖς

στείχοντα N. 1. 25. καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον φᾶσέ νιν δώσειν μόρῳ (Boeckh: μόρου codd.: τινι — στείχοντι Hermann) N. 1. 65. Δαμαίνας πα[ῖ, ἐ]να[ισίμ]ῳ νῦν μοι ποδὶ στείχων ἀγέο Παρθ. 2. 67. [στείχοι (coni. Wil.: ἐν codd.: ἔσχε Tricl.) P. 11. 57.] b. *go* ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά, στεῖχ' ἀπ' Αἰγίνας N. 5. 3. οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν' N. 9. 20.

στέλεχος] *(hollow) trunk* of a tree. ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένους N. 10. 61.

στέλλω] *send out* ἐγὼ δὲ ἴδιος ἐν κοινῷ στἄλεὶς — οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ *on a mission of public interest* O. 13. 49.

στεναγμός] *groaning* "καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ⟨◡◡⟩ ἤδ' ὀστέων στεναγμὸν βαρύν" (of Herakles, devouring the ox of Koronos) fr. 168. 5.

στέργω] *be content* τὸ δὲ οἴκοθεν ἄστυ κα[ὶ —] καὶ συγγένει' ἀνδρὶ φ[—] στέρξαι Πα. 4. 34.

στερεός] *harsh, remorseless* ὑπὸ στερεῷ πυρὶ O. 10. 36. στερεᾶν ὀδυνᾶν P. 4. 221. adv., -εῶς. τεῖρε δὲ στερεῶ⟨ς⟩ ἄλλαν μὲν σκέλος, ἄλλαν δὲ πᾶχ[υν] — φέροισαν (supp. Lobel) fr. 169. 29.

στερέω] *deprive* c. acc. & gen. χρυσέων γὰρ Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν N. 8. 27.

στέρνον] (-ῳ; -ων, -α.) a. *chest, breast* Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα P. 1. 19. χερσὶ δ' ἄρα Κρονίων ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν στέρνων κάθελεν (join δι' ἀμφοῖν — στέρνων) P. 3. 57. ἄγαλμ' Ἀΐδα, ξεστὸν πέτρον, ἔμβαλον στέρνῳ Πολυδεύκεος N. 10. 68. b. met., *breast, rise* of land ἐλα]χύνωτον στέρνον χθονὸς Πα. 4. 14.

στεροπά] *lightning flash* λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς P. 4. 198. Κρονίδαν, βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν P. 6. 24. "υἱὸν — χεῖρας Ἄρεϊ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν" I. 8. 37.

στεφᾰνᾱφορία] *bringing of a crown* τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι O. 8. 10.

στέφᾰνος] (-ος, -ῳ, -ον, -οι, -ων, -οισ(ι), -οισιν, -ους.) a. *crown* presented to an athletic victor χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι O. 3. 6. αἰτεῖ — σκιαρόν τε φύτευμα — στέφανόν τ' ἀρετᾶν O. 3. 18. μετὰ στέφανον ἴων O. 4. 23. ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν τῶν Οὐλυμπίᾳ — δέκευ O. 5. 1. στεφάνους ἐν Ὀλυμπίᾳ ἐπεὶ δέξαντο O. 6. 26. ἔκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ' ἀγώνων O. 8. 76. στεφάνων ἄωτοι O. 9. 19. τίς δὴ ποταίνιον ἔλαχε στέφανον; O. 10. 61. κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας ἀδυμελῆ κελαδήσω O. 11. 13. δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τεθμόν O. 13. 29. ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν P. 1. 37. στέφανον ὕψιστον δέδεκται P. 1. 100. τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις P. 2. 6. κῶμόν τ' ἀέθλων Πυθίων αἴγλαν στεφάνοις P. 3. 73. υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων P. 10. 26. τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν P. 10. 58. Θρασυδᾷος ἔμνασεν ἑστίαν τρίτον ἔπι στέφανον πατρῴαν βαλών P. 11. 14. ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη N. 2. 22. ἀοιδὰν — στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν N. 3. 8. Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων πέμψαντα N. 4. 17. οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων N. 4. 77. Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον N. 5. 5. ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία ⟨πλεόνων⟩ ταμίαν στεφάνων N. 6. 26. εἴρειν στεφάνους ἐλαφρόν N. 7. 77. (φιάλαις) ἃς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμψαν θεμιπλέκτοις ἁμᾶ Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος N. 9. 53. καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον (sc. ἐκράτησε) N. 10. 26. ἐπεὶ στεφάνους ἕξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων I. 1. 10. γενόμενοι στεφάνων νικαφόρων I. 1. 21. ἐν βάσσαισι Ἰσθμοῦ δεξαμένῳ στεφάνους I. 3. 11. ὅντιν' ἀθρόοι στέφανοι χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν I. 5. 8. λάμ-

βανέ οἱ στέφανον, φέρε δ' εὔμαλλον μίτραν I. 5. 62. ἄωτον δεξάμενοι στεφάνων I. 6. 4. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζων I. 7. 39. πόρε, Λοξία, τεαῖσιν ἁμίλλαισιν εὐανθέα καὶ Πυθόι στέφανον I. 7. 51. μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων I. 8. 6. ἁλίκων τῷ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον I. 8. 67. μναστὴρ στεφάνων (sc. ἀγών) fr. 20. στεφάνων καὶ θαλιᾶν τροφὸν ἄλσος Ἀπόλλωνος Πα. 6. 13. χαίταν στεφάνοις ἐκόσμηθεν Παρθ. 2. 48. ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων τιμαὶ καὶ στέφανοι fr. 221. 2. **b.** *garland* as sign of festivity or success δρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνους (v. l. στεφάνοις) O. 2. 74. στεφάνοισί τέ μιν ποίας ἔρεπτον P. 4. 240. χαίρων δὲ καὶ αὐτὸς Ἀλκμᾶνα στεφάνοισι βάλλω P. 8. 57. πολλὰ μὲν κεῖνοι δίκον φύλλ' ἔπι καὶ στεφάνους P. 9. 124. στεφά]νοισι παν [(e Σ supp. Snell) Πα. 6. 180.]πλόκον σ[τεφά]νων κισσίνων Δ. 3. 7. ἰοδέτων λάχετε στεφάνων (sc. θεοί) fr. 75. 6. Αἰολάδα σταθμὸν — ὑμνήσω στεφάνοισι θάλλοισα παρθένιον κάρα Παρθ. 2. 11. ἐντὶ [δὲ καὶ] θάλλοντος ἐκ κισσοῦ στεφάνων Διο[νύσου (Wil.: στέφανον cod.) Θρ. 3. 3. **c.** *circling wall* Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι O. 8. 32.

στεφᾰνόω] (aor. ἐστεφάνωσε, -αν; -ῶσαι: med. aor. ?pro pass. ἐστεφανώσατο; στεφανωσάμενος, -ον: pass. pf. ἐστεφανωμένον: aor. στεφανωθείς.) *crown* ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι O. 4. 11. υἱὸν εἴπῃς ὅτι οἱ νέαν κόλποις παρ' εὐδόξοις Πίσας ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν O. 14. 24. Ἀρισταγόραν ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ N. 11. 21. med., *have oneself crowned* (pro pass.? Schwyz., 1. 757; Wackernagel, Vorl., 1. 137) ἄνδρα παρ' Ἀλφειῷ στεφανωσάμενον αἰνέσω O. 7. 15. τῶν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δίς O. 7. 81. νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος καὶ δὶς ἐκ Πυθῶνος O. 12. 17. καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος N. 6. 19. in zeugma, Κίρραθεν ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ P. 8. 19. met., ἐμὲ δὲ στεφανῶσαι κεῖνον — μολπᾷ χρή O. 1. 100.

στεφᾰνωμα] (-ωμ(α) acc., -ώματα acc.) *crown* προθύροισιν δ' Αἰακοῦ ἀνθέων ποιάεντα φέρε στεφανώματα σὺν ξανθαῖς Χάρισσιν N. 5. 54. Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων at the Isthmian games I. 2. 15. Ἀπόλλωνι μὲν θ[εῶν] ἀτὰρ ἀνδρῶν Ἐχεκράτει παιδὶ Πυθαγγέλω στεφάνωμα ?fr. 333a. 7. met., τιμὰν οἵαν οὔτις Ἑλλάνων δρέπει, πλούτου στεφάνωμ' ἀγέρωχον P. 1. 50. γεγωνεῖν ὄλβιον ἄνδρα διωξίππου στεφάνωμα Κυράνας P. 9. 4. δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ P. 12. 5. κεῖνον ἅψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ' ἐπάξιον I. 4. 44. δαῖτα πορσύνοντες ἀστοὶ καὶ νεόδματα στεφανώματα βωμῶν (v. νεόδματος) I. 4. 62.

στέφω] *put around* "δοιὰ βοῶν θερμὰ πρὸς ἀνθρακιὰν στέψαν" fr. 168. 3.

στῆθος] *breast* ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι στηθέων ἔξω fr. 124. 6.

στῐβᾰρός] *stout* πρὸς στιβαρὰς ἐπάραξε πλευράς fr. 111. 4.

στῖχος] (heterocl. pl., στίχες.) *rank* κραιπνότεραι ἢ βαρυγδούπων ἀνέμων στίχες P. 4. 210. ἦ ῥα Μηδείας ἐπέων στίχες *the ranked words* P. 4. 57. lit., of fighting men, ταῦροι δὲ βουλεῦσαι φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας χερσὶ καὶ ψυχᾷ δυνατοί N. 9. 38.

στόλος] *voyage* εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ κελαδέων (of the garland crowned ship of the victor returning to Sicily) P. 2. 62. met., *course*, Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ πόλιν τάνδε κόμιζε P. 8. 98. ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ N. 3. 17.

στόμα] (στόμα, -ατος, -α voc., acc.; στόματ(α), -άτων.) *mouth* ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον O. 9. 36. ἔπος — Αἰήτα τό ποτε ζαμενὴς παῖς ἀπέπνευσ'

ἀθανάτου στόματος P. 4. 11. κωφὸς ἀνήρ τις ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει P. 9. 87. βραχύ μοι στόμα πάντ' ἀναγήσασθ' N. 10. 19. Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ οἱ στόμα N. 10. 29. τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν (? the mouth of the Aiakidai) I. 5. 43. καὶ νεαρὰν ἔδειξαν σοφῶν στόματ' ἀπείροσιν ἀρετὰν Ἀχιλέος I. 8. 47. πεδὰ στόμα φλέγει fr. 26. πολὺν ῥόθον ἵεσαν ἀπὸ στομ[άτων] Ἐλείθυιά τε καὶ Λάχεσις Πα. 12. 16. πρὶν μὲν ἕρπε — τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων Δ. 2. 3. met., "πὰρ χθόνιον Ἀίδα στόμα" P. 4. 44. ἐπ' Ἀξείνου στόμα i. e. the Bosporus P. 4. 203.

στονᾰχά] *groan* θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς N. 10. 75. ἔκλαγξέ θ' ἱερ[—] δαιμόνιον κέαρ ὀλοαῖσι στοναχαῖς ἄφαρ Πα. 8A. 12. ἐν δὲ Ναΐδων ἐρίγδουποι στοναχαὶ μανίαι τ' ἀλαλαί τ' ὀρίνεται Δ. 2. 12.

στονόεις] *dolorous* ἀρίστευον — παῖδες ἀνορέᾳ χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον (στονόεντά τ' codd.) I. 8. 25.

στρᾰ́ταρχος] *commander* ἐναρίμβροτον ἀναμείναις στράταρχον Αἰθιόπων Μέμνονα P. 6. 31. τίνες Ἕκτορα πέφνον καὶ στράταρχον Αἰθιόπων ἄφοβον Μέμνονα χαλκοάραν I. 5. 40. στρα]τάρχῳ (? Polydektes, ? Proitos) Δ. 4. 43.

στρᾰτεύομαι] (aor. pass. pro med.) *go to war, campaign* νῦν γε μὰν τὰν Φιλοκτήταο δίκαν ἐφέπων ἐστρατεύθη P. 1. 51.]οιδ' ὅτ' ἐστρα[τευ (supp. Lobel) fr. 111a. 6.

στρᾰτιά] a. *army, expedition* "ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς" O. 6. 16. ὃς καὶ Ἰαολκὸν εἷλε μόνος ἄνευ στρατιᾶς N. 3. 34. Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ, Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων N. 11. 35. b. *host, assembly* Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤλεγξαν Ἑλλανίδα στρατιὰν ὠκύτατι P. 11. 50. c. *frag.*]ᾳμᾳ καὶ στρατιά ($Π^{pc}$: -ιαῖς $Π^{ac}$) Δ. 3. 11.

στρᾰτός] (-ός, -οῦ, -ῷ, -όν; -ῶν.) a. *people, folk* σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατὸν O. 5. 12. Παρρασίῳ στρατῷ O. 9. 95. ἷκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων (sc. Ἡρακλέης) O. 10. 66. ἐγγυάσομαι ὔμμιν — φυγόξεινον στρατὸν μηδ' ἀπείρατον καλῶν — ἀφίξεσθαι (the people of Epizephyrian Lokris) O. 11. 17. νώμα δικαίῳ πηδαλίῳ στρατόν P. 1. 86. ἐκ δ' ἐγένοντο στρατὸς θαυμαστός (the Centaurs) P. 2. 46. πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ P. 2. 58. χὠπόταν ὁ λάβρος στρατός, χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι P. 2. 87. στρατῷ τ' ἀμφικτιόνων ὁ Παρνάσσιος αὐτὸν μυχὸς διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν P. 10. 8. ἔνθα καί νυν ἐπίνομον ἡρωίδων στρατὸν ὁμαγερέα καλεῖ συνίμεν P. 11. 8. ὁ δέ οἱ φράζε καὶ παντὶ στρατῷ N. 1. 61. οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατὸν N. 8. 11. ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι N. 10. 25. ἐπεὶ στεφάνους ἐξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων (the Thebans) I. 1. 11. "χθόνα τοί ποτε καὶ στρατὸν ἀθρόον πέμψαν κεραυνῷ τριόδοντί τε ἐς τὸν βαθὺν Τάρταρον (the original inhabitants of Keos) Πα. 4. 42. Κάδμου στρατὸν Πα. 9. 44. pl. νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται στρατῶν, ὃς ἀμαξοφόρητον οἶκον οὐ πέπαται (*wanders from his people:* Στράτων Lübbert) fr. 105b. 1. b. *army, expedition* Τιρύνθιον ἔπερσαν αὐτῷ στρατὸν — Μολίονες O. 10. 32. ἔλσαις ὅλον τε στρατὸν λᾴαν τε πᾶσαν O. 10. 43. Ἀμαζονίδων — τοξόταν βάλλων γυναικεῖον στρατὸν O. 13. 89. καὶ ῥά οἱ — Μόψος ἄμβασε στρατὸν P. 4. 191. "ἐκ Δαναῶν στρατοῦ" (the army of the Epigonoi) P. 8. 52. καί ποτ' ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀνδρῶν (the Seven against Thebes) N. 9. 18. †λοιγὸν ἀμύνων† ἐναντίῳ στρατῷ (λοιγὸν ἀμφιβαλὼν coni. A. W. Mair) I. 7. 28. σὺν θεῶν δέ νιν αἴσᾳ Ὕλλου τε καὶ Αἰγιμιοῦ Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο I. 9. 3. ἐπὶ δὲ στρατὸν ἄισ[σ fr. 33a. "μολόντα — βαιοῖς σὺν ἔντεσιν ποτὶ πολὺν στρατόν" Πα. 2. 75. καὶ στ[ρατὸν] ἱπποχάρμαν — πολέμῳ τελευταίῳ προβιβάζοις

Πα. 2. 104. Σύριον εὐρυαίχμαν διεῖπον στρατὸν (the Amazons) fr. 173. 1. met., χειμέριος ὄμβρος, ἐπακτὸς ἐλθὼν ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος P. 6. 12. c. fragg.]ώων στρατῷ fr. 60b. 8.]ου στρατὸς οὐκ ἀέκ[ων fr. 169. 52.

στρέφω] *turn round* τὰν δ' ἐπ' αὐχένι στρέφοισαν κάρα (Wyttenbach: στρέφοιαν codd.: sc. ἔλαφον) •fr. 107a. 6• δίδυμον στρέφοισα πηδάλιον (sc. Τύχα) fr. 40. c. acc. cogn., οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι, ῥήματα πλέκων (ἐλλείπει δὲ τὸ τις. Σ: στρέφοις coni. Schr.: a met. from wrestling, cf. Pollux, 3. 115: *what a weaving, twisting struggle could he wage*) N. 4. 93.

Στρεψιάδας] of Thebes, victor in Isthmian pankration. κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνῳ καὶ Στρεψιάδᾳ I. 7. 21.

Στροφίος] king of Phokis, father of Pylades. ὁ δ' ἄρα γέροντα Στροφίον ἐξίκετο, νέα κεφαλά, Παρνασσοῦ πόδα ναίοντ' P. 11. 35.

στρωμνά] a. *couch* αὐτὰ ποσσὶν ἄπεπλος ὀρούσαισ' ἀπὸ στρωμνᾶς N. 1. 50. met., στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ i. e. the weight of Etna pressing upon Typhon P. 1. 28. b. *coverlet* "ἄφθιτον στρωμνὰν ἀγέσθω, κῶας αἰγλᾶεν" P. 4. 230.

στυγερός] *abominable* πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν ἀλλότριον θνᾴσκοντι στυγερώτατος O. 10. 90.

στυγέω] *spurn* ἄνδρες θήν τινες ἀκκιζόμενοι νεκρὸν ἵππον στυγέοισι λόγῳ κείμενον ἐν φάει (Boeckh, Wil.: -έουσι codd.) fr. 203. 2.

Στυμφάλιος] *of Stymphalos* ἀπὸ Στυμφαλίων τειχέων ποτινισόμενον O. 6. 99.

Στυμφαλίς] (f. adj.) *Stymphalian* ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν O. 6. 84.

Στύξ] river of the underworld by which the gods swore. πρὶν Στυγὸς ὅρκιον ἐξ εὐ[Πα. 6. 155. Στυ[γ (cf. Σ, τῷ Τιταρησίῳ, ὃς ἀπόρροιαν ἀπὸ Στυγὸς ἔχει; Hom., B 751 ff.) Πα. 10. a. 4.

στυφελίζω] *strike* ὁπόταν θεὸς ἀνδρὶς χάρμα πέμψῃ, πάρος μέλαιναν καρδίαν ἐστυφέλιξεν fr. 225.

σύ] (τύ, σύ, σεῦ, σέο, σέθεν, τίν, τοι, σοι, σέ, σε; ὑμμῖ(ν), ὑμῖν, ὔμμε.) *you* a. nom., voc., α. σύ (avoiding τ-allitteration) ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ 'Αλάθεια Διός, — ἐρύκετον O. 10. 3. ὦ θεόμορ' 'Αρκεσίλα, σύ τοι P. 5. 6. σύ τοι P. 5. 6. σύ τοι P. 6. 19. [εἰ γὰρ σύ ἵν (coni. Maas: σφιν codd.: σφισιν Tricl.) N. 7. 98.] β. τύ (always first word in sentence). "τὺ δὲ" O. 1. 85. τὺ δὲ P. 2. 57. τὺ γὰρ P. 8. 6. τὺ δ' P. 8. 8. τὺ δ', 'Εκαταβόλε P. 8. 61. τὺ δ' — Εὐθύμενες N. 5. 41. τὺ δέ, Διοδότοιο παῖ I. 7. 31. b. gen., α. σέθεν c. prep., μέγα τοι φέρεται πὰρ σέθεν P. 1. 88. ἄνευ σέθεν N. 7. 2. Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται ἐκ σέθεν I. 3. 5. possessive, κρεῶν σέθεν διεδάσαντο O. 1. 51. κραίνει σέθεν εὐτυχίαν O. 6. 81. οὐκ ἄτερ παίδων σέθεν O. 8. 45. σέθεν ὄπα μαιόμενοι N. 3. 5. καὶ σέθεν, 'Αμφιτρύων, παῖδας προσειπεῖν I. 1. 55. Αἰγεῖδαι σέθεν ἔκγονοι I. 7. 15. objective, ἱκέτας σέθεν ἔρχομαι O. 5. 19. with original ablative sense (= ἀπὸ σοῦ), 'Ορτυγία —, σέθεν ἀδυεπὴς ὕμνος ὁρμᾶται N. 1. 4. [Ποσ]ειδᾶνός τε παῖ, [σέθ]εν 'Ιάονι τόνδε λαῷ [παι]ᾶνα [δι]ώξω (e Σ supp. G-H.) Πα. 2. 3. β. σέο, c. voc. 'Αγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ τῶν τε καὶ τῶν χρήσιες N. 1. 29. Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγὼν N. 3. 65. 'Ηράκλεες, σέο δὲ προπράον' ἔμμεν ξεῖνον ἀδελφεόν τ' N. 7. 86. Θεία, σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων (Bergk: σέο γ' ἕκατι.) I. 5. 2. κόρα μιγεῖσ' 'Ωκεανοῦ Μελία σέο, Πύθι[ε (λέχει supp. G-H.) Πα. 9. 43. σέο κλεόμενοι γε[Δ. 4c. 7. γ. σεῦ σεῦ ἕκατι O. 14. 20. σεῦ δὲ πάτρᾳ Χαριάδαις τ' ἐλαφρὸν ὑπερεῖσαι λίθον Μοισαῖον N. 8. 46. c. dat., α. τοι (τοι O. 8. 59, N. 4. 79, N. 9. 32, I. 1. 6. v. τοι part.), enclitic εἴ τι τοι — χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν O. 1. 18.

"εἰδότι τοι ἐρέω" P. 4. 142. "μῆλά τε γάρ τοι ἐγὼ — ἀφίημ'" P. 4. 148. "καί τοι μοναρχεῖν καὶ βασιλευέμεν ὄμνυμι προήσειν" P. 4. 165. ἐγὼ τόδε τοι πέμπω N. 3. 76. ἀναβάλεο· Μοῖσά τοι κολλᾷ χρυσὸν ("Selbstanrede," Maas) N. 7. 77. "ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν παρδίδωμ'" N. 10. 82. "ἔσσεταί τοι παῖς, ὃν αἰτεῖς, ὦ Τελαμών" I. 6. 52. τοῦτό γέ τοι ἐρέω fr. 42. 2. σύνες ὅ τοι λέγω fr. 105. 1. ἐρατᾶν ὄχημ' ἀοιδᾶν τοῦτό τοι πέμπω (τοι supp. Boeckh: om. codd.) fr. 124. 2. μνάσθηθ' ὅτι τοι — ἔσσατο ἄνακτι βωμὸν fr. 140a. 62 (36). β. σοι (avoiding τ-allitteration: τοι passim Schr.; σοί Wil., Hermes, 1879, 194n), enclitic, Παιάν τέ σοι τιμᾷ φάος (σοί Turyn) P. 4. 270. "νῦν δ' εὐρυλείμων πότνιά σοι Λιβύα δέξεται εὐκλέα νύμφαν" P. 9. 55. "ἔστι σοι τούτων λάχος" (σοί Turyn) N. 10. 85.]νοῖον ἅ σοί / σε[(sic Snell: ἅσοι / σθ legit Radt: ἅς οἶσθ' e. g. Turyn) Πα. 6. 153. τί ἔρδων φίλος σοί τε, καρτερόβρεντα Κρονίδα, — εἴην; fr. 155. 1. γ. τίν (τὶν but τῖν codd., I. 6. 4.) τὶν δὲ O. 5. 7. 'Αγησία, τὶν δ' O. 6. 12. τὶν δ' O. 10. 93. τὶν γὰρ O. 12. 3. εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν P. 1. 29. σύν τοι τίν κεν ἁγητὴρ ἀνὴρ — τράποι P. 1. 69. τὶν δὲ P. 3. 84. τὶν δὲ P. 4. 275. τίν τ', 'Ελέλιχθον P. 6. 50. τίν γε μέν N. 3. 83. σὺν δὲ τὶν N. 7. 6. Θεαρίων, τὶν δ' N. 7. 58. ἐν τίν κ' ἐθέλοι N. 7. 90. ὦ μάκαρ, τὶν δ' ἐπέοικεν N. 7. 95. πὰν δὲ τέλος ἐν τὶν ἔργων N. 10. 30. τὶν δ' ἐν 'Ισθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα I. 5. 17. ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον δεξάμενοι στεφάνων (τίν γ' metr. causa Pauw.) I. 6. 4. τὶν δέ, χρυσο[Πα. 3. 13. τὶν μὲν — ἐμὶν δὲ Πα. 10. 18—9. Δαμαίνας παῖ, — ἁγέο· τὶν γὰρ εὔφρων ἕψεται πρώτα θυγάτηρ Παρθ. 2. 67. d. acc., α. σε (never in first position), enclitic, στάσις — σ' ἁμεροε πάτρας O. 12. 16. σάμερον μὲν χρή σε πὰρ ἀνδρὶ φίλῳ στᾶμεν P. 4. 1. σε χαίρειν ἐστρὶς αὐδάσαισα P. 4. 61. "καὶ τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;" P. 4. 98. τῶ σε μὴ λαθέτω, Κυράνα P. 5. 23. πλεῖστα νικάσαντά σε καὶ τελεταῖς ὡρίαις ἐν Παλλάδος εἶδον P. 9. 97. αἰτέω σε, φιλάγλαε P. 12. 1. Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν (sc. θυμέ v. 26) N. 3. 28. μοῖραν δ' εὔνομον αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν, Ζεῦ πάτερ N. 9. 30. οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον N. 11. 5. "νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι" I. 6. 44. πρὸς 'Ολυμπίου Διός σε, χρυσέα κλυτόμαντι Πυθοῖ, λίσσομαι Πα. 6. 1. οὕνεκεν οὔ σε παιηόνων ἄδορπον εὐνάξομεν Πα. 6. 127. σέ τε καὶ ῥαδ[Πα. 7. d. 2. ἀλλά σε πρὸς Διός, ἱπποσόα θοάς, ἱκετεύω Πα. 9. 7. τοῦτ' αἴτημί σε fr. 155. 3.]γάρ σε, —'Εκαβόλε fr. 140a. 60 (34). as generalizing pron., (= τις), πάντ' ἔχεις, εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν I. 5. 15. β. σέ emphatic, υἱὲ Ταντάλου, σὲ δ' O. 1. 36. εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν O. 1. 115. σέ τ', 'Ολυμπιόνικε O. 5. 21. ὃς σὲ μὲν Νεμέᾳ πρόφατον — θῆκεν O. 8. 16. σὲ δ', ὦ Δεινομένειε παῖ P. 2. 18. ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν P. 2. 64. σὲ ποτὶ πάντα λόγον ἐπαινεῖν (σε add. Bergk: om. codd.) P. 2. 66. ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' P. 4. 59. "Ὦτον καὶ σέ, τολμάεις 'Επιάλτα ἄναξ" P. 4. 89. "ἀλλ' ἐμὲ χρὴ καὶ σέ" P. 4. 141. σὲ δ' ἐρχόμενον ἐν δίκᾳ P. 5. 14. 'Αλεξιβιάδα, σὲ δ' ἠύκομοι φλέγοντι Χάριτες P. 5. 45. "καὶ γὰρ σέ — ἔτραπε μείλιχος ὀργά" P. 9. 42. Κάστορος βίαν, σέ τε, ἄναξ Πολύδευκες P. 11. 62. ὦ Τιμόδημε, σὲ δ' ἀλκὰ παγκρατίου τλάθυμος ἀέξει N. 2. 14. μεταΐξαις σὲ (coni. Turyn: μεταΐξαντα codd.) N. 5. 43. σέ γ' ἐπαρκέσαι (coni. Turyn: τό γ' ἐπάρκεσε codd.) N. 6. 60. παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν N. 6. 62. σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν κοιμᾶτο I. 8. 21. σὲ καὶ[Πα. 7B. 2. σὲ δ' ἐγὼ παρὰ μιν αἰνέω μέν, Γηρυόνα fr. 81 ad Δ. 2. [γ. τε, ὕδατος ὅτι τε πυρὶ ζέοισαν εἰς ἀκμὰν μαχαίρᾳ τάμον κατὰ μέλη, τραπέζαισί τ' — φάγον

(τε = σε Christ, Wackernagel, Kl. Schr., 29) O. 1. 48. τέ γ' ἐπαρκέσαι (coni. Maas: τό γ' codd.: σέ γ' Turyn) N. 6. 60.] e. dat. pl., α. ὔμμι, ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον i. e. you, Arkesilas, and your ancestors P. 4. 259. β. ὔμμιν, ἐγγυάσομαι ὔμμιν, ὦ Μοῖσαι, φυγόξεινον στρατὸν μηδ' ἀπείρατον καλῶν — ἀφίξεσθαι (de Jongh e Σ: μή μιν codd.: μὴ μὲν Hartung) O. 11. 17. ὔμμιν δέ, παῖδες 'Αλάτα O. 13. 14. ὦ Συράκοσσαι — ὔμμιν τόδε — φέρων μέλος P. 2. 3. (O. 14. 5, I. 2. 30 v. ὑμῖν.) γ. ὑμῖν, σὺν γὰρ ὑμῖν (ὔμμιν coni. Hermann: the Graces) O. 14. 5. οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι οὔτε κώμων — οὔτε μελικόμπων ἀοιδᾶν (ὔμμιν coni. Turyn: the sons of Ainesidamos) I. 2. 30. πολύξεναι νεάνιδες — ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν, ὦ παῖδες fr. 122. 6. f. acc. pl., ὔμμε, Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος Ζηνὶ γενεθλίῳ i. e. you and your family O. 8. 15. ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι, τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν — ῥαινέμεν εὐλογίαις I. 6. 19.

συγγένεια] *kinship* i.e. *kinsmen* τὸ δὲ οἴκοθεν ἄστυ κα[ὶ —] καὶ συγγένει' ἀνδρὶ Πα. 4. 33.

συγγενής] (-ής, -εῖ, -έσιν; -ές nom., acc.) a. *inherited, inborn* ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος O. 13. 13. μεγαλᾶν πολίων ἔχει συγγενὴς ὀφθαλμὸς αἰδοιότατον γέρας (H. J. Rose: post πολίων distinx. codd., fort. recte) P. 5. 16. ἐσσόμενον προιδεῖν συγγενὲς οἷς ἕπεται pr. N. 1. 28. συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει N. 3. 40. πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι πάντων N. 5. 40. νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε Πότμος συγγενὴς εὐαμερίας I. 1. 40. b. τὸ συγγενές, *one's hereditary nature* τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς 'Ολυμπιονίκα δὶς ἐν πολεμαδόκοις "Αρεος ὅπλοις P. 10. 12. τεκμαίρει καί νυν 'Αλκιμίδας τὸ συγγενὲς ἰδεῖν ἄγχι καρποφόροις ἀρούραισιν N. 6. 8. c. m. pl., *kinsfolk* συγγενέσιν παρεκοινᾶθ' P. 4. 133.

σύγγονος, -ον] (-ος, -ῳ, -ον; -οι, -ων, -οισι, -ους.) a. adj., *hereditary, inborn* συγγόνῳ παρ' ἑστίᾳ O. 12. 14. μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις (sc. 'Αλκμάν, son of Amphiareus) P. 8. 60. ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' 'Αρκεσίλαν καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε σύγγονον N. 11. 12. b. subs., *kinsman* κατακρύπτει δ' οὐ κόνις συγγόνων κεδνὰν χάριν O. 8. 80. ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν P. 3. 39. τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων P. 9. 108. ἐὼν Θρασύκλου 'Αντία τε σύγγονος N. 10. 40.]ον ἵκε συγγόνους τρεῖς π[fr. 140a. 70 (44). c. frag., Φόρκοιο σύγγονον πατέρων Δ. 1. 17.

σύγκοιτος] *bed companion* met. τὸν δὲ σύγκοιτον γλυκὺν παῦρον ἐπὶ γλεφάροις ὕπνον ἀναλίσκοισα P. 9. 23.

συγκωμάζω] *join in a triumph song* ἔνθα συγκωμάξατ' O. 11. 16.

σῦλάω] *take from* c. (acc. &) gen. εὐπαρᾴου κρᾶτα συλάσαις Μεδοίσας υἱὸς Δανάας (Heyne: συλήσαις codd., quod def. Forssman, 157, ut a συλέω ductum) P. 12. 16. οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων μένεν ἀγῶνα (i. e. εἰς τοὺς ἄνδρας χωρήσας Σ.) O. 9. 89.

συλλαμβάνω] *take up* παρκείμενον δὲ συλλᾰβὼν τέρας sc. Bellerophon O. 13. 73.

συμβάλλω] a. *gather, recognize* συμβᾰλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας N. 11. 33. b. med., *include* Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν 'Αχαιῶν ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι I. 1. 59.

σύμβολον] *token* σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν — εὗρεν θεόθεν O. 12. 7.

συμβουλία] *advice* τὰν 'Αγαμήδει Τρεφωνίῳ θ' 'Εκαταβόλου συμβουλίαν λαβών fr. 2. 3.

συμμᾰχία] = σύμμαχοι, *allies* καὶ συμμαχία θόρυβον παραίθυξε μέγαν O. 10. 72. Σθενέλοιό μιν υἱὸς κέλευσεν μόνον ἄνευ συ[μμ]αχίας ἴμεν (supp. Lobel) fr. 169. 46.

σύμμᾰχος] *ally* (Τελαμών) τὸν χαλκοχάρμαν ἐς πόλεμον ἄγε σὺν Τιρυνθίοισιν πρόφρονα σύμμαχον ἐς Τροίαν (sc. Ἡρακλέης) I. 6. 28.

συμμείγνυμι] a. *blend, harmonize* στέφανοι πράσσοντί με — χρέος, φόρμιγγα — καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν — συμμεῖξαι (Schr.: συμμίξαι codd.) O. 3. 9. b. *associate with* c. acc. & dat., *crown with* καί νυν ἐν Πυθῶνι νιν (=πόλιν) ἀγαθέᾳ Καρνειάδα υἱὸς εὐθαλεῖ συνέμειξε τύχᾳ (Schr.: συνέμιξε codd.) P. 9. 72.

συμπάγνυμι] *piece together* ψευστὰν δὲ ποιητὸν συνέπαξε λόγον N. 5. 29.

σύμπας] *all, the whole of* χρόνῳ σύμπαντι O. 6. 56.

σύμπειρος] *familiar with* c. dat. μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν N. 7. 10.

συμπέμπω] *send with* λάμβανέ οἱ στέφανον, φέρε δ' εὔμαλλον μίτραν καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον I. 5. 63.

συμπίτνω] *fall along with* in wrestling. ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι, συμπεσεῖν δ' ἀκμᾷ βαρύς (ἀκμᾷ Pauw: αἰχμᾷ codd.: sc. Μέλισσος) I. 4. 51.

συμποσία] *banquet, drinking party* συμποσίας ἐφέπων P. 4. 294.

συμπόσιον] *drinking party, drinking companions* συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν O. 7. 5. ἡσυχία δὲ φιλεῖ μὲν συμπόσιον N. 9. 48. θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν I. 6. 1.

συμπότας] *drinking companion* ἀλίκεσσι συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν O. 1. 61. συμπόταισιν ὁμιλεῖν P. 6. 53. ἐν ξυνῷ κεν εἴη συμπόταισίν τε γλυκερὸν καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον fr. 124. 3.

συμπρέπω] *befit* βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει N. 3. 67.

σύμπρωτος] *the very first* Ὑμέναιον, ὃν ἐν γάμοισι χροιζόμενον [Μοῖρα] σύμπρωτον λάβεν (συμ προτ cod.: σύμπρωτον Bergk[3]: σὺν πρῶτον Bergk[4]) Θρ. 3. 8.

συμφορά] *misfortune* τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ ἵσταται — πομπὰ καὶ κρίσις O. 7. 77. πτώσσοντι συμφορᾷ δεδαγμένοι P. 8. 87. σ]υμφορᾶ[P. Oxy. 2442. fr. 112.

σύμφορος?] συ]μφορο[(supp. Turyn) Πα. 7C. a. 12.

[συμφυτεύω, v. σύν 2. a.]

σύμφυτος, -ον] *inbred* ἀνδρῶν δ' ἀτρετὰν σύμφυτον οὐ κατελέγχει I. 3. 14.

σύμφωνος, -ον] *harmonious* σύμφωνον ἐς ἡσυχίαν P. 1. 70.

σύν] 1. prep. c. dat. (with second only of two nouns, P. 4. 10, P. 8. 99, N. 10. 38, N. 10. 58, N. 10. 84, Πα. 6. 4: following noun c. adj., O. 2. 18, P. 4. 187, P. 8. 7, P. 8. 54; c. dependent gen., O. 13. 58.) a. *along with, accompanied by* α. of people, things ἀντιθέοισιν νίσεται σὺν — παισὶ Λήδας O. 3. 35. κεῖνος — σὺν βαρυγδούπῳ πατρὶ O. 6. 81. σὺν Διαγόρᾳ κατέβαν O. 7. 13. ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ O. 7. 19. ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι O. 7. 67. κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις O. 9. 4. ἔστα σὺν Ἀχιλλεῖ μόνος O. 9. 71. ταὶ Διωνύσου πόθεν ἐξέφανεν σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ; O. 13. 19. Πτοιοδώρῳ σὺν πατρὶ O. 13. 41. τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες O. 13. 58. κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ P. 3. 78. κωμάζοντι σὺν Ἀρκεσίλᾳ P. 4. 2. "ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ" P. 4. 39. σὺν κείνοισι P. 4. 134. ἅλιξιν — σὺν ἄλλοις P. 4. 187. σὺν Ἑλένᾳ γὰρ μόλον P. 5. 83. "ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ" P. 8. 54. Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ P. 8. 99—100. Πυθιονίκαν σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν P. 9. 2. ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ P. 11. 3. Κασσάνδραν πολιῷ χαλκῷ σὺν Ἀγαμεμνονίᾳ ψυχᾷ πόρευ' Ἀχέροντος ἀκτὰν παρ' εὔσκιον νηλὴς γυνά P. 11. 20. διδύμῳ σὺν κασιγνήτῳ μόλεν N. 1. 36.

ἐγώ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι N. 3. 78. (Ἡρακλέης) σὺν ᾧ ποτε Τροίαν — πόρθησε N. 4. 25. Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ N. 10. 53. "καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ" N. 10. 77. "θέλεις ⟨ναίειν ἐμοί⟩ σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει" N. 10. 84. Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ N. 11. 34. τὸν ἀκερσεκόμαν Φοῖβον χορεύων ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις ἀνδράσιν I. 1. 8. σὺν Ὀρσέᾳ δέ νιν κωμάξομαι I. 4. 72. σὺν Χάρισιν δ' ἔμολον I. 5. 21. ἑσπόμενοι Ἡρακλῆι πρότερον, καὶ σὺν Ἀτρείδαις I. 5. 38. ἄγε σὺν Τιρυνθίοισιν πρόφρονα σύμμαχον I. 6. 28. πέφνεν δὲ σὺν κείνῳ Μερόπων ἔθνεα I. 6. 31. πολίων δ' ἑκατὸν πεδέχειν μέρος ἕβδομον Πασιφάας ⟨σὺν⟩ υἱ[οῖ]σι (add. Housman metr. gr.: ⟨ἐξ⟩ Wil.: om. Π.) Πα. 4. 38. χρυσέα κλυτόμαντι Πυθοῖ, λίσσομαι Χαρίτεσσίν τε καὶ σὺν Ἀφροδίτᾳ — με δέξαι Πα. 6. 4. κελαινεφεῖ σὺν πατρὶ Μναμοσύνᾳ τε τοῦτον ἔσχετ[ε τεθ]μόν Πα. 6. 55. ὄφρα σὺν Χειμάρῳ μεθύων Ἀγαθωνίδᾳ βάλω κότταβον fr. 128. 2. πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ — ἦλθεν fr. 172. 4. **β.** = ἔχων. ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις σὺν ὅπλοις ἔδραμον ἀθρόοι N. 1. 51. σπεῦδεν ὅμιλος ἱκέσθαι χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν N. 9. 22. "μολόντα — βαιοῖς σὺν ἔντεσιν ποτὶ πολὺν στρατόν" Πα. 2. 74. **b.** *by the aid of* **α.** esp. of gods σὺν θεοῖς O. 8. 14. σὺν Κυπρογενεῖ O. 10. 105. σὺν δὲ κείνῳ O. 13. 87. σὺν γὰρ ὑμῖν O. 14. 5. σύν τοι τίν κεν ἀγητὴρ ἀνήρ — τράποι P. 1. 69. πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ P. 3. 9. "σὺν Δαναοῖς" P. 4. 48. κλέψεν τε Μήδειαν σὺν αὐτᾷ P. 4. 250. ἀλλὰ χρονίῳ σὺν Ἄρει πέφνεν τε ματέρα P. 11. 36. φέρε στεφανώματα σὺν ξανθαῖς Χάρισσιν N. 5. 54. σὺν δὲ τὶν καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς εὔδοξος ἀείδεται N. 7. 6. σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος N. 8. 17. εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν N. 9. 54. Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις N. 10. 38. σὺν θεοῖς I. 1. 6. σὺν θεῷ I. 4. 5. **β.** of things, *by means of, through* σὺν ἅρματι θοῷ — κλείζειν O. 1. 110. λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν O. 2. 18. Ἐρινὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος O. 2. 42. σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον O. 6. 98. σύν τινι μοιριδίῳ παλάμᾳ ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον O. 9. 26. θεοῦ σὺν παλάμᾳ O. 10. 21. εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι O. 11. 4. τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον P. 2. 56. "σὺν τιμᾷ θεῶν" P. 4. 51. σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι P. 4. 203. σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα P. 4. 221. ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον σὺν θεῶν τιμαῖς ὀφέλλειν P. 4. 260. σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα P. 4. 267. σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν P. 9. 115. τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν P. 10. 57. Ὀλυμπίᾳ τ' ἀγώνων πολυφάτων ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις P. 11. 48. ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον P. 12. 21. ἀρχαὶ δὲ (sc. τοῦ ὕμνου) βέβληνται θεῶν κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς N. 1. 9. σὺν Χαρίτων τύχᾳ N. 4. 7. Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν ἐπαύρεο N. 5. 48. σὺν θεοῦ δὲ τύχᾳ N. 6. 24. ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ, εἰ N. 7. 14. νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορίᾳ σὺν ἀοιδᾷ N. 9. 49. Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν N. 10. 43. σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει N. 10. 48. εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου I. 3. 1. εὐανθεῖ σὺν ὄλβῳ εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ I. 5. 12. τοὶ καὶ σὺν μάχαις δὶς πόλιν Τρώων ἔπραθον I. 5. 35. κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνῳ καὶ Στρεψιάδᾳ I. 7. 20. ἰατὰ δ' ἐστὶ βροτοῖς σύν γ' ἐλευθερίᾳ καὶ τά I. 8. 15. σὺν θεῶν δέ νιν αἴσᾳ — ἐκτίσσατο I. 9. 1. τοὶ σὺν πολέμῳ κτησάμενοι

χθόνα πολύδωρον Πα. 2. 59. νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι δόξαν εὑρίσκοντι fr. 227. 1. c. α. of accompanying circumstances, *along with* ἁμέραν ὁπότε — ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν O. 2. 33. θεόρτῳ σὺν ὄλβῳ ἐπί τι καὶ πῆμ' ἄγει O. 2. 36. 'Ερατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει θαλίας καὶ πόλις O. 7. 93. ἔστασεν ἑορτὰν σὺν 'Ολυμπιάδι πρώτᾳ νικαφορίαισί τε O. 10. 58. πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα σὺν πατάγῳ P. 1. 24. καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν P. 1. 38. πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ — ἔκτισσε P. 1. 61. "οὐκέτι τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι — ματρὸς βαρείᾳ σὺν πάθᾳ" P. 3. 42. νιν — σὺν εὐδοξίᾳ μετανίσεαι P. 5. 8. ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες P. 8. 66. εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ P. 8. 73. κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν παντὶ θυμῷ σύν τε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν (δικαίως Σ.) P. 9. 96. ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ δέξαι στεφάνωμα τόδ' P. 12. 4. θρῆνον — λειβόμενον δυσπενθέι σὺν καμάτῳ P. 12. 10. καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα N. 1. 64. ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται N. 5. 38. ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ N. 9. 44. ἀλλὰ σὺν δόξᾳ τέλος δωδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ (Dissen: περᾶσαι σὺν codd.) N. 11. 9. ἐπεί νιν 'Αλκαθόου τ' ἀγὼν σὺν τύχᾳ ἐν 'Επιδαύρῳ τε νεότας δέκετο πρίν I. 8. 67. Λατόος ἔνθα με παῖδες εὐμενεῖ δέξασθε νόῳ θεράποντα ὑμέτερον κελαδεννᾷ σὺν μελιγάρυι παιᾶνος ἀγακλέος ὀμφᾷ Πα. 5. 47. μανίαι τ' ἀλαλαί τ' ὀρίνεται ῥιψαύχενι σὺν κλόνῳ Δ. 2. 13. Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἀοιδᾶν δεύτερον fr. 75. 7. ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς fr. 75. 18. β. *with, at the time of* "καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον P. 4. 10. τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ P. 8. 7. ὄφρα Θέμιν ἱερὰν — κελαδήσετ' ἄκρᾳ σὺν ἑσπέρᾳ P. 11. 10. τὸν — κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ N. 2. 24. ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ N. 9. 44. χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ fr. 123. 1. γ. *with, under the influence of* σὺν δ' ἀνάγκᾳ μιν φίλον καί τις ἑὼν μεγαλάνωρ ἔσανεν P. 1. 51. σὺν δ' ἀνάγκᾳ πὰν καλόν fr. 122. 9. d. *in* of musical terms ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος N. 4. 45. e. fragg. σὺν ἀπιομ[ήδ]ει φιλ[Πα. 7. 7. παρθένῳ σὺν πομ[Πα. 7C. a. 4. σὺν παντ[Πα. 13. a. 7.]σὺν κτύπῳ[Πα. 13. a. 15. πορφυρέᾳ σὺν κρόκ[ᾳ Πα. 13. a. 19. σὺν Χαρίτ[εσσι P. Oxy. 841, fr. 112.

2. adv. a. *at the same time* εἰ γάρ τις ἀνθρώπων — πράσσει θεοδμάτους ἀρετὰς σύν τέ οἱ δαίμων φυτεύει δόξαν (tmesin vidit Boeckh) I. 6. 12. b. in tmesis σὺν — πρέπει (v. συμπρέπω) N. 3. 67.

συνάγω] *bring together* c. acc. & dat. ἐκράνθην — ἀγαυὸν καλάμῳ συνάγεν θρόον μήδεσί τε φρενὸς ὑμετέραν χάριν (συνάγειν Turyn) Πα. 9. 36.

[**συναλέγω,** *honour together* φαντὶ γὰρ σῡναλέγειν καὶ γάμον Θέτιος ἄνακτας (ξύν' ἀλέγειν coni. Hermann) I. 8. 46.]

συνάντομαι] a. abs., *meet* ἔκτεινε Λᾶον μόριμος υἱὸς συναντόμενος O. 2. 39. b. *be accompanied by* c. dat. κόρος οὐ δίκᾳ συναντόμενος O. 2. 96. ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι I. 2. 2.

συνᾱορέω] *accompany* c. dat. γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ 'Ελπίς fr. 214. 3.

συνάορος, ξυνάορος] *accompanying* c. dat. εὐλογία φόρμιγγι συνάορος N. 4. 5. μελίφρονος ἀρχὰν — σκολίου ξυνάορον ξυναῖς γυναιξίν fr. 122. 15.

συνάπτω] *press* of time ὥρα γὰρ συνάπτει P. 4. 247.

συναρμόζω] *match with* πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ (sc. Ζεύς) N. 10. 12.

σύνδετος] *bound together with, tributary of* ⟨σύνδετον⟩ (supp. Snell e Σ, σύνδετος λέγεται ὅτι ἔσχε συνάφειαν τῷ Τιταρησίῳ, ὃς ἀπόρροιαν ἀπὸ Στυγὸς ἔχει) Πα. 10. 4.

σύνδικος] a. *bearing witness for* c. dat. σύνδικος δ' αὐτῷ Ἰολάου τύμβος ἐνναλίᾳ τ' Ἐλευσὶς ἀγλαΐαισιν pr. O. 9. 98. b. *rightful* cf. ἔνδικος, Fränkel, D & P, 521[26]. χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον P. 1. 2.

σύνδρομος, -ον] *colliding* συνδρόμων κινηθμὸν ἀμαιμάκετον ἐκφυγεῖν πετρᾶν P. 4. 208.

σύνδυο] *two together* ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι P. 3. 81.

σύνειμι] *come together, collect* ἔνθα καί νυν ἐπίνομον ἡρωΐδων στρατὸν ὁμαγερέα καλεῖ συνίμεν P. 11. 8.

συνεργός] *fellow worker* Αἰακοῦ, τὸν — καλέσαντο συνεργὸν τείχεος O. 8. 32.

σύνεσις] *understanding* Θεαρίων, τὶν δὲ — τόλμαν τε καλῶν ἀρομένῳ σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν (sc. Μοῖρα: σύνεσις codd., corr. Hermann) N. 7. 60. τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν fr. 231.

συνετός] *understanding* pro subs. πολλά μοι — ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας φωνάεντα συνετοῖσιν O. 2. 85. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί P. 5. 107.]συνετοῖ[ς (supp. Snell) fr. 215. 12.

συνευνάζω] pass. *sleep together* καὶ συνεύνασθεν (sc. the Argonauts and the Lemnian women) P. 4. 254.

σύνευνος, -ον] *sleeping by one's side* ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον pr. *to be his bride* O. 1. 88.

συνεφάπτομαι] *join in laying hold* ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον (sc. ἔργου: *join with a will in the effort*) O. 10. 97.

συνεχής] n. s. pro adv., *constantly* τοῖσιν ἐν βυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει I. 4. 65.

συνέχω] *compress, hold fast* κίων δ' οὐρανία συνέχει, νιφόεσσ' Αἴτνα P. 1. 19.

σύνθεσις] *agreement* σύνθεσιν ταύταν ἐπαινήσαντες P. 4. 168. ὤνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει *my good faith* fr. 205. 3.

συνίημι] *understand* εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρθὰν ἐπίστᾳ P. 3. 80. ἀπειρομάχας ἐών κε φανείη, λόγον ὁ μὴ συνιείς (Boeckh: ξυνιείς codd.) N. 4. 31. σύνες ὅ τοι λέγω fr. 105. 1.

σύννομος] *sharing ground with, related to* c. dat. καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις (contra Schr., "πλούτου — ut ἀπὸ κοινοῦ ut ad σύννομοι et ad διέστειχον referre liceat") I. 3. 17.

συνοικιστήρ] *co-founder* εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας, βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ, συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν (sc. Ἁγησίας: ὅτι οἱ πρόγονοι αὐτοῦ σὺν Ἀρχίᾳ παρεγένοντο ἐν Συρακούσαις οἱ Ἰαμίδαι. Σ: contra Wil., 307) O. 6. 6.

συντᾰνύω] *stretch, bring together* πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ P. 1. 81.

συντείνω] (cf. τανύω O. 8. 49) *direct* Εὐρίπου τε συνέτεινε χῶρον[(sc. Ποσειδὰν ἅρμα simm.) Πα. 9. 49.

συντελέθω] *belong to, be counted as* "ἵνα οἱ χθονὸς αἶσαν αὐτίκα συντελέθειν ἔννομον δωρήσεται" i. e. *to be her lawful possession* P. 9. 57.

συντελέω] *fulfil together* τλάντων δ' (sc. τῶν Ἀβδηριτῶν) ἔπειτα θεοὶ συνετέλεσσαν Πα. 2. 65.

συντίθημι] med. a. *observe* τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος ῥῆμα P. 4. 277. b. *undertake, give an undertaking* Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων κάρυξ ἑτοῖμος ἔβαν Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος N. 4. 75. c. inf., εἰ

μισθοῖο συνέθευ παρέχειν φωνὰν ὑπάργυρον (sc. ὦ Μοῖσα) P. 11. 41.

συντυχία] a. *success* ταύταις ἐπὶ συντυχίαις P. 1. 36. b. *misfortune* νιν ἐρειδόμενον ναυαγίαις ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ I. 1. 38.

Σῠράκοσ(σ)αι] city of Sicily. συνοικιστὴρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν O. 6. 6. εἶπον δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας O. 6. 93. μεγαλοπόλιες ὦ Συράκοσαι P. 2. 1. ὃς Συρακόσσαισι νέμει βασιλεύς P. 3. 70. κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία N. 1. 2.

Σῠρᾱκόσιος] *Syracusan* Συρακόσιον ἱπποχάρμαν βασιλῆα O. 1. 23. τὸ καὶ ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ O. 6. 18. pl. pro subs., Συρακοσίων ἀρχῷ P. 1. 73.

σύριγξ] *panpipe* σύριγγες fr. 6a. a.

Σύριος] *Syrian* i. e. Cappadocian Σύριον εὐρυαίχμαν διεῖπον στρατόν (i. e. the Amazons, who lived around the river Thermodon in Pontus) fr. 173. 1.

σῦς] (cf. ὗς.) fig., *swine* ἦν ὅτε σύας Βοιώτιον ἔθνος ἔνεπον fr. 83. ὀρεικτίτου συός fr. 313.

σφάζω] *slaughter* Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας P. 11. 23.

σφάλλω] (aor. ἔσφᾱλε(ν), ἔσφᾱλ', σφᾶλε: aor. pass. σφᾰλῇ.) a. *bring to ruin* βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ P. 8. 15. καὶ κρέσσον' ἀνδρῶν χειρόνων ἔσφαλε τέχνα καταμάρψαισ' I. 4. 35. ἀλλ' ᾧτινι μὴ λιπότεκνος σφαλῇ πάμπαν οἶκος βιαίᾳ δαμεὶς ἀνάγκᾳ Παρθ. 1. 17. b. *kill* Ἀχιλλέα — ὃς Ἕκτορα σφᾶλε (Ἕκτορ' ἔσφαλε v. l.) O. 2. 81. c. frag. ἔσφ̣α̣λ̣' fr. 1a. 6.

σφε] (σφί(ν), σφῖσιν, σφίσι(ν); σφε.) 3rd. pers. pron., pl. of ἕ: perhaps reflex. fr. 163: never pl. pro s.

1. dat., a. σφι (enclitic), λιπαρὸν κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει ὤπασεν (Blepsiadai) O. 8. 83. λύρα δέ σφι βρέμεται καὶ ἀοιδά (byz.: σφισι codd.: i. e. τοῖς πρυτάνεσι) N. 11. 7. τέρας δ' ἐὸν εἶπέν σφι (the Cretans) Πα. 4. 40. b. σφιν, (before vowel, save N. 6. 50 at period end), κέκληνται δέ σφιν ἕδραι i. e. *after them* O. 7. 76. ἔγειρ' ἐπέων σφιν οἶμον λιγὺν O. 9. 47. ὠκυπόρων ἀπὸ ναῶν ὁ σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν P. 1. 74. γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν P. 5. 59. καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ P. 9. 12. σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν, ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον P. 9. 116. παροιχομένων γὰρ ἀνέρων ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν N. 6. 30. ἐπεί σφιν Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν N. 6. 46. βαρὺ δέ σφιν / νεῖκος Ἀχιλεὺς ἔμπεσε N. 6. 50. ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες I. 8. 30. ἔσχον Δᾶλον, ἐπεί σφιν Ἀπόλλων δῶκεν ὁ χρυσοκόμας Ἀστερίας δέμας οἰκεῖν Πα. 5. 40.]παντα σφιν ἔφρα[σ Πα. 8. 86.]σφιν ἐγειρον[(Π[a.c.]; σπιν Π[p.c.]) Πα. 13. a. 17. c. σφίσι(ν), εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει O. 2. 14. ἕποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἀμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν P. 10. 18. ἐν φρασὶ πάξαιθ' ὅπως σφίσι μὴ κοίρανος ὀπίσω — Μέμνων μόλοι N. 3. 62. οὐ θαῦμα σφίσιν ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν N. 10. 50. λάμπει δὲ σαφὴς ἀρετὰ ἔν τε γυμνοῖσι σταδίοις σφίσιν I. 1. 23.]σφίσιν μάλα πρᾶξον δικαίως Πα. 8. 11. ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς (v. αὐτός, 1. d.) fr. 163. d. σφισι(ν), (σφισιν before vowels) enclitic αὐτὰ δέ σφισιν ὤπασε τέχναν πᾶσαν O. 7. 50. μέλει τέ σφισι Καλλιόπα O. 10. 14. κασίγνητοί σφισιν ἀμφότεροι ἤλυθον P. 4. 124. μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν, θεόπομποί σφισιν τιμαὶ φύτευθεν P. 4. 69. εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις — διαπλέκοις (Tricl.: σφιν codd.: σύ ἵν Maas) N. 7. 98. τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος Θρ. 7. 7.

2. σφε enclitic a. = αὐτούς. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως δέκονται θυσίαι-

σιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι P. 5. 86. πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ I. 6. 74. b. = αὐτά· τό σφ' ἔχει κυπαρίσσινον μέλαθρον (the harness of the victorious chariot) P. 5. 39.

σφενδονάω] *use a sling* ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι *bold in their use of the sling* fr. 183.

σφέτερος] (-ου, -οισι; -ας, -αν: cf. σφός, ἑός.) a. *his, their own* (the reference is to the subject of the sentence, except in P. 10. 38) νιν — παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι δαμασιμβρότου αἰχμᾶς O. 9. 78. τοῖσι μὲν ἐξεύχετ' ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν O. 13. 61. σφετέρας ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος P. 4. 83. σφετέρας δ' οὐ φείσατο χερσὶν βαρυφθόγγοιο νευρᾶς Ἡρακλέης I. 6. 33. Ἀχιλεύς, οὗρος Αἰακιδᾶν, Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν I. 8. 56. ἄλλα δ' ἄλλοισιν νόμιμα, σφετέραν δ' αἰνεῖ δίκαν ἀνδρῶν ἕκαστος fr. 215. 2. b. *their own* Μοῖσα δ' οὐκ ἀποδαμεῖ τρόποις ἐπὶ σφετέροισι P. 10. 38. (Ἀλεῖοι) ἀδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ — γαῖαν ἀνὰ σφετέραν I. 2. 27.

σφόδρα] *much* c. adj. σφόδρα δόξομεν δαίων ὑπέρτεροι ἐν φάει καταβαίνειν N. 4. 37.

σφός] = σφέτερος, referring to subject of sentence μεγαλᾶν δ' ἀρετᾶν — ἀκούοντί ποι χθονίᾳ φρενί, σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν P. 5. 102.

σφῠρήλατος, -ον] *hammered* fig. σφυρηλάτοις ἀνάγκαις fr. 207.

σφῠρόν] a. *spur, foothill* ἐν Παλίου σφυροῖς P. 2. 46. b. *ankle* met. ἤ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ ἔστασας ἐπὶ σφυρῷ Λακεδαιμονίων (ἐπ' ἀσφαλοῦς Σ.) I. 7. 13.

σχάζω] *check* κώπαν σχάσον P. 10. 51. πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων ὄνυχας ὀξυτάτους ἀκμὰν καὶ δεινοτάτων σχάσαις ὀδόντων (sc. Πηλεύς: *having overcome*) N. 4. 64.

σχεδόν] *near, close* a. adv., c. prep. ὁ δ' αὐτῷ πὰρ ποδὶ σχεδὸν φάνη O. 1. 74. παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν O. 10. 52. τό σφ' ἔχει κυπαρίσσινον μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν P. 5. 40. b. prep. α. c. dat. τοὶ δ' ἔναντα στάθεν τύμβῳ σχεδὸν πατρωίῳ N. 10. 66. "ἀλλά μιν ποταμῷ σχεδὸν μολόντα φύρσει" Πα. 2. 73, cf. Παρθ. 2. 69. β. c. gen. σχεδὸν δ[ὲ Το]μάρου (edd. omnes praeter Radt, qui δ[. . .]μαρ.ου legit) Πα. 6. 109. τὶν γὰρ εὔφρων ἕψεται πρώτα θυγάτηρ ὁδοῦ δάφνας εὐπετάλου σχεδὸν βαίνοισα πεδίλοις (σχεδὸν with δάφνας edd., with πεδίλοις Wil.) Παρθ. 2. 69.

σχέθω] v. ἔχω.

σχερός] only in phrase ἐν σχερῷ, *in a line, uninterruptedly* αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον ἐν σχερῷ ἡσυχίαν — λαχόντ' (ἐν supp. Hermann, om. codd.: ἐνσχερὼ Dindorf) N. 1. 69. ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι (ἐνσχερὼ Heyne) N. 11. 39. ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι (ἐνσχερὼ Franc. Portus: *one hundred feet of uninterrupted breath*) I. 6. 22.

σχίζω] *cut open* ὁ δ' Ἀμφιαρεῖ σχίσσεν κεραυνῷ παμβίᾳ Ζεὺς τὰν βαθύστερνον χθόνα N. 9. 24. Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν when he was driven into the ground by the Centaurs Θρ. 6. 8. in tmesis, v. ἀνασχίζω P. 4. 228.

σχοινίον] *cord* met. δυσφόρων σχοινίον μεριμνᾶν (sc. τῷ Λυαίῳ θεῷ λύοντι) fr. 248.

σχοῖνος] *bed of rushes* ἀλλ' ἐν κέκρυπτο γὰρ σχοίνῳ βατιᾷ τ' ἐν ἀπειρίτῳ O. 6. 54.

σχοινοτενής] (f. — τένεια) *stretched out like a rope, long drawn out* πρὶν μὲν ἕρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων pr. Δ. 2. 1.

σχολά] *leisure* μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς (sc. ἐστί) N. 10. 46.

Σωγένης] son of Thearion, of Aigina, victor in boys' pentathlon at Nemea. παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις N. 7.

8. Εὐξένιδα πάτραθε Σώγενες N. 7. 70. πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων θυμόν N. 7. 91.

Σωκλείδας] father of Praxidamas. ἔπαυσε λάθαν Σαοκ'λείδα' (Wil.: Σωκλείδα codd.: Σωκλείδα' Mommsen: Σωκλείδᾳ Tricl.) N. 6. 21.

σῶμα] (-α nom., voc.; -άτεσσι, -ασι, -ατ(α).) *body* of men, animals, dead or alive. ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν σῶμα O. 6. 56. ῥάβδον, βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν πρὸς ἄγυιαν θνᾳσκόντων O. 9. 34. τέτρασι δ' ἔμπετες ὑψόθεν σωμάτεσσι P. 8. 82. σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν (v. l. σώματι, unde σώματι — ἀσθμαίνοντι coni. Tricl.) N. 3. 47. λευκανθέα σώμασι πίαναν καπνόν N. 9. 23. ἀθάναται δὲ βροτοῖς ἁμέραι, σῶμα δ' ἐστὶ θνατόν Παρθ. 1. 15. σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ fr. 131. 1. "πυρὶ δ' †ὑπνόωντε† σώματα" (of oxen) fr. 168. 4. dub.]σώματ' ἀποφθιμένων (legit Welcker, Ambrosch: non vidit Schwartz) Θρ. 3. 5.

σωπάω] (cf. σιωπά.) *pass over in silence* ἦ μὰν πολλάκι καὶ τὸ σεσωπᾱμένον εὐθυμίαν μείζω φέρει I. 1. 63.

σῶς, σάος] *secure* ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται σάος (Schr.: σῶς Emperius: ὅς codd.) P. 3. 106.

Σώστρᾰτος] father of Hagesias. Σωστράτου υἱός O. 6. 9. ὦ παῖ Σωστράτου O. 6. 80.

σώτειρα] f. adj., *saviour* a. of goddesses σώτειρα Διὸς ξενίου πάρεδρος ἀσκεῖται Θέμις O. 8. 21. Θέμις θυγάτηρ τέ οἱ σώτειρα — μεγαλόδοξος Εὐνομία O. 9. 15. παῖ Ζηνὸς Ἐλευθερίου — σώτειρα Τύχα O. 12. 2. b. c. dat. Μήδειαν — ναὶ σώτειραν Ἀργοῖ καὶ προπόλοις O. 13. 54.

σωτήρ] (-ήρ, -ῆρος, -ῆρι, -ήρ voc.) *saviour* a. of Zeus Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον (cf. Kambylis, Anredeformen 142) O. 5. 17. εἴη δὲ τρίτον σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα σπένδειν μελιφθόγγοις ἀοιδαῖς (v. τρίτος) I. 6. 8. σωτῆρος — Διὸς fr. 30. 5. b. of Time, c. gen. ἀνδρῶν δικαίων Χρόνος σωτὴρ ἄριστος fr. 159.

σώφρων] (σώφρων, σώφρονος, σᾱόφ'ρονος, σώφρονες.) *sagacious* σώρφων — Χίρων P. 3. 63. σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν (sc. Αἰακίδαι) I. 8. 26. σώφρονος ἄνθεσιν εὐνομίας Πα. 1. 10. ἀνορέας — ἕκατι σαόφ'ρονος Πα. 9. 46.]λος τῶνδ' ἀνδρῶν ἐνε̣[κε]ν μερίμνας σώφρονος Παρθ. 2. 62.

T

τά] Dor., = τί, *why* τά κέ τις ἀνώνυμον γῆρας — ἕψοι μάταν; (v. l. τί) O. 1. 82.

Ταίνᾰρος] a Laconian city on cape Tainaron. "εἰ γὰρ οἴκοι νιν βάλε πὰρ χθόνιον Ἀΐδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών" P. 4. 44. ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου (sc. ἦλθον) P. 4. 174.

τάκω] *melt* met. ἀλλ' ἐγὼ τᾶς (sc. Ἀφροδίτας) ἕκατι κηρὸς ὣς δαιχθεὶς ἕλᾳ ἱρᾶν μελισσᾶν τάκομαι (Boeckh: τήκομαι codd.) fr. 123. 11.

Τᾰλᾰϊονίδας] *son of Talaos* i. e. Adrastos. Ταλαιονίδας εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος O. 6. 15.

Τᾰλᾰός] father of Adrastos; son of Bias, king of Argos. ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ παῖδες N. 9. 14.

τάλας] *wretched* ὦ τάλας ἐφάμερε fr. 157.

τᾶμία] *mistress* Δίκα καὶ ὁμότροφος Εἰρήνα, τάμι' ἀνδράσι πλούτου (Mommsen: ταμίαι codd.: ταμί(αι) Ahrens) O. 13. 7, but cf. O. 14. 9, Schwyz., 1. 473[3].

τᾰμίᾱ] *mistress* [ταμίαι ἀνδράσι πλούτου (codd.: ταμί' Ahrens: τάμι' Mommsen) O. 13. 7.] ἀλλὰ πάντων ταμίαι ἔργων ἐν οὐρανῷ (αἱ Χάριτες) O. 14. 9.

τᾰμίας] (-ίας, -ίᾳ, -ίαν; -ίαι.) *overseer, guardian, master* εἰ δ' εἴη μὲν 'Ολυμπιονίκας, βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ O. 6. 5. πολλῶν ταμίας ἐσσί (sc. 'Ιέρων) P. 1. 88. ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν (sc. Βάττος) P. 5. 62. εὐρυχόρου ταμίαι Σπάρτας (οἱ Διόσκουροι) N. 10. 52. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων I. 6. 57. ταμίαι τε σοφοὶ Μοισᾶν ἀγωνίων τ' ἀέθλων (the Aiginetans) I. 9. 7.]τι ταμίας[Δ. 3. 23. met., ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία 〈πλεόνων〉 ταμίαν στεφάνων N. 6. 26.

τᾰμιεύω] pass., *be husbanded, kept in trust* Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ (sc. Αἴγιναν) O. 8. 30.

τάμνω] (τάμνων, -οισαι; -ειν: aor. τᾰμον; τᾰμών: pass. pf. τέτ'μανθ' coni.) a. *cut up* μαχαίρᾳ τάμον κατὰ μέλη (sc. σε) O. 1. 49. b. *cut, carve* γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών N. 3. 33. c. *cut, slab* ἴστε μὰν Αἴαντος ἀλκάν, φοίνιον τὰν ὀψίᾳ ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ μομφὰν ἔχει ("feriendo cruentavit," Madvig) I. 4. 36. d. *cleave* water, of ships καί κεν ἐν ναυσὶν μόλον 'Ιονίαν τάμνων θάλασσαν (Mommsen: τέμνων codd.) P. 3. 68. met., αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες (τὸ δὲ τάμνοισαι ἀπὸ μεταφορᾶς τῶν νεῶν εἴληπται· ὥσπερ γὰρ αἱ νῆες τρέχουσιν, οὕτως καὶ αἱ τῶν ἀνθρώπων ἐλπίδες ἀνὰ πολλὰ πράγματα φέρονται Σ.) O. 12. 6. e. *cut, carve* μυρίαι δ' ἔργων καλῶν τέτ'μανθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' 'Υπερβορέους (Schr.: τέτμηνθ' codd., def. Forssman, 158) I. 6. 22. f. *decide* ἐδόκησαν ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος O. 13. 57.

τάν] *sir* ὦ τάν, μή με κερτομ[fr. 215a. 4.

Τάναγρα] city of Boiotia: test., Σ. Aesch., Eum., 11 ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας (sc. φησι τὴν παραπομπὴν εἶναι τῷ 'Απόλλωνι πρὸς Δελφούς (Τεγύρας coni. Müller) fr. 286.

Τάνταλος] king of Lydia, father of Pelops. υἱὲ Ταντάλου O. 1. 36. εἰ δὲ δή τιν' ἄνδρα θνατὸν 'Ολύμπου σκοποὶ ἐτίμασαν, ἦν Τάνταλος οὗτος O. 1. 55. ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε †Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός, ἀτόλματον 'Ελλάδι μόχθον (codd.:]υπαρατις Π: τὸν Ταντάλου coni. Heimsoeth) I. 8. 10.

τᾰνῠέθειρα] f. adj., *with flowing hair* τανυέθειρα Σεμέλα O. 2. 26.

τᾰνύπτερος] *long winged* τανύπτερος — αἰετὸς P. 5. 111.

τᾰνύω] *stretch, direct* ἐπί τοι 'Ακράγαντι τανύσαις (sc. τόξον) αὐδάσομαι O. 2. 91. ἐπ' 'Ισθμῷ ποντίᾳ ἅρμα θοὸν τάνυεν O. 8. 49. met., ξείνι' ἁρμόζοντα τεύχων πᾶσαν εὐφροσύναν τάνυεν (*stretched joy to its full extent*, Gildersleeve) P. 4. 129.

ταξίομαι] *station oneself* οὐλίῳ νιν ἐν "Αρει παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι δαμασιμβρότου αἰχμᾶς O. 9. 78.

τᾰπεινός] n. pl. pro subs., *low regions* κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται N. 3. 82.

τᾰράσσω] *disturb* οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ οὐδὲ πόντιον ὕδωρ O. 2. 63. ὠκύαλον †τε πόντου† ῥιπὰν †ἐτάραξε καὶ† (ὠκύαλον Νότου ῥιπὰν ἐτάραξε coni. Wil.) Παρθ. 2. 20. met., Μοῖσα, τὸ δὲ τεόν, εἰ μισθοῖο συνέθευ παρέχειν φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλλᾳ ταρασσέμεν ἢ πατρὶ Πυθονίκῳ τό γε νῦν ἢ Θρασυδᾴῳ (sc. φωνάν: *set in motion*, Burton: cf. Schadewaldt, 284[5]; Hanssen, Aevum, 1950, 162ff.) P. 11. 42.

τᾰρᾰχά] *disturbance* αἱ τῶν φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν O. 7. 30.

ταρβέω] *be afraid of* ἐμπείρων δέ τις ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς (sc. πόλεμον) fr. 110.

Τάρτᾰρος] (ὁ, ἡ.) the underworld. ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται — Τυφὼς P. 1. 15. "χθόνα τοί ποτε καὶ στρατὸν ἀθρόον πέμψαν κεραυνῷ τριόδοντί τε ἐς τὸν βαθὺν Τάρταρον" Πα. 4. 44. Ταρτάρου πυθμένα †πτίξεις† ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις fr. 207.

τάσσω] *ordain* λέγοντι δ' — βίοτον ἄφθιτον Ἰνοῖ τετάχθαι O. 2. 30.]τεταγ'μένον τουτά[. . . . .]εκατ[—] Ἥρας ἐφετμαῖς fr. 169. 43. [τετάχθαι (G-H: τετάσθαι Lobel) Παρθ. 1. 13.]

τᾰτάομαι] *be deprived of* c. gen. "οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί" N. 10. 78.

Τᾱΰγέτα] a Laconian nymph, daughter of Atlas. χρυσόκερων ἔλαφον θήλειαν — ἅν ποτε Ταυγέτα ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱεράν O. 3. 29.

Τᾱΰγετον] (sc. ὄρος.) Mt. Taygetos in Sparta. ὄχθαις ὕπο Ταυγέτου ναίοντες — Δωριεῖς P. 1. 64. ἀπὸ Ταυγέτου πεδαυγάζων N. 10. 61. ἀπὸ Ταυγέτοιο μὲν ἐπὶ Λάκαιναν θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν fr. 106. 1.

ταῦρος] *bull* "καὶ Δαμαίῳ μιν θύων ταῦρον ἀργάεντα πατρὶ δεῖξον" O. 13. 69. τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα — Φάλαριν P. 1. 95. φοίνισσα δὲ Θρηικίων ἀγέλα ταύρων ὕπᾰρχεν (sc. for sacrifice to Poseidon) P. 4. 205.]α ταύρων ει[Πα. 7. 14.

ταυροφόνος, -ον] *bull sacrificing* ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδι (at the Isthmian games) N. 6. 40.

τᾰφεῖν] defect. aor., *was amazed* τάφε δ' αὐτίκα παπτάναις P. 4. 95.

τάφος] *tomb* of Achilles. ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρθένοι στάν I. 8. 57. ἐπεὶ δ' ἄλκιμον νέκυν ἐν τά[φῳ] πολυστόνῳ θέντο Πηλείδαν Πα. 6. 99.

τάχα] *quickly* τάχα δὲ παθὼν P. 2. 29. τάχα δ' εὐθὺς ἰὼν P. 4. 83. τάχα δὲ — ἦλθον P. 4. 171. καὶ τάχα — δείκνυεν P. 4. 220.

τάχος] *speed* δελφῖνι καὶ τάχος δι' ἅλμας ἰσόν κ' εἴποιμι Μελησίαν N. 6. 64. ζεῦξον ἤδη μοι σθένος ἡμιόνων ᾇ τάχος O. 6. 23. "ὡς τάχος ὀτρύνει με" P. 4. 164. ἐν τάχει *with all speed* N. 5. 35.

τᾰχύποτμος] *short lived* μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος O. 1. 66.

τᾰχύπους] *swift footed* ἱστάμεναι χορὸν [ταχύ]ποδα παρθένοι Πα. 2. 100.

τᾰχύς] (-ύς, -έες; -είας, -ειᾶν: ταχυτάτων: adv. ταχύ, τάχιστα.) *quick* ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας P. 1. 83. ταχέες — ἔβαν P. 4. 179. εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος P. 4. 202. ταχύ[ς (supp. Snell) Πα. 8A. 7. γνώμας δὲ ταχείας συν[Πα. 14. 39. superl., ἐπὶ ταχυτάτων — ἁρμάτων O. 1. 77. adv., εἰ δὲ μὴ ταχὺ λίποι O. 1. 108. ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ πρῴραθε P. 10. 51. ταχὺ δὲ Καδμείων ἀγοὶ — ἔδραμον N. 1. 51. ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι κελήσατό μιν O. 13. 79. παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς fr. 234. 2. frag.]ως ὁ ταχι[στ (supp. Snell) ?fr. 337. 6. adv., ταχέως, κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος O. 5. 13. ταχέως δ' Ἄδματος ἷκεν P. 4. 126. ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν N. 10. 73. ταχέως δ' ἀράβη[σε] διαλεύκων ὀστέ[ων] δοῦπος ἐ[ρ]εικομένων fr. 169. 23.

τᾰχῠτάς] *speed* in foot racing. ἵνα ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος θρασύπονοι O. 1. 95. "οὗτος ἐγὼ ταχυτᾶτι" O. 4. 24. ὅντιν' ἀθρόοι στέφανοι χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν ἢ ταχυτᾶτι ποδῶν I. 5. 10.

τε] A. 1. connective, a. joining words and phrases. ἐς ἔρανον φίλαν τε Σίπυλον O. 1. 38. νέκταρ ἀμβροσίαν τε O. 1. 62. βίαν παρθένου τε O. 1. 88. ταχυτὰς ποδῶν — ἀκμαί τ' ἰσχύος O. 1. 96. ἔρεισμ' Ἀκράγαντος εὐωνύμων τε πατέρων ἄωτον O. 2. 7. Πυθῶνι — Ἰσθμοί τε O. 2. 50. Κύκνον — Ἀοῦς τε παῖδ' Αἰθίοπα O. 2. 83. ἄνδρα μᾶλλον εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα O. 2. 94. τὸ λαλαγῆσαι θέλων κρυφόν τε θέμεν (τιθέμεν coni. Hermann) O. 2. 97. ὑπὸ βουθυσίαις ἀέθ-

λων τε πεμπαμέροις ἁμίλλαις Ο. 5. 6. πόνος δαπάνα τε Ο. 5. 15. ζώναν καταθηκαμένα κάλπιδά τ' Ο. 6. 40. ἀγῶνας ἔχει μοῖράν τ' ἀέθλων Ο. 6. 79. λύραι μολπαί τε Ο. 6. 97. τῶνδε κείνων τε Ο. 6. 102. 'Ολυμπίᾳ Πυθοῖ τε νικώντεσσιν Ο. 7. 10. παῖδ' 'Αφροδίτας 'Αελίοιό τε νύμφαν Ο. 7. 14. πελώριον ἄνδρα — πατέρα τε Ο. 7. 17. ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα Ο. 7. 52. τεθμὸν 'Ολυμπιονίκαν ἄνδρα τε Ο. 7. 89. παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδάν Ο. 8. 31. Θέμις θυγάτηρ τε Ο. 9. 15. πόλεμον μάχαν τε πᾶσαν Ο. 9. 40. Πύρρα Δευκαλίων τε Ο. 9. 43. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν Ο. 9. 66. υἱὸν δ' "Ακτορος — Αἰγίνας τε Μενοίτιον Ο. 9. 70. προξενίᾳ δ' ἀρετᾷ τ' Ο. 9. 83. ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις Ο. 9. 94. 'Ιολάου τύμβος ἐνναλίᾳ τ' 'Ελευσίς Ο. 9. 98. ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου Ο. 10. 37. σὺν 'Ολυμπιάδι πρώτᾳ νικαφορίαισί τε Ο. 10. 59. ἐκ Πυθῶνος 'Ισθμοῖ τ' Ο. 12. 18. Εὐνομία — κασιγνήτα τε Ο. 13. 6. σταδίου τιμὰν διαύλου θ' Ο. 13. 37. Μοίσαις — 'Ολιγαιθίδαισίν τ' Ο. 13. 97. Δὶ — 'Ενυαλίῳ τ' Ο. 13. 106. στεφάνοισι — ἵπποις τε Ρ. 1. 37. ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν Ρ. 1. 40. ἁγητὴρ ἀνήρ, υἱῷ τ' ἐπιτελλόμενος (cf. A. 4. a infra) Ρ. 1. 70. ἀνδρῶν ἵππων τε Ρ. 2. 2. παρθένος — ὁ τ' ἐναγώνιος 'Ερμᾶς Ρ. 2. 10. ξεινίαν κοίταν ἄθεμίν τε δόλον Ρ. 3. 32. Λατοΐδαισιν — Πυθῶνί τ' Ρ. 4. 3. 'Απόλλων ἅ τε Πυθὼ Ρ. 4. 66. νύκτεσσιν ἔν θ' ἁμέραις Ρ. 4. 130. "ἐκ πόντου σαώθη ἔκ τε ματρυιᾶς ἀθέων βελέων" Ρ. 4. 162. Ζήταν Κάλαΐν τ' Ρ. 4. 182. δήσαις — ἐμβάλλων τ' Ρ. 4. 235. πάχει μάκει τε Ρ. 4. 245. ἀπὸ γᾶς ἀπό τε κτεάνων Ρ. 4. 290. 'Ηρακλέος ἐκγόνους Αἰγιμιοῦ τε Ρ. 5. 72. [θ' (codd.: om. byz.) Ρ. 5. 100.] σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν ἔνδικόν τ' 'Αρκεσίλᾳ (bis) Ρ. 5. 102. νόον φέρβεται γλῶσσάν τε Ρ. 5. 111. ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς Ρ. 5. 119. πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ — νίκαν Ρ. 6. 15. στεροπᾶν κεραυνῶν τε Ρ. 6. 24. [τίνα πάτραν, τίνα τ' οἶκον (τ' del. Boeckh) Ρ. 7. 6. κεραυνῷ τόξοισί τ' 'Απόλλωνος Ρ. 8. 18. ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ Ρ. 8. 20. "κύμασιν ῥιπαῖς τ' ἀνέμων" Ρ. 9. 48. καλλίσταν πόλιν ἀμφέπει κλεινάν τ' ἀέθλοις Ρ. 9. 70. παντὶ θυμῷ σύν τε δίκᾳ Ρ. 9. 96. τέλος ἀρχά τε Ρ. 10. 10. θαλίαις — εὐφαμίαις τε Ρ. 10. 35. ἐν καὶ παλαιτέροις νέαισίν τε παρθένοισι μέλημα Ρ. 10. 59. ἑπταπύλοισι Θήβαις χάριν ἀγῶνί τε Κίρρας Ρ. 11. 12. τὸ δὲ νέαις ἀλόχοις ἔχθιστον ἀμπλάκιον καλύψαι τ' ἀμάχανον Ρ. 11. 26. ἄκρον ἑλὼν ἡσυχᾷ τε νεμόμενος Ρ. 11. 55. ἀθανάτων ἀνδρῶν τε Ρ. 12. 4. δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ αὐτόν τέ νιν Ρ. 12. 6. Σερίφῳ λαοῖσί τε Ρ. 12. 12. ἅρμα Νεμέᾳ τ' Ν. 1. 7. θάμβει δυσφόρῳ τερπνῷ τε Ν. 1. 56. στεφάνων ἀρετᾶν τε Ν. 3. 8. ἐὼν καλὸς ἔρδων τ' ἐοικότα Ν. 3. 19. Αἰακῷ — γένει τε Ν. 3. 28. κυνῶν δολίων θ' ἑρκέων Ν. 3. 51. τετραορίας — ἡροάς τ' Ν. 4. 29. τεθμὸς ὧραί τ' Ν. 4. 34. οὐρανοῦ βασιλῆες πόντου τ' Ν. 4. 67. ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ Ν. 5. 2. Αἰακίδας ἐγέραιρεν ματρόπολίν τε Ν. 5. 8. Θέτιν Πηλέα θ' Ν. 5. 26. ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος Ν. 5. 44. ἀφνεὸς πενιχρός τε Ν. 7. 19. ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ σεμνὸν ἔπεστί τι (supp. Hermann: τε om. codd.) Ν. 7. 22. τεῶν Διός τ' ἐκγόνων Ν. 7. 50. ξεῖνον ἀδελφεόν τ' Ν. 7. 86. ἥβᾳ λιπαρῷ τε γήραι Ν. 7. 99. τρὶς τετράκι τ' Ν. 7. 104. Διὸς Αἰγίνας τε Ν. 8. 6. πάτρᾳ Χαριάδαις τ' (Sandys: τε codd.) Ν. 8. 46. τὰν 'Αδράστου τάν τε Καδμείων ἔριν Ν. 8. 51. πατρίων οἴκων ἀπό τ' "Αργεος Ν. 9. 14. ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν Ν. 9. 22. σὺν νεότατι γένωνται σύν τε δίκᾳ Ν. 9. 44. Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν Ν. 10. 1. Ζεὺς ἐπ' 'Αλκμήναν Δανάαν τε μολὼν Ν. 10. 11. πατρὶ δ' 'Αδράστοιο Λυγκεῖ τε Ν. 10. 12. ποτὶ βουθυσίαν "Ηρας ἀέθλων τε κρίσιν Ν. 10. 23. Θρασύκλου 'Αντία τε Ν. 10. 40. ποδῶν χειρῶν τε (Er. Schmid: ποδῶν τε χειρῶν

(τε) codd.) N. 10. 48. θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ N. 10. 58. Ἀρισταγόραν πάτραν τ' N. 11. 20. κωμάσαις ἀνδησάμενός τε N. 11. 28. αἶσαν Ἐρχομενοῖό τε πατρῴαν ἄρουραν I. 1. 35. καὶ τόθι κλειναῖς τ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρώς (τ' supp. Bergk, om. codd.: καὶ τόθι. κλειναῖς δ' coni. Heyne) I. 2. 19. φθιμένων ζωῶν τε φωτῶν I. 4. 10. κἀν γουνοῖς Ἀθανᾶν — ἔν τ' Ἀδραστείοις ἀέθλοις I. 4. 26. ἁλὸς ἐξευρὼν θέναρ, ναυτιλίαισί τε πορθμὸν ἡμερώσαις (? c. τε v. 55) I. 4. 57. διπλόαν νίκαν ἀνεφάνατο παίδων τε τρίταν (τε supp. Hermann, om. codd.) I. 4. 71. Κάστορος δ' αἰχμὰ Πολυδεύκεός τ' I. 5. 33. Αἰακοῦ παιδῶν τε I. 5. 35. Ἰσθμοῦ δεσπότᾳ Νηρείδεσσί τε πεντήκοντα I. 6. 6. Ἀίδαν γῆράς τε I. 6. 15. Κλωθὼ κασιγνήτας τε I. 6. 17. αἰνέων δὲ καὶ Ἕκτορα Ἀμφιάρηόν τε I. 7. 33. Κλεάνδρῳ τις ἁλικίᾳ τε I. 8. 1. υἱέες υἱέων τ' ἀρηίφιλοι παῖδες I. 8. 25. Ζεὺς — ἀγλαός τ' ἔρισαν Ποσειδὰν I. 8. 27. Αἴγιναν σφετέραν τε ῥίζαν I. 8. 56. οἷοι δ' ἀρετὰν δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ Μοισᾶν ἀγωνίων τ' ἀέθλων (bis) I. 9. 7—8. Ἀγαμήδει Τρεφωνίῳ θ' fr. 2. 2. Ἐνιαυτὸς Ὧραί τε Πα. 1. 6. Θρονίας Ἄβδηρε χαλκοθώραξ [Ποσ]ειδᾶνός τε παῖ Πα. 2. 2. Ἀπόλλωνα πάρ τ' Ἀφρο[δίταν Πα. 2. 5. "πόλεμον Διὸς Ἐννοσίδαν τε" Πα. 4. 41. "κεραυνῷ τριόδοντί τε" Πα. 4. 43. "πλούτου πειρῶν μακάρων τ' ἐπιχώριον τεθμὸν — ἀπωσάμενος" Πα. 4. 46. ἔταις τεοῖσιν ἐμαῖς τε τιμαῖς Πα. 6. 11. σὺν πατρὶ Μναμοσύνᾳ τε Πα. 6. 56. τεκέων ἀλόχων τε Πα. 8. 78. καλάμῳ — μήδεσί τε φρενὸς Πα. 9. 37. κρόταλ' αἰθομένα τε δαὶς Δ. 2. 10. στεφάνων τᾶν τ' ἐαριδρόπων ἀοιδᾶν fr. 75. 6. πάνδοξον Αἰολάδα σταθμὸν υἱοῦ τε Παγώνδα Παρθ. 2. 10. Ἀγασικλέει — ἐσλοῖς τε γονεῦσιν Παρθ. 2. 40. ἔν τε Πίσᾳ Παρθ. 2. 49. πέλλαι — πίθοι ⟨τε⟩ (supp. Schwartz: τε om. codd. Plutarchi) *fr. 104b. 5.* ἵπποις γυμνασίοισι ⟨τε⟩ (supp. Boeckh, om. codd. Plutarchi) Θρ. 7. 6. τερπνῶν — χαλεπῶν τε fr. 131b. 4. σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες fr. 133. 4. ἄνακτι — πατρί τε fr. 140a. 64 (38). πόντου ὠκείας τ' — ῥιπάς fr. 140c. 2. μένω[ν — Ἀμ]φιτρύωνί τε σᾶμα χέω[ν (τε in lacuna add. Snell) fr. 169. 48. ἀγλαὰ χθὼν πόντου τε ῥιπαὶ fr. 220. 3. θεὸν ἄνδρα τε fr. 224. κάπρων λεόντων τε fr. 238. where τε joins words in apposition, ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος — πύργος ἄστεος ὄμμα τε φαεννότατον P. 5. 56. πρόσθα μὲν ἴς Ἀχελωίου τὸν ἀοιδότατον Εὐρωπία κράνα Μέλανός τε ῥοαὶ τρέφον κάλαμον (τε ποταμου ροαι Π: ποταμοῦ del. Wil.) fr. 70. 2. διδύμας χάριτας εἰ κατέβαν ὑγίειαν ἄγων — κῶμόν τ' P. 3. 73. where the coordination is irregular, cf. A. 4 infra, Οὐλυμπιονίκαν δέξαι Χαρίτων θ' ἕκατι τόνδε κῶμον O. 4. 9. Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ O. 13. 98. ὁ Φοίνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς P. 1. 72. ξεστὸν ὅταν δίφρον ἐν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ σθένος ἵππιον P. 2. 11. παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς P. 12. 9. παρθενηίοις παίδων τ' ἐφίζοισα γλεφάροις N. 8. 2. Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα I. 1. 65. ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον αἰῶνα I. 7. 41. καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν fr. 42. 3. θεόν, τὸν Βρόμιον, τὸν Ἐριβόαν τε βροτοὶ καλέομεν (τε om. codd. nonnulli) fr. 75. 10. b. joining clauses χρυσέαισί τ' ἄν' ἵπποις (Er. Schmid: κάν', ἀν' codd.) O. 1. 41. ὃς Ἕκτορα σφᾶλε — Κύκνον τε θανάτῳ πόρεν O. 2. 82. κολλᾷ τε O. 5. 13. αἰτήσων πόλιν — δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, — φέρειν γῆρας O. 5. 21. ὃς — ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλφεὸν οἰκεῖν O. 6. 34. (Ἑρμᾶν) ὃς — ἔχει — Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ O. 6. 80. ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται — ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται P. 1. 15. ὃς Πριάμοιο πόλιν πέρσεν τελεύτασέν τε πόνους Δαναοῖς P. 1. 54. ἤθελον Χίρωνά κε — ζώειν — βάσσαισί τ' ἄρχειν P. 3. 4. "κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι — δέρμα τε — ἄγειν" P. 4. 161, cf. P. 4. 294. ὅτι μοι — ὑπάν-

τασεν — μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις P. 8. 60. εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι, ὑπὲρ πολλῶν τε τιμαλφεῖν N. 9. 54. εἰ δέ τις — μορφᾷ παραμεύσεται ἄλλους, ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν N. 11. 14. εἰ γάρ τις — πράσσει θεοδμάτους ἀρετὰν σύν τέ οἱ δαίμων φυτεύει δόξαν I. 6. 12. οὕνεκα δίδυμαι γένοντο θύγατρες — Ζηνί τε ἅδον (Er. Schmid: θ' ἅδον cod.) 1. 8. 18. with irregular coordination, ὕμνον κελάδησε — ὅρμον στεφάνων πέμψαντα — Θήβαις τ' ἐν ἑπταπύλοις οὕνεκ' Ἀμφιτρύωνος κτὲ N. 4. 19, cf. N. 5. 26, A. 4 infra. c. joining sentences [τέκε τε (byz.: ἃ τέκε codd.: ἔτεκε Boehmer) O. 1. 89.] Σικελίας τ' O. 2. 9. Ἀχιλλέα τ' O. 2. 79. μετάλλασσέν τε O. 6. 62. O. 8. 19. εὐφράνθη τε O. 9. 62. Ἄργει τ' ἔσχεθε O. 9. 88. ὀπᾷ τε O. 10. 11. μέλει τε O. 10. 14. δέξαι τε (δὲ v. l.) O. 13. 29. Νέμεά τ' O. 13. 34. ὅσσα τε O. 13. 43. εὗρεν δεῖξέν τε O. 13. 75. ἀλαθής τε O. 13. 98. τά τ' ἐσσόμενα O. 13. 103. κλέπτει τε P. 3. 29. ἕδνα τε P. 3. 94. κυλινδέσκοντό τε P. 4. 209. λιτάς τ' P. 4. 217. καταίνησάν τε P. 4. 222. ἔν τ' Ὠκεανοῦ P. 4. 251. Παιάν τέ σοι τιμᾷ φάος P. 4. 270. εὐθύτονόν τε P. 5. 90. τίν τ', Ἐλέλιχθον P. 6. 50. ἅρπασ', ἔνεικέ τε P. 9. 6. "στάξοισι θήσονταί τε" P. 9. 63. ὁδοί τε P. 9. 68. ἄφωνοί θ' P. 9. 98. στρατῷ τ' P. 10. 8. χαίρει γελᾷ θ' P. 10. 36. δάφνᾳ τε P. 10. 40. ἔπεφνέ τε P. 10. 46. ἀδελφεοῖσί τ' P. 10. 69. μάντιν τ' ὄλεσσε (perhaps with μέν v. 31) P. 11. 33. κατένευσέν τε N. 1. 14. ἰδίᾳ τ' N. 3. 24. κάπρους τ' N. 3. 47. γόνον τέ οἱ — φέρτατον ἀτίταλλεν N. 3. 57. πίτναν τ' N. 5. 11. φράσθη κατένευσέν τε N. 5. 34. τόλμαν τε N. 7. 59. ἔν τε δαμόταις N. 7. 65. πατρί τ' (codd.: δ' Heyne e Σ.) N. 10. 12. εἶδ' Ἀπόλλων μιν πόρε τ' I. 2. 18. ἀδυπνόῳ τε I. 2. 25. πέλονται ἔν τ' ἀγωνίοις I. 5. 7. ὔμμε τ' I. 6. 19. εἶπέν τε I. 6. 51. τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον I. 6. 65. υἱοῖσί τε I. 6. 68. φέρει γὰρ — ἄγει τ' I. 7. 22. μάτρωί τ' I. 7. 24. ἔσσονταί τε I. 8. 61. ἀμφί τε Πα. 2. 97. ἐρικυδέα τ' Πα. 5. 39. ἔκλαγξέ θ' (G—H: τε Π.) Πα. 8A. 10. Εὐρίπου τε Πα. 9. 49. ἀλκάεσσά τε Δ. 2. 17. δεῦτ' ἐν χορόν, Ὀλύμπιοι, ἐπί τε κλυτὰν πέμπετε χάριν fr. 75. 2. Διόθεν τε fr. 75. 7. ἐναργέα τ' fr. 75. 13. τελευταί τε fr. 108a. 4.

2. in enumeration, a. AB τε C τε (D τε) ἕδος — νέμων, ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ O. 2. 13. ὧν εἷς μὲν Κάμιρον πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ' O. 7. 74. ὅ τ' ἐν Ἄργει — τά τ' ἐν Ἀρκαδίᾳ — ἀγῶνές τ' — Πέλλανά τ'· Αἰγίνᾳ τε — ἐν Μεγάροισίν τ' O. 7. 83—6. ἐπ' Ἀλφεοῦ ῥεέθροισιν — Πυθοῖ τ' — μηνός τε O. 13. 38. ὦ πότνι' Ἀγλαΐα φιλησίμολπέ τ' Εὐφροσύνα — Θαλία τ' O. 14. 14—5. Ζηνός — Ἀλκμήνας θ' ἑλικογλεφάρου Λήδας τε P. 4. 172. ὤρεγον χεῖρας, στεφάνοισί τέ μιν ποίας ἔρεπτον, μειλιχίοις τε λόγοις ἀγαπάζοντ' P. 4. 240. ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ Λαμνιᾶν τ' ἔθνει γυναικῶν P. 4. 251—2. ἐπ' Ἀπόλλωνός τε κράνᾳ — ἔν τε σοφοῖς P. 4. 294—5. νέμει, πόρεν τε κίθαριν, δίδωσί τε — μυχόν τ' ἀμφέπει P. 5. 65. ἔν τε — πέφανταί θ' — ὅσαι τ' — θεός τε P. 5. 114—7. Μεγάροις δ' ἔχεις γέρας μυχῷ τ' ἐν Μαραθῶνος, Ἥρας τ' ἀγῶν' — δάμασσας ἔργῳ P. 8. 78—80. παντᾷ δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται P. 10. 39. λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν τό τ' ἀναγκαῖον λέχος P. 12. 14. παρὰ Κασταλίαν τε — πόντου τε γέφυρ' — βοτάνα τε N. 6. 37—42. παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις N. 9. 34. ἐκράτησε δὲ καὶ ποθ' Ἕλλανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, Μοίσαισί τ' ἔδωκ' ἀρόσαι N. 10. 25—6. "θέλεις ⟨ναίειν ἐμοὶ⟩ σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει" N. 10. 84. Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ Ὀγχηστίαισίν τ' ἀιόνεσσιν I. 1. 32. ναίει τετίματαί τε — Ἥβαν τ' ὀπυίει I. 4. 59. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε

κώμων Εὐθυμένει τε I. 6. 58. αἵμασσε — γεφύρωσέ τ' — 'Ελέναν τ' ἐλύσατο I. 8. 51. στοναχαὶ μανίαι τ' ἀλαλαί τ' Δ. 2. 13. τότε βάλλεται — ἴων φόβαι, ῥόδα τε κόμαισι μείγνυνται, ἀχεῖ τ' ὀμφαὶ — οἰχνεῖ τε — χοροί fr. 75. 16—9 in apposition, βωμοὺς — ἐγέραρεν — ἁμίλλαις, ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε O. 5. 6—7. b. AB τε καὶ C (καὶ D) ἀμφέπει Δάματρα λευκίππου τε θυγατρὸς ἑορτὰν καὶ Ζηνὸς Αἰτναίου κράτος O. 6. 96. χείρεσσι ποσίν τε καὶ ἅρματι O. 10. 62. ἐν τᾷ γὰρ Εὐνομία ναίει κασιγνήτα τε — Δίκα καὶ ὁμότροφος Εἰρήνα (v. l. κασίγνηται) O. 13. 6—7. "τότε γὰρ μεγάλας ἐξανίστανται Λακεδαίμονος 'Αργείου τε κόλπου καὶ Μυκηνᾶν" P. 4. 49. Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ P. 5. 70. 'Εμμενίδαις ποταμίᾳ τ' 'Ακράγαντι καὶ μὰν Ξενοκράτει P. 6. 6. ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν γᾶς ὀμφαλὸν κελαδήσετ' P. 11. 9. Νεμέας 'Επιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων N. 3. 84. πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων ὄνυχας ὀξυτάτους ἀκμὰν καὶ δεινοτάτων σχάσαις ὀδόντων (καὶ Ahlwardt: τε codd.) N. 4. 62—4. Μοῖσά τοι κολλᾷ χρυσόν, ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας N. 7. 78. σέθεν, 'Αμφιτρύων, παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν καὶ τὸ Δάματρος κλυτὸν ἄλσος 'Ελευσῖνα καὶ Εὔβοιαν I. 1. 56. c. AB τε C τε καὶ D ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεὸν ποταμόν τε Ὤανον ἐγχωρίαν τε λίμναν καὶ σεμνοὺς ὀχετοὺς O. 5. 11—12. τῶν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δὶς κλεινᾷ τ' ἐν 'Ισθμῷ τετράκις εὐτυχέων Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ καὶ κρανααῖς ἐν 'Αθάναις O. 7. 81—3. d. miscellaneous τε, καὶ connections Ἄργει θ' (δ' v. l.) ὅσσα — ὅσα τ' — Πέλλανά τε καὶ Σικύων καὶ Μέγαρ' Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος, ἅ τ' 'Ελευσὶς καὶ λιπαρὰ Μαραθών, ταί θ' — ἅ τ' Εὔβοια O. 13. 107—112. Ζῆνα καὶ — ῥιπὰς ἀνέμους τ' ἐκάλει νύκτας τε καὶ πόντου κελεύθους ἄματά τ' εὔφρονα καὶ — μοῖραν P. 4. 194—6. e. μέν — τε, v. μέν. f. A καὶ BC τε, v. καί.

3. in anaphora [ἤρειδε Ποσειδάν, ἤρειδέν τέ μιν (δέ coni. Hermann) O. 9. 32.] ἐκ πόντου — ἔκ τε ματρυιᾶς ἀθέων βελέων P. 4. 162. ἀπὸ γᾶς ἀπό τε κτεάνων P. 4. 290. κὰν γουνοῖς 'Αθανᾶν — ἔν τ' 'Αδραστείοις ἀέθλοις I. 4. 26. ὑπὲρ χθονὸς ὑπέρ τ' ὠκεανοῦ Πα. 8. 15. χάλκεοι μὲν τοῖχοι, χάλκ[εαί] θ' ὑπὸ κίονες ἕστασαν Πα. 8. 68, cf. O. 9. 94, [N. 1. 37.]

4. a. where τε is irregularly connective, almost καὶ ταῦτα. (for irregularly positioned τε, v. A. 1. a, b, sub fin.; μέν — τε; B. b.; D: cf. Schr., Pyth. Comm., on P. 1. 75.) πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα, πάτρῳ τ' ἐπερχόμενος ἀγλαίαν ἅπασαν (Bergk: ἔδειξεν ἅπασαν codd.) P. 6. 46. ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν N. 8. 19. cf. P. 1. 70. ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν, ἔργα τε πολλὰ μενοινῶντες N. 11. 45. b. where τε is inclusive rather than connective τὶν δ' ἐν 'Ισθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν Πυθέᾳ τε, παγκρατίου (ἀμφοτέροις ὑμῖν, σοί τε καὶ τῷ Πυθέᾳ Σ: v. W. Schulze, Q. E., 416; Kl. Schr., 325) I. 5. 19. c. in hendiadys ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ P. 4. 94. d. *and, in particular* 'Εμμενίδαις Θήρωνί τ' O. 3. 39. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν Πηλέα θ', ὥς τέ νιν ἁβρὰ Κρηθεὶς 'Ιππολύτα δόλῳ πεδᾶσαι ἤθελε N. 5. 26. [e. dub. ἀρχαῖον ὀτρύνων λόγον, ὥς, ἐπεὶ — μόλεν, ὥς τ' οὐ λαθὼν χρυσόθρονον Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα (τ' del. Hermann, edd. plerique) N. 1. 37.]

B. τε — τε combined, where the first τε is not connective. a. joining words, phrases, sentences δίφρον τε χρύσεον πτέροισίν τ' ἀκάμαντας ἵππους O. 1. 87. εἴη σέ τε — πατεῖν, ἐμέ τε — ὁμιλεῖν O. 1. 115. ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν O. 2. 47. Τυνδαρίδαις τε χρύσεον ἀδεῖν καλλιπλοκάμῳ θ' 'Ελένᾳ O. 3. 1.

αἴτει — σκιαρόν τε φύτευμα — στέφανόν τ' ἀρετᾶν O. 3. 18. ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα O. 5. 3. Ζεῦ, Κρόνιόν τε ναίων λόφον τιμῶν τ' Ἀλφεὸν O. 5. 18. ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκχον ἵκωμαί τε O. 6. 23. ἑορτάν τε — τεθμόν τε O. 6. 69. [O. 7. 5, v. B. b. infra] πατρί τε — κόρᾳ τ' ἐγχειβρόμῳ O. 7. 43. Δία τε φοινικοστερόπαν σεμνόν τ' — ἀκρωτήριον Ἄλιδος O. 9. 6. σόν τε, Κασταλία, πάρα Ἀλφεοῦ τε ῥέεθρον O. 9. 17. ἐκ τ' Ἄργεος ἐκ τε Θηβᾶν O. 9. 68. ἔλσαις ὅλον τε στρατὸν λᾴαν τε πᾶσαν O. 10. 43. ἀδυεπής τε λύρα γλυκύς τ' αὐλὸς O. 10. 93. ἰδέᾳ τε καλὸν ὥρᾳ τε κεκραμένον O. 10. 103. Τερψίᾳ θ' — Ἐριτίμῳ τ' (θ' om. codd. nonnulli.) O. 13. 42. μῆτίν τε γαρύων — πόλεμόν τ' O. 13. 50. ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' P. 1. 18. "ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν" P. 4. 18. ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος εὐρυβίᾳ P. 9. 13. ἀκόντεσσίν τε χαλκέοις φασγάνῳ τε P. 9. 20. Αἰγίνᾳ τε γάρ, φαμί, Νίσου τ' ἐν λόφῳ P. 9. 90. πέφνεν τε ματέρα θῆκέ τ' Αἴγισθον ἐν φοναῖς P. 11. 37. τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι Ὀλυμπίᾳ τ' ἀγώνων πολυφάτων ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις, Πυθοῖ τε — ἤλεγξαν Ἑλλανίδα στρατιὰν ὠκύτατι (codd.: τ' del. Pauw: Ὀλυμπίαθ' Maas) P. 11. 47—9. ἤτοι τό τε θεσπέσιον Φόρκοι' ἀμαύρωσεν γένος λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε P. 12. 13—4. ἐγὼ δὲ κείνων τέ μιν ὀάροις λύρᾳ τε κοινάσομαι N. 3. 11. οἶκοι τ' ἐκράτει Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ N. 5. 45—6. πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' N. 8. 13. ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν τ' ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις I. 1. 23. τοὶ μὲν ὦν — λέγονται πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοί ὕβριος I. 4. 8. ἱπποτρόφοι τ' ἐγένοντο, χαλκέῳ τ' Ἄρει ἅδον I. 4. 14—5. ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς I. 5. 27. φέρει γὰρ Ἰσθμοῖ νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορφάεις I. 7. 22. σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν I. 8. 26. κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερὶ τριόδοντός τ' I. 8. 35. Ἀλκαθόου τ' ἀγὼν σὺν τύχᾳ ἐν Ἐπιδαύρῳ τε νεότας I. 8. 67. Οὐρανοῦ τ' εὐπέπλῳ θυγατρὶ Μναμοσύνᾳ κόραισί τ' Πα. 7B. 15. θεοί· πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν — οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν fr. 75. 3. ζωσαμένα τε πέπλον ὠκέως χερσίν τ' ἐν μαλακαῖσιν ὅρπακ' ἀγλαὸν δάφνας ὀχέοισα Παρθ. 2. 6.

b. with irregular coordination ἔννεπε κρυφᾷ τις — ὕδατος ὅτι τε πυρὶ ζέοισαν εἰς ἀκμὰν μαχαίρᾳ τάμον κατὰ μέλη, τραπέζαισί τ' — διεδάσαντο (τε = σε, Christ, Wackernagel) O. 1. 48. τᾷ μὲν ὁ Χρυσοκόμας πραΰμητίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας (παρέστασ' ἐν coni. Peek, Phil., 1958, 319) O. 6. 42. συμποσίου τε χάριν κᾶδός τε τιμάσαις O. 7. 5. ἔχω καλά τε φράσαι, τόλμα τε — ὀρνύει λέγειν O. 13. 11. ἀμφί τε Λατοΐδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν P. 1. 12. τὶν δ' ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα N. 7. 95. "υἱὸν — χεῖρας Ἀρεΐ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν" (Ἄρει χεῖρας ἐναλ. codd., transp. Hermann, τ' add. Boeckh) I. 8. 37. ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' I. 8. 57. ὁ δ' ἀντίον ἀνὰ κάρα τ' ἄειρ[ε] — ἔρριψεν ἑάν τ' ἔφανεν φυὰν (ἄειρ[ε νέᾳ τε] e. g. Snell) Πα. 20. 10—2. ἵππων τ' ὠκυπόδων πολυγνώταις ἐπὶ νίκαις (deest τε alterum propter lacunam) Παρθ. 2. 44. ὅς Ζεφύρου τε σιγάζει πνοὰς αἰψηράς, ὁπόταν τε χειμῶνος σθένει φρίσσων Βορέας ἐπισπέρχησ' Παρθ. 2. 16—8.

c. in apposition. δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος, ὥς τ' — ὥς τ' O. 13. 75—6. τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' P. 4. 175. ἡρώων ἄωτοι περιναιεταόντων ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες, οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἁρμόζον στρατόν, οἵ τ' ἀνὰ Σπάρταν Πελοπηιάδαι N. 8. 11—13. μισθὸς γὰρ ἄλλοις ἄλλος ἐπ' ἔργμασιν ἀνθρώποις γλυκύς, μηλοβότα

τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόντος τράφει I. 1. 48. Τροίας ἶνας ἐκταμὼν δορὶ — Μέμνονός τε βίαν ὑπέρθυμον Ἕκτορά τ' ἄλλους τ' ἀριστέας I. 8. 54. **d.** in anaphora ὅσσα τ' ἔριξε λευκωλένῳ ἄκναμπτον Ἥρᾳ μένος ἀντερείδων ὅσα τε Πολιάδι Πα. 6. 87—9, cf. O. 13. 75—6.
e. in enumeration, τε — τε — τε νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν N. 9. 11—2.
C. τε in combination with other particles **a.** τε — δέ, ἐσθὰς δ' ἀμφοτέρα μιν ἔχεν, ἅ τε Μαγνήτων ἐπιχώριος — ἀμφὶ δὲ παρδαλέᾳ στέγετο P. 4. 80. ὁ μέν που τεοῖς τε μήδεσι τοῦτ' ἔπραξεν, τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς P. 10. 11. ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον. ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει P. 11. 29—30. ὁ δ' ἀφ[αρ π]λεκτόν τε χαλκὸν ὑπερη[. .].ε — τεῖρε δὲ fr. 169. 26—9. **b.** τε — δὲ — τε, τί ἔρδων φίλος σοί τε, καρτερόβρεντα Κρονίδα, φίλος δὲ Μοίσαις, Εὐθυμίᾳ τε μέλων εἴην fr. 155. 1. **c.** δὲ — τε — δέ, v. δέ, N. 5. 51—4. **d.** τε — οὐδέ, Οὐλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις, οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον P. 8. 36, cf. οὔτε — οὐδέ. **e.** οὔτε — τε οὐ, ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι, δένδρεά τ' οὐκ ἐθέλει — ἄνθος εὐῶδες φέρειν N. 11. 40. [**f.** dub., τε — ἤ, Δί ⟨τε⟩ μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν (supp. Hermann: Διὶ μισγ. codd.: Ζηνὶ μισγ. Tricl.) I. 8. 35.] **g.** τε — ἠδέ, "καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ⟨—⟩ ἠδ' ὀστέων στεναγμὸν βαρύν" fr. 168. 5. **h.** τε — καί, v. καί.
D. not in second position **a.** νέοις ἐν ἀέθλοις ἐν μάχαις τε πολέμου O. 2. 44. ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς (ὑπ' ὠδίνεσσ' ἐραταῖς coni. Wil., Snell) O. 6. 43. ἐν Μεγάροισίν τ' O. 7. 86. ἐν πόντῳ — ἐν χέρσῳ τε O. 12. 4. ἐν τρόπῳ ἐν μελέταις τ' O. 14. 18. ἐπ' Ἀπόλλωνός τε κράνᾳ P. 4. 294. ἐν δίκᾳ τε N. 5. 14. παρὰ Κασταλίαν τε N. 6. 37. ἐν σοφοῖς ἀνδρῶν — ἐν δικαίοις τε N. 8. 41. ὑπὲρ πολλῶν τε N. 9. 54. ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς I. 5. 27. ἐπὶ θρῆνόν τε πολύφαμον ἔχεαν I. 8. 58.]ἐν δαιτί τε Πα. 13. a. 21. **b.** after art. τὸν Μινύα τε μυχόν I. 1. 56. τίμαθεν γὰρ τὰ πάλαι τὰ νῦν τ' Παρθ. 2. 43. **c.** after voc. Αἶαν, τεόν τ' ἐν δαιτί, Ἰλιάδα (Hermann: Αἰάντειόν τ' codd.: Αἰάντεόν τ' Boeckh) O. 9. 112. **d.** v. also A. 1. a, b sub. fin.; A. 4; B. b.; μέν — τε.
E. fragg. θεᾶς θ' Πα. 3. 15. ἀγ]λαάν τ' ἐς αὐλὰν Πα. 7. 3. φωνᾷ τά τ' ἐόντα τε κα[ὶ Πα. 8. 83. ἥρωί τε βω[Πα. 13. a. 1.]ιόν τε σκόπελον Δ. 3. 10.]σ τε χάρμας Δ. 3. 13.]εες τ' ἀοιδαί Δ. 3. 16.]αν λέχεα τ' ἀνα[γ]καῖα δολ[Δ. 4. 15.]γένος τε δαιμο[Δ. 4. 45.]σι τε ῥοδ[Δ. 4. c. 2. χάριτάς τ' fr. 128. 1.]ισσαι τε φιλοφροσύναι Θρ. 4. 14.]ν ὄρθαι τε Θρ. 4. 16. ἐπερχόμενόν τε *fr. 140c. 1* λιπαρᾶν τε fr. 196. κακόφρονά τ' fr. 211. ξεινοδόκησέν τε fr. 311. Φερσεφόνᾳ ματρί τε ?fr. 346c. 1.

τέγγω] *stain* met. οὐ ψεύδει τέγξω λόγον O. 4. 17. θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς N. 10. 75.

Τεγέα] a city of Arkadia, where were held games in honour of Athene Aleia. ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν O. 10. 66. (χαλκόν) ὅν τε Κλείτωρ καὶ Τεγέα — θῆκε N. 10. 47.

τέγος] *roof* i. e. *chamber* (ἀνδριάς) Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασσίῳ καθέσσαντο i. e. in some sacred chamber P. 5. 41. Χίρων τράφε λιθίνῳ Ἰάσον' ἔνδον τέγει (in his cave) N. 3. 54.

τέθμιος, -ον] *established by law* πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις N. 11. 27. n. s. pro subs., ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι, τέθ'μιόν μοι φαμὶ σαφέστατον ἔμμεν — ῥαινέμεν εὐλογίαις *law* I. 6. 20.

τεθμός] (-ός, -όν, -οῖσιν.) *that which is laid down* and so **a.** *ordinance, rule* τεθ'μός δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερ-

κέα χώραν παντοδαποῖσιν ὑπέστασε ξένοις O. 8. 25. τεθμοῖσιν ἐν Αἰγιμιοῦ P. 1. 64. "μακάρων τ' ἐπιχώριον τεθ'μὸν πάμπαν ἐρῆμον ἀπωσάμενος" i. e. *the ordinance of heaven concerning this island* Πα. 4. 47. **b.** *function, duty* ἀλλὰ παρθένοι γάρ, ἴσθ' ὅτι, Μοῖσαι, πάντα, κελαινεφεῖ σὺν πατρὶ Μναμοσύνᾳ τε τοῦτον ἔσχετ[ε τεθ]'μόν, κλῦτε νῦν (i. e. πιθεῖν σοφούς v. 52: fort. κόσ]μον legendum) Πα. 6. 57. **c.** *institution* **α.** = κῶμος, τίμα μὲν ὕμνου τεθ'μὸν 'Ολυμπιονίκαν O. 7. 88. δέξαι τέ οἱ στεφάνων ἐγκώμιον τεθ'μόν, τὸν ἄγει πεδίων ἐκ Πίσας O. 13. 29. **β.** *festival* πατρὶ ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθ'μόν τε μέγιστον ἀέθλων (at Olympia) O. 6. 69. ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν (at the Isthmus) O. 13. 40. ὕπατον δ' ἔσχεν Πίσα 'Ηρακλέος τεθμόν N. 10. 33. **γ.** *law, convention* of song τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ' ἐπειγόμεναι N. 4. 33.

τέθ'ριππος] *with four horses* ἅρματι τεθρίππῳ I. 1. 14. pro subs. ἄνθεα τεθρίππων δυωδεκαδρόμων ἄγαγον O. 2. 50. Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων P. 1. 59.

τείνω] (τείνων; aor. τεῖνον: med. & pass. pf. τέτᾰμαι, -ᾰται; τετάσθαι: cf. τανύω.) **a.** *extend* φάρμακον πραῢ τείνων ἀμφὶ γένυι i. e. placing the bridle in the mouth of Pegasos O. 13. 85. met., φιλέων δ' ἂν εὐχοίμαν Κρονίδαις ἐπ' Αἰολάδᾳ καὶ γένει εὐτυχίαν τετάσθαι ὁμαλὸν χρόνον (Lobel: τετάχθαι G-H.) Παρθ. 1. 13. **b.** med. & pass. pf., *be excercised, intent* cf. ἔγκειμαι. ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι P. 11. 54. γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται *is intent upon* I. 1. 49. **c.** in tmesis ἀνὰ δ' ἱστία τεῖνον (v. ἀνατείνω) N. 5. 51.

Τειρεσίας] a seer of Thebes. γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον, ὀρθόμαντιν Τειρεσίαν (sc. 'Αμφιτρύων) N. 1. 61. ἦ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς; (Pauw: Τειρεσίαο πυκιναῖς codd.) I. 7. 8.

τείρω] *distress, harry* ἕλκει τειρόμενον — Ποίαντος υἱὸν P. 1. 52. τεῖρε δὲ στερεῶ⟨ς⟩ ἄλλαν μὲν σκέλος, ἄλλαν δὲ πᾶχ[υν] — φέροισαν (Herakles beats? the man-eating mares of Diomedes) fr. 169. 29.

Τείσανδρος] of Naxos in Sicily, Olympian and Isthmian victor in boxing. ἀμεύσεσθαι Νάξιον Τείσανδρον (Schr.: Τίσανδρον codd. Eustathii) fr. 23.

τειχέω?] Et. Mag. 249. 50, τειχῶ· ἀφ' οὗ φησι Πίνδαρος, τετείχηται (pro τετείχισται erratum coni. Tittmann) fr. 321.

τειχίζω] *build* met. εἶα τειχίζωμεν ἤδη ποικίλον κόσμον αὐδάεντα λόγων fr. 194. 2. pass. ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ 'Απολλωνίᾳ τετείχισται νάπᾳ P. 6. 9. τετείχισται δὲ πάλαι πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν I. 5. 44. cf. τειχέω.

τεῖχος] (-ος, -εος, -ει, -ος; -έων, -έ͜ων, -εσιν.) *wall* ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν i. e. a pyre P. 3. 38. μόχθον ἄλλοις ἀμφέπει δύστανον ἐν τείχεσιν P. 4. 268. τὸ πεπρωμένον οὐ πῦρ οὐ σιδάρεον σχήσει τεῖχος fr. 232. esp. *city wall* ἀπὸ τῶν Στυμφαλίων τειχέ͜ων ποτινισόμενον O. 6. 99. 'Ιλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργὸν τείχεος O. 8. 33. πρὸ Δαρδάνου τειχέων O. 13. 56. ὁ κινητὴρ δὲ γᾶς 'Ογχηστὸν οἰκέων καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων I. 4. 20. met., ἀλκαὶ δὲ τεῖχος ἀνδρῶν [ὕψιστον ἵστατ]αι Πα. 2. 37. πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθόνιον γένος ἀνδρῶν; fr. 213. 1.

τεκμαίρω] (τεκμαίρει: med. τεκμαίρομαι; -όμενοι.) **a.** act., *bear witness, give proof(of)* τεκμαίρει χρῆμ' ἕκαστον O. 6. 73. τεκμαίρει καί νυν 'Αλκιμίδας τὸ συγγενὲς ἰδεῖν ἄγχι καρποφόροις ἀρούραισιν N. 6. 8. **b.** med., *judge* (by signs) Οὐλυμπία — ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου O. 8. 3. τεκμαίρομαι ἔργοισιν 'Ηρακλέος fr. 169. 4.

τέκ'μαρ] a. *goal* θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται P. 2. 49. b. *token, sign* τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέκμαρ N. 11. 44. c. *limit* ἰσοδένδρου τέκμαρ αἰῶνος θεόφραστον λαχοῖσα (v. l. τέκμωρ) fr. 165.

[τέκμωρ, v. τέκμαρ.]

τέκνον] (-ον voc.; -οισιν, -α.) *child* "ὄρσο, τέκνον" O. 6. 62. τέκ'νοισιν ὠκείας γνάθους ἀμφελίξασθαι μεμαῶτες N. 1. 42. Ἐλείθυια, — γενέτειρα τέκ'νων N. 7. 2. ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος N. 7. 105. "ὦ τέκνον" fr. 43. 1. κατὰ μὲν φίλα τέκ'ν' ἔπεφνεν θάλλοντας ἥβᾳ δώδεκ' fr. 171.

τεκ'νόω] *beget* pass. κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι I. 1. 17.

τέκος] (-ος nom., -έων.) *child* τὸν χαλκοχάρμαν ἐς πόλεμον ἄγε — Ἀλκμήνας τέκος I. 6. 30. ξένοι ἔφθινον ἄτερθεν τεκέων ἀλόχων τε Πα. 8. 77. ἐντὶ μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ ὥριαι παιάνιδες Θρ. 3. 1. [τέκος (Σγρ.: τέκνον codd.) O. 6. 62.]

τέκτων] (-ονα; -ονες, -όνων.) *craftsman, architect* τέκτονα νωδυνίας ἥμερον γυιαρκέος Ἀσκλαπιόν P. 3. 6. ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ ἅρμοσαν P. 3. 113. χεριαρᾶν τεκτόνων δαίδαλ' ἄγων P. 5. 36. μελιγαρύων τέκτονες κώμων νεανίαι N. 3. 4. χρὴ δ' ἀπ' Ἀθανᾶν τέκτον' ἀεθληταῖσιν ἔμμεν (ἐπιστάτην Σ.) N. 5. 49.

Τελᾰμών] (-ών, -ῶνος, -ῶνι.) king of Salamis, son of Aiakos. πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ P. 8. 100. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν N. 3. 37. σὺν ᾧ (= Ἡρακλεῖ) ποτε Τροίαν κραταιὸς Τελαμὼν πόρθησε N. 4. 25. κεῖνος (sc. φθόνος) καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις N. 8. 23. ἄνδωκε δ' αὐτῷ φέρτατος οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμὼν I. 6. 40. "ἔσσεταί τοι παῖς, ὃν αἰτεῖς, ὦ Τελαμών" I. 6. 52.

Τελᾰμωνιάδας] *son of Telamon* Τεῦκρος — ὁ Τελαμωνιάδας N. 4. 47. οὐδ' ἔστιν — πόλις, ἅτις οὐ Πηλέος ἀίει κλέος — οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα καὶ πατρός I. 6. 26.

τελέθω] (τελέθει, -οντι.) a. *be counted as, be* δαέντι δὲ καὶ σοφία μείζων ἄδολος τελέθει O. 7. 53. αἱ δύο δ' ἀμπλακίαι φερέπονοι τελέθοντι P. 2. 31. κέρδει δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει; P. 2. 78. ποτὶ κέντρον δέ τοι λακτιζέμεν τελέθει ὀλισθηρὸς οἶμος P. 2. 95. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς χρονία τελέθει P. 3. 115. ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει N. 7. 105. b. *be the natural outcome* c. ἐκ c. gen. ἐκ πόνων δ' οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἡμέρα N. 9. 44.

τέλειος, τέλεος] (-ειε; -είᾳ, -έαν, -έαις; -ειον acc.) a. = τετελεσμένος, *fulfilled* τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν (τέλειον with ἐσλόν τι, Σ.) P. 9. 89. Ξενοφῶν τελέαις — εὐχωλαῖς ἰανθείς fr. 122. 19. b. *complete, perfect* τελέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς P. 8. 24. χορευτὰν τελεώτατον (sc. Πᾶνα) fr. 99. c. *accomplishing* α. epith. of Zeus Ζεῦ τέλει', αἰδῶ δίδοι καὶ τύχαν O. 13. 115. Ζεῦ τέλει' P. 1. 67. β. of Hera, (ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία Σ.) Ἥρα τελείᾳ παρὰ ματέρι βαίνοισ' N. 10. 18.

Τελέσαρχος] father of Kleandros of Aigina. πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον I. 8. 2.

Τελεσιάδας] father of Melissos of Thebes. καὶ Μελίσσῳ — ἔρνει Τελεσιάδα I. 4. 45.

Τελεσικ'ράτης] of Cyrene, victor in Pythian hoplite race ἐθέλω χαλκάσπιδα Πυθιονίκαν σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν ὄλβιον ἄνδρα P. 9. 3. πόσιν ἢ υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν P. 9. 100.

τελεσσίεπής] *fulfilling its words* μαντευμάτων τε θεσπεσίων δοτῆρα καὶ τελεσσιε-

[πῆ] θεοῦ ἄδυτον (supp. Wil., cll. Σ, P. 11. 5 = fr. 293 Schr., πυκινῶς δὲ τίθησιν ὁ Πίνδαρος κατὰ τὸ ἀρσενικὸν τὸν ἄδυτον, et Σ Π ad loc., ἀρσενικ]ῶς τὸν ἄδυτο[ν: τελεσσιε[πες coni. Galiano) Πα. 7. 2.

τελετά] (-ᾷ, -άν; -αῖς, -άς.) *rite, ceremony* εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς O. 3. 41. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ παρέσταν μὲν ἄρα Μοῖραι σχεδόν (ἐν δὴ ταύτῃ τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων Σ.) O. 10. 51. πλεῖστα νικάσαντά σε καὶ τελεταῖς ὡρίαις ἐν Παλλάδος εἶδον P. 9. 97. ἀδεῖαί γε μὲν ἀμβολάδαν ἐν τελεταῖς δὶς Ἀθαναίων μιν ὀμφαὶ κώμασαν (ἀδείᾳ — ἐν τελετᾷ Σ^γρ·: the Panathenaia) N. 10. 34.]τελεταῖς Δ. 1. 33. οἵαν Βρομίου [τελε]τὰν καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Οὐρανίδαι ἐν μεγάροις ἵσταντι Δ. 2. 6.]τεὰν τε̣[λετ]ὰ̣ν̣ μελίζοι[Δ. 3. 6. ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον τελετάν (ὄλβιοι δ' — λυσιπόνων τελετᾶν coni. Wil.: τελευτάν v. l.) fr. 131 ad Θρ. 7. v. also τελευτά d.

τελευτά] (-ά, -ᾷ, -άν; -αί, -αῖς.) **a.** *conclusion, end* φέρειν γῆρας εὔθυμον ἐς τελευτάν O. 5. 22. τοῦτο δ' ἀμάχανον εὑρεῖν, ὅτι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν O. 7. 26. ἀλλ' ἤδη τελευτὰν κεῖνος αὐταῖς ἡμιθέων πλόος ἄγαγεν P. 4. 210. θνατὰ μεμνάσθω περιστέλλων μέλη, καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος N. 11. 16. [τελευτάν (v. l. τελετάν, cf. infra d.) fr. 131 ad Θρ. 7] οἶδε μὲν βίου τελευτάν, οἶδεν δὲ διόσδοτον ἀρχάν sc. the initiate in the Eleusinian mysteries fr. 137. 2. ναυσιφορήτοις δ' ἀνδράσι πρῶτα χάρις ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν P. 1. 35. **b.** *consummation* ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν P. 9. 66. **c.** *conclusion, outcome* δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος O. 13. 75. τὸ δὲ πὰρ δίκαν γλυκὺ πικροτάτα μένει τελευτά I. 7. 48. θεοῦ δὲ δείξαντος ἀρχάν — τελευταί τε καλλίονες fr. 108a. 4. **d.** fragg.]μων τελευταῖς ὀαρίζε[ι Πα. 14. 33. Φερσεφόνᾳ ματρί τε χρυσοθρόνῳ θῆ[κ — οισι]ν τελευτὰν ἵν' ἐς εν[(τέλος Σ, unde τελετὰν coni. Lobel) P.Oxy. 2622, fr. 1, 5 ad ?fr. 346c.

τελευταῖος] *final* [Ἄβδ]ηρε, καὶ στ[ρατὸν] ἱπποχάρμαν — πολέμῳ τελευ[ταί]ῳ προβιβάζοις Πα. 2. 105.

τελευτάω] **a.** *bring to an end* ἡσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν O. 2. 33. τελεύτασέν τε πόνους Δαναοῖς P. 1. 54. **b.** *fulfil* τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι (v. l. τελεύτασαν) O. 7. 68. **c.** in tmesis ἐκ δὲ τελευτάσει (v. ἐκτελευτάω) P. 12. 29.

τελέω] (τελεῖς, -εῖ; -έων: fut. τελέσσω, τελέσει: impf. τέλει: aor. (ἐ)τέλεσσεν, τέλεσαν; τέλεσσον; τελέσαις, -άντων: τελέσαι, τελέσσαι: pass. aor. τελεσθέντων: pf. τετελεσμένον.) **a. α.** *bring to pass, bring about* τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν O. 13. 83. "τοῦτ' ἔργον βασιλεὺς — ἐμοὶ τελέσαις" P. 4. 230. ἔργον πελώριον τελέσαις P. 6. 41. ἐμοὶ δὲ θαυμάσαι θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον P. 10. 49. ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε Πότμος ἄναξ, εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει N. 4. 43. ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι N. 9. 6. ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες I. 8. 30. "Κρονίων, τελεῖς σ[—]πεπρωμέναν πάθαν (Π^ac et Σ: τέλει Π^pc: δύναται τελέω ἐπιτελέω Σ.) Πα. 8A. 15. **β.** *fulfil* (prophecies) ἐν δὲ Πυθῶνι χρησθὲν παλαίφατον τέλεσσεν (sc. Οἰδίπους) O. 2. 40. "τοῦτον ἄεθλον ἑκὼν τέλεσον" P. 4. 165. **γ.** *bring to fulness* θεός τέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν P. 5. 117. **δ.** *complete* (ναῦν) τέλεσαν ἐν πλαγαὶ σιδάρου (τέλεσεν Σ^γρ·, Wackernagel) P. 4. 246. **b.** *bring to birth* τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ P. 3. 9. "νῦν σε (Δία) — λίσσομαι παῖδα

θρασὺν ἐξ 'Εριβοίας ἀνδρὶ τῷδε ξεῖνον ἁμὸν μοιρίδιον τελέσαι" I. 6. 46. τᾶς ὁ κράτιστος ἐράσσατο μιχθεὶς τοξοφόρον τελέσαι γόνον[Πα. 7B. 52. **c.** *pay tribute of* c. acc. & dat. παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις P. 1. 79. ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ εὐαχέα βασιλεῦσιν ὕμνον P. 2. 13. ψυχὰν 'Αΐδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν I. 1. 68. **d.** dub., ?*reckon up* ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαιονίδας εἶπεν (νεκροῖς coni. Wil.: τελεσθεισᾶν Pauw, cf. Fraenkel on Ag. 562: τὰς πυρὰς ὁ Πίνδαρος καταριθμεῖται οὐ πρὸς αὐτοὺς τοὺς στρατηγοὺς ἀλλὰ τὰ τούτων στρατεύματα Σ; of the army of the Seven, cf. Thummer, 17[a]) O. 6. 15. **e.** fragg. τελέσαι δ' ὀλ[— κα]τελάμβανον[(Snell: τελε.αι G-H: τελεται Lobel) Πα. 12. 17. μάντις ὡς τελέσσω ἱεραπόλος Παρθ. 1. 5.

τέλλω] (aor. ἔτειλαν: pass. τέλλεται: impf. τέλλετο.) **a.** act., *complete* ὅσοι δ' ἐτόλμασαν — ἀπὸ πάμπαν ἀδίκων ἔχειν ψυχάν, ἔτειλαν Διὸς ὁδὸν O. 2. 70. **b.** pass., *be accounted* "φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον, ἐς χάριν τέλλεται" *count for goodwill* O. 1. 76. μελιγάρυες ὕμνοι ὑστέρων ἀρχὰ λόγων τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς O. 11. 6. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ τέλλετο P. 4. 257.

τέλος] (-ος nom., acc.) **a.** *execution, completion, issue* ἀποίητον οὐδ' ἂν Χρόνος — δύναιτο θέμεν ἔργων τέλος O. 2. 17. ἐδόκησαν ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος *decide the issue* O. 13. 57. νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν τέλος O. 13. 104. οὐδὲ μακύνων τέλος οὐδέν P. 4. 286. "κύριον ὃς πάντων τέλος οἶσθα" P. 9. 44. "Απολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος ὀρνύντος αὔξεται P. 10. 10. ἰδίᾳ τ' ἐρεύνασε τεναγέων ῥοάς, ὁπᾷ πόμπιμον κατέβαινε νόστου τέλος N. 3. 25. ἐν δὲ πείρᾳ τέλος διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται *perfection* N. 3. 70. οὐκ ἔχω εἰπεῖν τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον ὤρεξε N. 7. 57. κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος N. 8. 45. πὰν δὲ τέλος ἐν τὶν ἔργων N. 10. 29. ἀμφοτερᾶν τοι χαρίτων σὺν θεοῖς ζεύξω τέλος *I shall secure an execution of both songs* I. 1. 6. (ἀρετὰς) αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος *bring their lives to an end* I. 4. 5. ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται μαρτύρια φθιμένων ζωῶν τε φωτῶν ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πὰν τέλος *in every issue* I. 4. 11. ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων πρὶν τέλος ἄκρον ἱκέσθαι *the supreme goal* I. 4. 32. pro adv., τέλος δ' ἀείραις πρὸς στιβαρὰς ἐπάραξε πλευράς *finally* fr. 111. 3. **b.** *prize* Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος O. 10. 67. ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμήσαις τέλος ἔμμεν ἄκρον P. 9. 118. ἐφ' ἑκάστῳ ἔργματι κεῖτο τέλος I. 1. 27. **c.** *office* ἀλλὰ σὺν δόξᾳ τέλος δωδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ (τὴν πρυτανείαν Σ.) N. 11. 9. **d.** fragg.]ον τέλος ἔσται Πα. 7C. 6. βασανισθέντι δὲ χρυσῷ τέλος[(μανύεται e. g. supp. Snell) Πα. 14. 38.

τέμενος] (-ος, -ει, -εῖ, -ος, -εσσι.) *sanctuary, precinct* ἀείδετο δὲ πὰν τέμενος (at Olympia) O. 10. 76. ἁγνὸν Ποσειδάωνος ἕσσαντ' ἐνναλίου τέμενος P. 4. 204. ἀκηράτοις ἀνίαις ποδαρκέων δώδεκ' ἂν δρόμων τέμενος (the Isthmian precinct) P. 5. 33. δονάκων, τοὶ παρὰ καλλιχόρῳ ναίοισι πόλι Χαρίτων Καφισίδος ἐν τεμένει (at Orchomenos) P. 12. 27. Ποσειδάνιον ἂν τέμενος (at the Isthmus) N. 6. 41. Κρονίου πὰρ τεμένει (at Olympia) N. 6. 61. ἐπεὶ τετραόροισιν ὧθ' ἁρμάτων ζυγοῖς ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφοτέρας ἰὼν χειρός (the precinct of Herakles in Aigina) N. 7. 94. Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν 'Αχαιῶν ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι I. 1. 59. [δηρι]αζόμενον (sc. Νεοπτόλεμον) κτάνεν ⟨ἐν⟩ [τεμέ]νεϊ φίλῳ γᾶς πὰρ' ὀμφαλὸν εὐρύν Πα. 6. 120. Τυνδ]αριδᾶν ἱερῷ [τεμέ]νει (supp. Lobel) Πα. 18. 2.]θεαν ἐρατὸν τέμενος ?fr. 345. 11. τεμένει P. Oxy. 1792,

fr. 38. met., ὦ Συράκοσαι, βαθυπολέμου τέμενος Ἄρεος P. 2. 2. "Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα" (τὴν Λιβύην) Σ.) P. 4. 56. βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος μοῖραν ἐσλῶν (i. e. ἱερὸν Ἄργος) N. 10. 19.

τένἄγος] *shallows* ἰδίᾳ τ' ἐρεύνασε τεναγέων ῥοάς (v. Barrett on Eur., Hipp. 745) N. 3. 24.

Τένεδος] (ἡ) the island. (οἱ πρυτάνεις) οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον N. 11. 5. ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἔναιεν καὶ Χάρις υἱὸν Ἁγησίλα (Musurus: τονεδω codd. Athenaei) fr. 123. 14.

τεός] (-ός, -ῷ, -όν, -οῖσ(ιν); -ᾶ, -άν, τεᾰν, -αί, -αισ(ι), -αῖσιν, τεᾰῖσιν; -όν nom., acc., -οῖς: c. art., O. 5. 11, P. 8. 33, P. 11. 41, I. 1. 1, I. 1. 58.) *your* (s.) **a.** addressing gods, heroes, simm. Ζεῦ, τεαὶ γὰρ Ὧραι O. 4. 1. Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεόν O. 5. 11. Αἶαν, τεόν τ' ἐν δαιτί, Ἰλιάδα, νικῶν ἐπεστεφάνωσε βωμόν (Αἰάντειόν τ' ἐν codd., corr. Hermann) O. 9. 112. γέρας ἀμφέβαλε τεαῖσιν κόμαις (of Cyrene) P. 5. 31. Ἄπολλον, τεᾷ, Καρνήι', ἐν δαιτὶ P. 5. 79. Ἄπολλον, — τεὸν δόμον (Wil.: τεόν τε δόμον codd.) P. 7. 10. ὁ μὲν που τεοῖς τε μήδεσι τοῦτ' ἔπραξεν (Tricl.: τεοῖσι codd.: of Apollo) P. 10. 11. τεὰν — κατ' αἶσαν (of the Muse) N. 3. 15. Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγὼν N. 3. 65. τεὰν ἀδελφεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν (of Eleithuia) N. 7. 4. ἔργμασιν ἐπιστατεῖ, Αἴγινα, τεῶν Διός τ' ἐκγόνων N. 7. 50. ἐν τεμένεσσι δόμον ἔχει τεοῖς (of Herakles) N. 7. 94. Ἑστία, — εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον N. 11. 3. μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα, πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι I. 1. 1. Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι I. 1. 58. διὰ τεάν, ὤνασσα, τιμὰν (of Theia) I. 5. 6. τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν εὔφρανας; I. 7. 2. πόρε, Λοξία, τεᾰῖσιν ἁμίλλαισιν εὐανθέα καὶ Πυθόι στέφανον I. 7. 50. ἦλθον ἔταις ἀμαχανίαν ἀλέξων τεοῖσιν ἐμαῖς τε τιμαῖς (of Pytho) Πα. 6. 10.]τεαν τε[λετ]ὰν μελίζοι (of Dionysos ?) Δ. 3. 6. ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ' ἐς ἄλσος fr. 122. 18. pro subs., Μοῖσα, τὸ δὲ τεόν, εἰ μισθοῖο συνέθευ παρέχειν φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλλᾳ ταρασσέμεν *your duty* P. 11. 41. **b.** addressing victors τεαῖσι μήδεται —, Ἱέρων, μερίμναισιν O. 1. 106. τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν O. 11. 12. τεὰ — ἀκλεὴς τιμὰ (of Ergoteles) O. 12. 13. διὰ τεὰν δύναμιν P. 2. 20. τεὰν καταιθύσσει μάκαιραν ἑστίαν (of Arkesilas) P. 5. 10. τεᾷ — φρενί P. 5. 19. πατρὶ τεῷ, Θρασύβουλε P. 6. 15. τὸ δ' ἐν ποσί μοι τράχον ἴτω τεὸν χρέος, ὦ παῖ *my debt to you* P. 8. 33. [αὖτις ἐγεῖραι καὶ παλαιὰν δόξαν τεῶν προγόνων (codd. contra metr.: ἑῶν Mosch., edd. vulgo: καὶ τεῶν δόξαν παλαιὰν Bergk) P. 9. 105.] πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεᾰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι N. 4. 78. τεὸς μάτρως ἀγάλλει κείνου ὁμόσπορον ἔθνος, Πυθέα (Mingarelli e Σ: Πυθέας codd.) N. 5. 43. **c.** in direct speech "ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται" (of Aiakos) O. 8. 42. "τεὸν οἶκον" (of Pelias) P. 4. 151. "πόσις σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις στᾶξεν ἥρως" (of Polydeukes) N. 10. 81. **d.** addressing relatives of the victor ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν N. 8. 44. **e.** addressing inanimate objects τεαῖς ῥιπαῖσι κατασχόμενος (of the lyre.) P. 1. 9.

τέρας] (-ας nom., acc.) **a.** *marvellous happening, omen* ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων O. 8. 41. τέρας δ' ἐὸν εἶπέν σφι (sc. Εὐξάντιος: "das ihm gewordene Wunderzeichen müsste die alleinige Erhaltung seines Hauses sein, die seinen Entschluss bestimmt," Wil.) Πα. 4. 39. "τέρας ὑπνα[λέον" (i. e. the dream of Hekabe concerning the fall of Troy, v. τίκτω) Πα. 8A. 24. ἀπήμονα εἰς ὄλβον τινὰ τράποιο

Θήβαις — παγκοινον τέρας (the eclipse of the sun at Thebes) Πα. 9. 10. b. *miraculous object, marvel* παρκείμενον δὲ συλλαβὼν τέρας (a bridle) O. 13. 73. τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι, (Etna in eruption) P. 1. 26. χθονὸς εὐρείας ἀκίνητον τέρας (Delos) fr. 33c. 3. c. frag.]ει καὶ νῦν τέρας δι[Πα. 13. c. 9.

τερασκόπος] *seer* τερασκόπος ἀδείας ἐνίπτων ἐλπίδας (Mopsos) P. 4. 201.

τέρην] *gentle* οὔπω γένυσι φαίνων τερείνας ματέρ' οἰνάνθας ὀπώραν (Dreykorn: τέρειναν codd.) N. 5. 6.

τέρμα] (τέρμ(α) nom., acc., -ασιν.) *starting, finishing mark* δωδεκάγναμπτον περὶ τέρμα δρόμου O. 3. 33. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ' ἀγῶνος P. 9. 114. met., ἀπομνύω μὴ τέρμα προβαὶς ἄκονθ' ὥτε χαλκοπάραον ὄρσαι θοὰν γλῶσσαν N. 7. 71. καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων γίνεται, ἰσχύος ἔργον (Er. Schmid: ἀέθλων τέρμα codd.: i. e. ends in a trial of strength) I. 4. 67.

Τέρπανδρος] the lyric poet. (βάρβιτος) τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν πρῶτος fr. 125. 1.

τερπνός] (-ός; -ᾶς, -άν, -αῖσι; -όν, -ῷ, -όν, -ά, -ῶν, -ά.) *pleasant* τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν καρπὸν Ἥβας O. 6. 57. τερπναῖσι θαλίαις O. 10. 76. ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν P. 9. 66. ἔστα δὲ θάμβει δυσφόρῳ τερπνῷ τε μιχθείς N. 1. 56. κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια N. 7. 53. σὺν Ὀρσέᾳ δέ νιν κωμάξομαι τερπνὰν ἐπιστάζων χάριν I. 4. 72. ἀνίκ' ἀγανόφρων Κοίου θυγάτηρ λύετο τερπνᾶς ὠδῖνος Πα. 12. 13. λόγον τερπνῶν ἐπέων Πα. 14. 34. τῷδ' ἐν ἅματι τερπνῷ Πα. 15. 1. σεμνᾶν Χαρίτων μέλημα τερπνόν (sc. ὦ Πάν) fr. 95. 5. πολύ τοι φέριστον ἀνδρὶ τερπνὸς αἰών fr. 126. 2. n. pro subs., *pleasure* τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν O. 8. 53. κεῖναι γὰρ ὤπασαν τὰ τέρπν' O. 9. 28. ἔπορε μόχθῳ βραχύ τι τερπνόν O. 10. 93. αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν O. 13. 115. σὺν γὰρ ὑμῖν τά τε τερπνὰ καὶ τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς O. 14. 5. ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται P. 8. 93. τῶν δ' ἐν Ἑλλάδι τερπνῶν λαχόντες οὐκ ὀλίγαν δόσιν P. 10. 19. εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται N. 7. 74. τερπνὸν ἐφάμερον διώκων I. 7. 40. καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ δεικνύναι fr. 42. 3. δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν (sc. the soul) fr. 131b. 4.

τέρπομαι] (τέρπεται, -ονται: aor. pass. pro med., τερφθέν.) a. *delight in* c. dat. οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν (sc. Ῥαδάμανθυς) P. 2. 74. τοὶ δὲ πεσσοῖς, τοὶ δὲ φορμίγγεσσι τέρπονται Θρ. 7. 7. ταῖς ἱεραῖσι μελίσσαις τέρπεται fr. 158.]οις τερφθὲν ἱαροῖς ?fr. 338. 6. b. c. part. τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον ναὶ θοᾷ †διαστείβων fr. 221. 4.

τέρτᾰτος] (cf. τέτρατος.) *third* "ἅμα πρώτοις ἄρξεται καὶ τερτάτοις (Ahrens: τετράτοις codd.: τερτάτοις . . . recepi, ut formam Homericam τριτάτοισιν aeolice expressam, Schr., cf. von der Mühll, M. H., 1964, 51) O. 8. 46.

Τερψίας] brother of Ptoiodoros, q. v. Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί (Er. Schmid e Σ: τερψια, -ιαι, -ιες codd.) O. 13. 42.

τέρψις] *delight* πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν, ἔμπαλιν μὲν τέρψιος O. 12. 11. ἐφίλησεν — οὔτε δείπνων — μεθ' ἑταιρᾶν τέρψιας P. 9. 19. μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν N. 8. 43. μήδ' ἀμαύρου τέρψιν ἐν βίῳ fr. 126. 1.

Τερψῐχόρα] the muse of dancing. οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας — μαλθακόφωνοι ἀοιδαί I. 2. 7.

τεσσαράκοντα] *forty* ἐν τεσσαράκοντα γὰρ πετόντεσσιν ἀνιόχοις P. 5. 49. τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι P. 9. 113.

τέσσἄρες] (τέσσἄρες, -άρων, τέτ'ρᾶσι(ν), τέσσαρας.) *four* ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις νόστον O. 8. 68. ἀν'

ἵπποισι δὲ τέτρασιν O. 10. 69. τέτρασι δ' ἔμπετες ὑψόθεν σωμάτεσσι P. 8. 81. τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν N. 2. 19. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς ὁ θνατὸς αἰὼν (cf. Dodds on Plato, Gorgias 451e) N. 3. 74. τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν I. 4. 17. δὴ τότε τέσσαρες ὀρθαὶ πρέμνων ἀπώρουσαν χθονίων — κίονες fr. 33d. 5.

τέταρτος] v. τέτρατος.

τετράκι(ς)] *four times* κλεινᾷ τ' ἐν Ἰσθμῷ τετ'ράκις εὐτυχέων O. 7. 81. ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει (Er. Schmid: τετράκις codd.) N. 7. 104. νικαφορίαις γὰρ ὅσαις †ἱπποτρόφον ἄστυ τὸ Προίτοιο θάλησεν† Κορίνθου τ' ἐν μυχοῖς, καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετ'ράκις N. 10. 42.

τετ'ράκ'νᾱμος] *with four spokes* τὸν δὲ τετράκναμον ἔπραξε δεσμὸν (of the wheel to which Ixion was bound.) P. 2. 40. ποικίλαν ἴυγγα τετράκναμον — ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ (pr. *to the four spokes*) P. 4. 214.

τετρᾱορία] (-ίας, -ιᾶν, -ίας.) *four-horse chariot* τετραορίας ἕνεκα νικαφόρου O. 2. 5. ἀγγελίαν τετραορίας ἐλελίχθονος P. 2. 4. οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ ἡροάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν δὶς τόσους N. 4. 28. καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις I. 3. 17.

τετράορος, -ά̮ορος] *with four horses* τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετρά̮ορον P. 10. 65. ἐπεὶ τετ'ρᾰόροισιν ὧθ' ἁρμάτων ζυγοῖς ἐν τεμένεσσι δόμον ἔχει τεοῖς (v. ζυγόν) N. 7. 93.

τέτ'ρᾰτος, τέταρτος] *fourth* μετὰ τριῶν τέταρτον πόνον O. 1. 60. [ἅμα πρώτοις ἄρξεται καὶ τετράτοις (codd.: τερτάτοις Ahrens) O. 8. 46.] "τετράτων παίδων κ' ἐπιγεινομένων αἱμά οἱ κεῖναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον" (i. e. of the fourth generation descended from Euphamos) P. 4. 47. πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας, τετράτῳ δ' αὐτὸς ἐπεδάθη (τετάρτῳ v. l.: ἀντὶ τοῦ τετάρτῳ καὶ δεκάτῳ, Σ B Hom. K 252, cf. fr. 171) fr. 135.

Τεύθρας] a king of Mysia. τοῦ παῖς (= Πάτροκλος) ἅμ' Ἀτρείδαις Τεύθραντος πεδίον μολὼν (τὴν Μυσίαν Σ.) O. 9. 71.

Τεῦκρος] son of Telamon. Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει ὁ Τελαμωνιάδας N. 4. 46.

τεύχω] (τεύχει; -ῃς; -ων, -οντα; -ειν: impf. τεῦχε: aor. (ἔ)τευξαν; τεῦξαι.) **a. α.** *construct* τεῦξαν δ' ἀπύροις ἱεροῖς ἄλσος ἐν ἀκροπόλει O. 7. 48. **β.** *fashion, compose* ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζομένα (sc. ὦ φόρμιγξ) P. 1. 4. παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος P. 12. 19. ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας I. 1. 14.

γ. *fashion, provide* Χάρις δ' ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς O. 1. 30. ξείνι' ἁρμόζοντα τεύχων P. 4. 129. "καὶ ὡς τάχος ὀτρύνει με τεύχειν ναὶ πομπάν" P. 4. 164. εἴη μιν — ἔρνεσι φράξαι χεῖρα, τιμὰν ἐπταπύλοις Θήβαισι τεύχοντ' I. 1. 67. ὁ πάντα τοι τά τε καὶ τὰ τεύχων — Κρόνου παῖς Πα. 6. 132. θεὸς ὁ πάντα τεύχων βροτοῖς fr. 141. **b.** *make* c. pr. adj. οἵ τεὸν δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν P. 7. 12. οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος (τέγγει e Plutarcho Heyne) N. 4. 4. ὕμνος δὲ τῶν ἀγαθῶν ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει φῶτα N. 4. 84. **c.** in tmesis ἐπὶ στέφανον τεῦξαι (v. ἐπιτεύχω) O. 8. 32.

τέχνα] (-α, -ας, -ᾳ, -αν; -αι, -αισ(ι), -αισιν.) **a.** *skill, craft* Ἀφαίστου τέχναισιν O. 7. 35. αὐτὰ δέ σφισιν ὤπασε τέχ'ναν πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν O. 7. 50. ἀλλὰ Ζηνὸς τέχ'ναις ἀνάπωτιν ἐξαίφνας ἄντλον ἑλεῖν O. 9. 52. εἰς Ἀίδα δόμον ἐν θαλάμῳ κατέβα, τέχ'ναις Ἀπόλλωνος P. 3. 11. μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχ'ναις P. 8. 60. αὐτόν τε νιν Ἑλλάδα νικάσαντα τέχ'νᾳ, τάν ποτε Παλλὰς ἐφεῦρε (flute-playing.) P. 12. 6. τέχ'ναι δ' ἑτέρων ἕτεραι N. 1. 25. λιτανεύω, ἑκαβόλε, Μοισαίαις ἀνατιθεὶς τέχναισι χρηστήριον Πα.

9. 39. b. *cunning* ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέχνας ἐπέμειξε θνατοῖς P. 2. 32. κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν P. 4. 249. δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις τέχναισι χρησάμενος N. 4. 58. καὶ κρέσσον' ἀνδρῶν χειρόνων ἔσφαλε τέχνα καταμάρψαισ' I. 4. 35.

τηλαυγής] *far shining* ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές O. 6. 4. ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος ἐξικόμαν P. 3. 75. τηλαυγέσιν — στεφάνοις P. 2. 6. τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν N. 3. 64. τηλαυγέ' ἄγ κορυφὰν Πα. 7. 12.

τῆλε] prep. c. gen., *far from* Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας P. 11. 23.

Τηλεβόαι] a nation dwelling on the islands off Akarnania. ὁ δ' ὄλβῳ φέρτατος (= Ζεύς) ἵκετ' ἐς κείνου (= Ἀμφιτρύωνος) γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις Τηλεβόας ἔναρεν (ἆθλον ἡ Ἀλκμήνη τὸν ἑαυτῆς γάμον προὔθηκε τῷ τοὺς Τηλεβόας καταπολεμήσοντι· ἔπραττε τοῦτο Ἀμφιτρύων, καὶ ἐκείνου περὶ τὸν πόλεμον ἀσχολουμένου ὁ Ζεὺς ἀφομοιωθεὶς συνῆλθεν αὐτῇ Σ.) N. 10. 15, cf. Σ, Πα. 20. 19.

τηλεβόλος] *farflung* χερμάδι τηλεβόλῳ P. 3. 49.

(Τήλεκλος)] Τήλ[εκ]λος (supp. Wil., cll. Strab., 8. 4. 4) Σ, Πα. 4. 58.

τηλεφᾰνής] *shining from afar* τηλεφανέσσι (Bücheler e codd. Lactantii) fr. 44. πυρὶ τηλεφανεῖ Θρ. 7. 9.

τηλέφαντος] *far-shining* τηλέφαντον δρᾶσαι γέρας φθιμένῳ Μελικέρτᾳ fr. 5. 2. τέρας ἄν τε βροτοὶ Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον (Bergk: τηλέφατον codd. Theophrasti) fr. 33c. 5.

[τηλέφατος, v. τηλέφαντος.**]**

Τήλεφος] king of Mysia. ἁλίαισιν πρύμναις Τήλεφος ἔμβαλεν O. 9. 73. τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις; I. 5. 41. Ἀχιλέος· ὃ καὶ Μύσιον ἀμπελόεν αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον I. 8. 50.

τηλόθε(ν)] a. adv., *from afar* τὸ δὲ κλέος τηλόθεν δέδορκε O. 1. 94. (αἰετός) ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοινὸν ἄγραν ποσίν N. 3. 81. b. prep. c. gen., *far from* ἔστι δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι N. 2. 12. πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν ὄνυμ' αὐτῶν N. 6. 48.

Τήνερος] son of Apollo and Melia, who gave his name to the plain of Teneros in Boeotia, prophet of the sanctuary of Ptoian Apollo there and of Ismenian Apollo, cf. fr. 51d. ἥρωα Τήνερον λέγομεν[Πα. 7. 13. χρηστήριον — ἐν ᾧ Τήνερον εὐρυβίαν θεμίτ[ων —] ἐξαίρετον προφάταν ἔτεκ[ε —] κόρα μιγεῖσ' Ὠκεανοῦ Μελία σέο, Πύθι[ε Πα. 9. 41.

τηρέω] *watch over* χῶταν πόλιν οἱ σοφοὶ τηρέωντι P. 2. 88.

τίθημι] (τιθεῖς, -ησι; τιθείς: τιθέμεν: fut. θήσω, -εις; θησέμεν: impf. τίθεν: aor. ἔθηκας, (ἔ)θηκε(ν), θέσαν, θέν coni.: med. fut. θήσομαι, -ονται: aor. θέτο, (ἔ)θεντο; θέμενος, -οι, -αν, -αι; θηκάμενος, -οι; θέσθαι: pass. τιθεμένων.)

1. *lay, place* a. τρία ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις O. 13. 39. ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν P. 3. 38. med., χρυσότοξον θέμεναι παρὰ Πύθιον Ἀπόλλωνα θρόνους (sc. αἱ Μοῖραι) O. 14. 10. ἐπεὶ δ' ἄλκιμον νέκυν ἐν τάφῳ πολυστόνῳ θέντο Πηλεΐδαν Πα. 6. 99. [ταὶ δ' ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐταῖς (Bergk: θα- vel θηκάμεναι, θησάμενοι codd.: κατθηκάμενοι Mosch.) P. 9. 62.] b. med., *put upon oneself, assume* "φαιδίμαν ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος" P. 4. 29. met., "κᾶδος ὠσείτε φθιμένου δνοφερὸν ἐν δώμασι θηκάμενοι" P. 4. 113. ἀλλ' ὅ γε Μέλαμπος οὐκ ἤθελεν λιπὼν πατρίδα μοναρχεῖν Ἄργει θέμενος οἰωνοπόλον γέρας (ἀποθέμενος interpr. Schr.) Πα. 4. 30.

2. *lay, place, establish* in various senses.

a. act. & med., *build, fashion* δόμον ἔθεντο πρῶτον i. e. for themselves O. 9. 44. κελήσατό μιν — θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ O. 13. 82. (νεφέλα) ἄντε δόλον αὐτῷ θέσαν Ζηνὸς παλάμαι P. 2. 39. εἰ δέ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν N. 4. 80. ἢ γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος; (Barnes: θήσει codd. Dion. Hal.: sc. ἀκτὶς ἀελίου) Πα. 9. 19. b. act. & med., *establish, found* festivals, simm., πενταετηρίδ' — θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ (sc. Ἡρακλέης) O. 3. 22. Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ — χρηστήριον θέσθαι (sc. Ἴαμον) κέλευσεν i. e. for himself and his descendants. O. 6. 70. ἱππίων ἀέθλων κορυφάν, ἅ τε Φοίβῳ θῆκεν Ἄδραστος ἐπ' Ἀσωποῦ ῥεέθροις N. 9. 9. τιθεμένων ἀγώνων πρόφασις — ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον fr. 228. c. *establish, set up as a prize* (χαλκὸν) ὅν τε Κλείτωρ — καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει (ed. Morel.: ἔθηκεν codd.) N. 10. 48. d. met., *establish, instil* (in the mind) εἰ δὲ — τί οἱ φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι ἀμέτεροι τίθεν P. 3. 65. cf. P. 1. 40. e. *lay* met. τιθεὶς ὕβριν ἐν ἄντλῳ (sc. Ἡσυχία) P. 8. 11. ἀλλὰ χρονίῳ σὺν Ἄρει πέφνεν τε ματέρα θῆκέ τ' Αἴγισθον ἐν φοναῖς P. 11. 37. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς ἐρευνασάτω (καταθεὶς v. l.) fr. 109. f. act. & med., *place, put* esp. c. abstract subject [Πίσας — χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν (v. ὑποτίθημι) O. 1. 19.] κόρος — τὸ λαλαγῆσαι θέλων κρυφόν τε θέμεν ἐσλῶν καλοῖς ἔργοις (Aristarchus: κρύφιον codd.: τιθέμεν Hermann: locus varie temptatus) O. 2. 97. μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν (τουτέστι θεωρῆσαι Σ.) N. 8. 43.

3. *make* a. act. & med., *perform* σεμνὰν θυσίαν θέμενοι O. 7. 42. Ζεὺς ἄμπαλον μέλλεν θέμεν O. 7. 61. καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν O. 2. 99. b. med., *make for oneself, undertake* εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν (sc. Δία) O. 8. 86. ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών *having made himself a vow* O. 10. 63. καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ O. 13. 53. c. c. abstract subs. in periphrasis τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν (= σπουδάζειν) P. 4. 276. Ὀρτυγία, — σέθεν ἀδυεπὴς ὕμνος ὁρμᾶται θέμεν αἶνον ἀελλοπόδων μέγαν ἵππων (= αἰνεῖν) N. 1. 5. d. act. & med., c. pr. adj., subs. ἄφθιτον θέν νιν (Mommsen: θέσαν αὐτόν codd.: θῆκαν Rauchenstein) O. 1. 64. ἀποίητον οὐδ' ἂν χρόνος — δύναιτο θέμεν ἔργων τέλος O. 2. 17. ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές O. 6. 4. θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς O. 7. 6. ὅς σὲ μὲν Νεμέᾳ πρόφατον, Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ θῆκεν Ὀλυμπιονίκαν O. 8. 18. τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν O. 10. 47. Ἰσθμοί τά τ' ἐν Νεμέᾳ παύρῳ ἔπει θήσω φανέρ' ἀθρό' O. 13. 98. πάντα λόγον θέμενος σπουδαῖον *making his every word earnest* P. 4. 132. νιν — θῆκε δέσποιναν χθονὸς P. 9. 7. "ἔνθα νιν ἀρχέπολιν θήσεις" P. 9. 54. "θήσονταί τέ νιν ("utrum recte iam vett. gramm. ad θῆσθαι rettulerint necne dubitare possis, quamquam θρέψουσι schol. 113," Schr.) P. 9. 63. ἔθηκε καὶ βαθυλείμων ὑπὸ Κίρρας πετρᾶν ἀγὼν κρατησίποδα Φρικίαν P. 10. 15. ἔλπομαι δ' — τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις, νέαισίν τε παρθένοισι μέλημα P. 10. 58. λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν τό τ' ἀναγκαῖον λέχος P. 12. 15. παλίγγλωσσον δέ οἱ ἀθάνατοι ἀγγέλων ῥῆσιν θέσαν N. 1. 59. κιόνων ὕπερ Ἡρακλέος — ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτούς N. 3. 22. τό (sc. ῥῆμα) μοι θέμεν Κρονίδᾳ τε Δὶ καὶ Νεμέᾳ Τιμασάρχου τε πάλᾳ ὕμνου προκώμιον εἴη N. 4. 9. ἐπαοιδαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον θῆκεν N. 8. 50. Διομήδεα δ' ἄμ-

βροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν N. 10. 7. οὐ γνώμᾳ διπλόαν θέτο βουλὰν N. 10. 89. μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα, πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι I. 1. 3. 'Ιλίου δὲ θῆκεν ἄφαρ ὀψιτέραν ἅλωσιν (sc. 'Απόλλων) Πα. 6. 81. ⟨τί δ'⟩ ἔθηκας ἀμάχανον ἰσχύν τ' ἀνδράσι καὶ σοφίας ὁδόν; (sc. ἀκτὶς ἀελίου) Πα. 9. 3. in zeugma. ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν P. 1. 40.

4. fragg.]θέμεν Δ. 1. 12. θῆ]κε (supp. Snell) Δ. 4. 41. πεπρωμέναν θῆκε μοῖραν μετατραπεῖν (Bergk: ἔθηκε codd.) fr. 177a. Φερσεφόνᾳ ματρί τε χρυσοθρόνῳ θῆ[κεν ?ἀστ]οῖσιν τελευτὰν (τέλος Σ unde τελετὰν coni. Lobel) P. Oxy. 2622, fr. 1, 5 ad ?fr. 346c.

5. in tmesis. ἐπὶ γὰρ — τίθησι (v. ἐπιτίθημι) P. 2. 10. ὑπὸ — ἔθηκε (v. ὑποτίθημι) O. 1. 19.

τιθήνα] *nurse* met. Αἴτνα, πάντετες χιόνος ὀξείας τιθήνα P. 1. 20.

τίκτω] (impf. τίκτ(ε), (ἔ)τικτε(ν): aor. ἔτεκον, τέκες, τέκ(ε), (ἔ)τεκε(ν); τέκοι; τεκοῖσ(α); τεκεῖν, τεκέμεν: med. fut. pro act., τέξει, -εται: aor. τέκετο; τέκωνται.) **a.** act., of mother, *give birth to* (παρθένος)· ἔτεκε λαγέτας — υἱούς (Boehmer: ἃ τέκε codd.) O. 1. 89. (Πιτάναν)· ἃ — λέγεται — Εὐάδναν τεκέμεν O. 6. 30. ἃ δὲ — τίκτε θεόφρονα κοῦρον O. 6. 41. παῖδα, τὸν Εὐάδνα τέκοι O. 6. 49. Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν O. 6. 85. τέκεν γόνον ὑπερφίαλον μόνα P. 2. 42. παῖς, ὅνπερ μόνον ἀθανάτα τίκτεν — Θέτις P. 3. 101. "υἱὸς —, τόν ποτ' Εὐρώπα — τίκτε" P. 4. 46. ὅν ποτε — Κρέοισ' ἔτικτεν P. 9. 16. "τόθι παῖδα τέξεται" P. 9. 59. τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαίφρων ἐν μόναις ὠδῖσιν 'Αλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν P. 9. 84. ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι πόντου N. 5. 13. τὸν ἀδείμαντον 'Αλκμήνα τέκεν παῖδα I. 1. 12. τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς (Morel.: οἱ τέκε codd.) I. 4. 64. δῖον ἔνθα τέκες Αἰακὸν I. 8. 21. πεπρωμένον ἦν φέρτερον πατέρος ἄνακτα γόνον τεκεῖν ποντίαν θεόν I. 8. 33. ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας 'Ωρας fr. 30. 6. ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν fr. 33d. 10. "ἔδοξ[ε γὰρ] τεκεῖν πυρφόρον ἐρι[(sc. 'Εκάβα: cf. Apollod., 3. 148. ἔδοξεν 'Εκάβη καθ' ὕπνους δαλὸν τεκεῖν διάπυρον, τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν) Πα. 8A. 20. Τήνερον — ἔτεκ[ε —]κόρα μιγεῖσ' 'Ωκεανοῦ Πα. 9. 42. υἱὸν ἔτι τέξ[ε]ι Πα. 10. 21. καὶ τέκ' εὔδοξο[ν Δ. 2. 30. **b.** of father, *beget* 'Ρόδῳ ποτὲ μιχθεὶς τέκεν ἑπτὰ — παῖδας O. 7. 71. παῖδας ὧν εἷς μὲν Κάμιρον πρεσβύτατόν τε 'Ιάλυσον ἔτεκεν Λίνδον τ' O. 7. 74. "τίς νιν ἀνθρώπων τέκεν;" P. 9. 33. and so med., of unnatural birth, ὃς καὶ τυπεὶς ἀγνῷ πελέκει τέκετο ξανθὰν 'Αθάναν fr. 34. **c.** act. & med., met., *produce* αὐδάσομαι ἐνόρκιον λόγον — τεκεῖν μή τιν' — πόλιν — ἄνδρα μᾶλλον εὐεργέταν O. 2. 93. "γένος, οἵ κεν — τέκωνται φῶτα" P. 4. 52. νεόπολίς εἰμι· ματρὸς δὲ ματέρ' ἐμᾶς ἔτεκον ἔμπαν πολεμίῳ πυρὶ πλαγεῖσαν (alia alii coni., velut ἔπιδον G-H: sed haec ad Teum potius quam ad Athenas spectare vidit S. Radt: "sie hätten . . . das zerstörte Teos wieder neu gegründet") Πα. 2. 29.

Τιλφῶσσα] a spring, where there was a shrine to Apollo. μελιγαθὲς ἀμβρόσιον ὕδωρ Τιλφώσσας ἀπὸ καλλικράνου fr. 198b, cf. Strabo, 9. 2. 27, παρατίθησι γοῦν (sc. ὁ Πίνδαρος) τὴν Τιλφῶσσαν κρήνην ὑπὸ τῷ Τιλφωσσίῳ ὄρει ῥέουσαν πλησίον 'Αλιάρτου καὶ 'Αλαλκομένων.

τῖμά] (-ά, -ᾶς, -ᾷ, -άν, -αί, -ᾶν, -αῖσ(ιν), -άς.) *honour* given or shown to gods or men, cf. Fränkel, D & P, 555. Χάρις — ἐπιφέροισα τιμὰν O. 1. 31. ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν — αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ O. 6. 60. ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν O. 12. 15. Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου θ' O. 13. 37. αἰέναον σέβοντι πατρὸς 'Ολυμ-

πίοιο τιμάν O. 14. 12. ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν, οἵαν οὔτις Ἑλλάνων δρέπει P. 1. 48. εἰ δέ τις ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει P. 2. 59. θεόπομποί σφισιν τιμαὶ φύτευθεν P. 4. 69. τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ Αἰόλῳ καὶ παισὶ τιμάν P. 4. 108. "οὐ πρέπει νῷν — μεγάλαν προγόνων τιμὰν δάσασθαι" P. 4. 148. τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν P. 4. 278. μάλιστα μὲν Κρονίδαν — θεῶν σέβεσθαι· ταύτας δὲ μή ποτε τιμᾶς ἀμείρειν γονέων βίον πεπρωμένον P. 6. 26. Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ P. 8. 5. τιμὰ δὲ γίνεται ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων N. 7. 31. ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς N. 9. 10. ἕπεται (ἐπέβα coni. Wil.) δέ, Θεαῖε, ματρώων πολύγνωτον γένος ὑμετέρων εὐάγων τιμὰ N. 10. 38. "οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί" (v. Latte, Hermes, 1931, 38) N. 10. 78. γαρύσομαι — τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν Ἀσωποδώρου πατρὸς αἶσαν ("en rendant homage a ce vaillant," Puech) I. 1. 34. εἴη μιν — ἔρνεσι φράξαι χεῖρα, τιμὰν ἑπταπύλοις Θήβαισι τεύχοντ' I. 1. 66. ἵν' ἀθανάτοις Αἰνησιδάμου παῖδες ἐν τιμαῖς ἔμιχθεν I. 2. 29. εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων I. 2. 34. καὶ γὰρ ἐριζόμεναι νᾶες ἐν πόντῳ καὶ ⟨ὑφ'⟩ ἅρμασιν ἵπποι διὰ τεάν, ὤνασσα (sc. Θεία), τιμὰν ὠκυδινάτοις ἐν ἀμίλλαισι θαυμασταὶ πέλονται "kraft deiner Würde," Fränkel I. 5. 6. ἐν δ' ἐρατεινῷ μέλιτι καὶ τοιαῖδε τιμαὶ καλλίνικον χάρμ' ἀγαπάζοντι (τοιᾷδε τιμᾷ Σ^{YP}) I. 5. 54. τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται I. 7. 26. τὰν Διωνύσου πολυγαθέα τιμὰν — ὑμνήσομεν; *the honour done to Dionysos, which gives joy to many* fr. 29. 5. ἦλθον ἔταις ἀμαχανίαν ἀλέξων τεοῖσιν ἐμαῖς τε τιμαῖς Πα. 6. 11. ἀμφιπόλοις δὲ [μ]υρ[ιᾶν] περὶ τιμᾶν δηριαζόμενον κτάνεν Πα. 6. 118. τιμαὶ δὲ βροτοῖσι κεκριμέναι Παρθ. 1. 6. τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον fr. 121. 3. ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων τιμαὶ καὶ στέφανοι *honours won by horses* fr. 221. 2. and so, *favour*, "σὺν τιμᾷ θεῶν" P. 4. 51. θεῶν τιμαῖς P. 4. 260.

τῑμάεις] *honoured* τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν I. 4. 7. πατρί τε Κρονίῳ τιμάεντι (τιμ.εαντι Π.: corr. G.-H.) fr. 140a. 64 (38).

τῑμαλφέω] *do honour to* εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν, ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις νίκαν N. 9. 54.

τῑμάορος] *honouring* c. dat. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις O. 9. 84.

Τῑμάσαρχος] son of Timokritos of Aigina, victor in wrestling at Nemea. Τιμασάρχου τε πάλᾳ N. 4. 10. πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι N. 4. 78.

τῑμάω] (τιμᾷ; τιμῶν, -ῶντες: aor. (ἐ)τίμᾱσε(ν), ἐτίμᾱσαν; τιμάσαις: pf. τετίμᾱκεν: pass. τιμώμενος: aor. τιμώμενος: aor. τίμᾱθεν coni.: pf. τετίμᾱται) *honour* ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμασαν O. 1. 55. ἐν ἀέθλοις ἐν μάχαις τε πολέμου τιμώμενος O. 2. 45. Ζεῦ, Κρόνιόν τε ναίων λόφον τιμῶν τ' Ἀλφεὸν O. 5. 18. τιμῶντες δ' ἀρετὰς ἐς φανερὰν ὁδὸν ἔρχονται O. 6. 72. Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ O. 6. 80. συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν O. 7. 5. ἀλλ' ὦ Ζεῦ πάτερ, — τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν O. 7. 88. υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων O. 9. 69. τιμάσαις πόρον Ἀλφεοῦ μετὰ δώδεκ' ἀνάκτων θεῶν O. 10. 48. Παιάν τέ σοι τιμᾷ φάος P. 4. 270. θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας P. 11. 5. πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν τίμασε N. 6. 41. ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων (sc. Αἴαντα) I. 4. 37. τετίματαί τε πρὸς ἀθανάτων φίλος (sc. Ἡρακλέης) I. 4. 59. Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος I. 6. 67. τίμαθεν γὰρ τὰ πάλαι τὰ νῦν τ' ἀμφικτιόνεσσιν (Wil.: τιμαθέντας Π.) Παρθ. 2. 42.

τίμιος] *honoured* παρὰ μὲν τιμίοις θεῶν O. 2. 65. ἀκίνδυνοι δ' ἀρεταὶ οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις τίμιαι O. 6. 11.

Τιμοδημίδας] *son of Timodemos* ὅσσα δ' ἀμφ' ἀέθλοις, Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται (-δαμίδα Schr.) N. 2. 18.

Τιμόδημος] of Acharnai, victor in Nemean pankratium. ὦ Τιμόδημε (-δαμε Schr.) N. 2. 14. τόν ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ (-δάμῳ Schr.) N. 2. 24.

Τιμόκ'ριτος] father of Timasarchos. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀλίῳ σὸς πατὴρ ἐθάλπετο N. 4. 13.

Τιμόνοος] father of Timodemos, of the clan Timodemidai. Τιμονόου παῖδ' N. 2. 10.

Τιμοσθένης] elder brother of Alkimedon. Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος O. 8. 15.

τινάσσω] *brandish* ἀντίον πῶς ἂν τριόδοντος Ἡρακλέης σκύταλον τίναξε χερσίν; O. 9. 30. ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον ἵκετ' N. 1. 52.

τίνω] (fut. τείσομεν: aor. ἔτεισαν: med. τίνεσθαι.) **a.** act., *pay* θανόντων μὲν — ἀπάλαμνοι φρένες ποινὰς ἔτεισαν (Schr.: ἔτισαν codd.) O. 2. 58. ὀπᾷ τε κοινὸν λόγον φίλαν τείσομεν ἐς χάριν (Schr.: τίσομεν codd.) O. 10. 12. **b.** med., *repay* τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι P. 2. 24.

Τιρύνθιος] *Tirynthian* πρόσθε ποτὲ Τιρύνθιον ἔπερσαν αὐτῷ στρατὸν μυχοῖς ἥμενον Ἄλιδος Μολίονες ὑπερφίαλοι O. 10. 31. pro subs., Τλαπολέμῳ — Τιρυνθίων ἀρχαγέτᾳ O. 7. 78. (Τελαμών), τὸν χαλκοχάρμαν ἐς πόλεμον ἄγε (sc. Ἡρακλέης) σὺν Τιρυνθίοισιν πρόφρονα σύμμαχον I. 6. 28.

Τίρυνς] the city ἔκτανεν Τίρυνθι Λικύμνιον (sc. Τλαπόλεμος) O. 7. 29. Δόρυκλος — Τίρυνθα ναίων πόλιν O. 10. 68.

τίς] (τίς, τίνι, τίν(α), τίνες; τί, τίνι, τί, τά acc.) *who? what?*

1. in direct quest. **a.** subs. τίνα βάλλομεν; O. 2. 89. τίς ἂν φράσαι δύναιτο; O. 2. 100. τίς δὴ ποταίνιον ἔλαχε στέφανον; O. 10. 60. τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα — ἐπέθηκ'; O. 13. 20. τί δέ τις; τί δ' οὔ τις; P. 8. 95. [τίς ἄκρον ἑλὼν ἡσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν; (Homan: εἴ τις codd.) P. 11. 55.] τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς; I. 1. 5. λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον; I. 5. 39. τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν; I. 5. 41. τί πείσομα[ι Πα. 7B. 42. ἀκτὶς ἀελίου, τί πολύσκοπε μήσεαι; Πα. 9. 1. τί ἔλπεαι σοφίαν ἔμμεν; fr. 61. 1. τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν; fr. 89a. 1. τί θεός; fr. 140d. τί ἔρδων φίλος σοί τε — εἴην, τοῦτ' αἴτημί σε fr. 155. 1. c. art. & subs., τοῦ (sc. ναοῦ) δὲ παντέχνοις Ἀφαίστου παλάμαις καὶ Ἀθά[νας] τίς ὁ ῥυθμὸς ἐφαίνετο; Πα. 8. 67. c. gen., "καὶ τίς ἀνθρώπων σε — ἐξανῆκεν γαστρός;" P. 4. 98. "τίς νιν ἀνθρώπων τέκεν;" P. 9. 33. τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν εὔφρανας; I. 7. 1. n. pro adv., *why, in what respect?* τά κέ τις ἀνώνυμον γῆρας — ἕψοι μάταν; (v. l. τί) O. 1. 82. κέρδει δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει; P. 2. 78. τί κομπέω παρὰ καιρόν; P. 10. 4. ⟨τί δ'⟩ ἔθηκας ἀμάχανον ἰσχύν τ' ἀνδράσι; (supp. Diehl, om. codd. Dion. Hal.) Πα. 9. 3. **b.** adj. τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν; O. 2. 2. τίνα κεν φύγοι ὕμνον κεῖνος ἀνὴρ O. 6. 6. τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας, τίς δὲ κίνδυνος; P. 4. 70. ἐπεὶ τίνα πάτραν, τίνα οἶκον ναίων ὀνυμάξεαι ἐπιφανέστερον P. 7. 5—6. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι; N. 3. 26. "πάτερ Κρονίων, τίς δὴ λύσις ἔσσεται πενθέων;" N. 10. 76. τ]ίνα πτόλιν, τίν' ἐπ[Δ. 4. c. 6.

2. introducing indir. quest. **a.** subs. οὐκ ἔχω εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος

ἔμπεδον ὤρεξε N. 7. 57. ἀλλὰ θαυμάζω τί με λέξοντι 'Ἰσθμοῦ δεσπόται fr. 122. 13. **b.** adj. κεῖνα δὲ κεῖνος ἂν εἴποι ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει O. 8. 63. δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς θεῶν P. 4. 63. αἰδέομαι μέγα εἰπεῖν — πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλκίμους δαίμων ἀπ' Οἰνώνας ἔλασεν N. 5. 15. ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται μόχθος ἄμμιν fr. 42. 1. **3.** frag. τί κέ τις ἐσχ[Δ. 4. b. 11.

τὶς] (τις, τινός, τινί, τιν(α), τινές; τι, τινί, τι.)

A. subs.

1. *anyone, anything* **a.** εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν (τι supp. byz., om. codd.: κε Turyn.: λελαθέμεν Mommsen) O. 1. 64. τά κέ τις ἀνώνυμον γῆρας — ἕψοι; O. 1. 82. τί δέ τις; τί δ' οὔ τις; P. 8. 95. συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει N. 3. 40. ἐν δὲ πείρᾳ τέλος διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται N. 3. 71. ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν N. 4. 32. μαθὼν δέ τις ἀνερεῖ N. 7. 68. ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν N. 8. 19. ἐμπείρων δέ τις ταρβεῖ fr. 110. **b.** c. neg. σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν — εὗρεν O. 12. 7. πόθον ἔνδαιεν 'Ἥρα ναὸς 'Ἀργοῦς μή τινα λειπόμενον — μένειν P. 4. 185. μήτ' ὧν τινι πῆμα πορών P. 4. 297. πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν P. 5. 54. οὔτε τι μεμπτὸν οὔτ' ὧν μεταλλακτόν (sc. τῶν ἐπὶ ταῖς τραπέζαις) fr. 220. 1. **c.** c. gen. ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν O. 1. 52. add. neg., O. 12. 7, P. 1. 49, P. 3. 103, fr. 109.

2. *someone, something* **a.** τὰ δ' — ἀλιτρὰ κατὰ γᾶς δικάζει τις O. 2. 59. ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες O. 10. 22. ἔπορε μόχθῳ βραχύ τι τερπνόν O. 10. 93. σὺν δ' ἀνάγκᾳ μιν φίλον καί τις ἑὼν μεγαλάνωρ ἔσανεν P. 1. 52. ἄγει δὲ χάρις φίλων ποί τινος ἀντὶ ἔργων ὀπιζομένα (codd.: ποίνιμος coni. Spiegel) P. 2. 17. [τινες ἑλκόμενοι (coni. Sheppard: τινος codd.) P. 2. 90.] ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος P. 3. 67. ὁ δὲ καλόν τι νέον λαχὼν P. 8. 88. τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν P. 9. 89. ἐμὲ δ' οὖν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος P. 9. 103. ἀλλ' ἔσται χρόνος οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν ἔμπαλιν γνώμας τὸ μὲν δώσει τὸ δ' οὔπω P. 12. 31. ποτίφορον δὲ κόσμον ἔλαχες γλυκύ τι γαρυέμεν N. 3. 32. ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ σεμνὸν ἔπεστί τι N. 7. 23. τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, εἴ τις εὖ εἴπῃ τι I. 4. 41. γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον I. 8. 8. ὁ δὲ καλόν τι πονήσαις Πα. 2. 66. ἐλαύνεις τι νεώτερον ἢ πάρος; Πα. 9. 6. μνάσει δὲ καί τινα ναίο[ν]θ' ἑκὰς ἡρωΐδος θεαρίας (may refer to a particular person or generally to absentees, Lobel) Πα. 14. 35. γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος fr. 217. **c.** impv., μακρά μοι αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις N. 5. 20. ἐγκιρνάτω τίς μιν N. 9. 50. μαρνάσθω τις I. 5. 54. Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον εὔδοξον, ὦ νέοι, καμάτων — ἀνεγειρέτω κῶμον I. 8. 1. cf. fr. 109, I. 8. 66, Πα. 1. 2. **b.** c. gen. ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων O. 1. 47. εἰ δέ τις ἤδη — λέγει ἑτερόν τιν' ἀν' 'Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον P. 2. 60. ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε P. 4. 86. καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον φᾶσέ νιν δώσειν μόρῳ (v. Radt, Mnem., 1966, 169) N. 1. 64. ποντίαν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν N. 5. 36. ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι N. 7. 44. ἁλίκων τῷ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον I. 8. 66. πλέον τι λαχὼν (sc. Ζεύς) fr. 35a. τῶ[ν . . Λο]κρῶν τις fr. 140b. 4.

3. a. εἴ τις, cf. B. c, C. a. εἰ δέ μιν ἔχων τις οἶδεν τὸ μέλλον O. 2. 56. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει O. 5. 23. πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι ποναθῇ O. 6. 11. φιάλαν ὡς εἴ τις — δωρήσεται O. 7. 1.

παραπειρῶνται Διὸς ἀργικεραύνου, εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι O. 8. 4. εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι O. 11. 4. ἄνεται πάντα βροτοῖς, εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ O. 14. 7. εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται πὰρ σέθεν P. 1. 87. εἰ δέ τις ἤδη — λέγει P. 2. 58. "μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ, εἰ μετάλλατόν τι" P. 4. 164. εἰ γάρ τις ὄζους — ἐξερείψειεν P. 4. 263. κέρδος δὲ φίλτατον, ἑκόντος εἴ τις ἐκ δόμων φέροι P. 8. 14. εἰ γάρ τις ἐσλὰ πέπαται P. 8. 73. εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις P. 9. 93. εἴ τις ἄκρον ἑλὼν — ὕβριν ἀπέφυγεν (εἴ τις codd.: τίς Homan) P. 11. 55. εἰ δὲ τύχῃ τις ἔρδων N. 7. 11. εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους N. 11. 13. εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον I. 1. 67. εἴ τις — ἄγοι τιμὰς Ἑλικωνιάδων I. 2. 34. τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, εἴ τις εὖ εἴπῃ τι I. 4. 41. τὰ μακρὰ δ' εἴ τις παπταίνει I. 7. 43. εἰ δέ τις ἀρκέων φίλοις, ἐχθροῖσι τραχὺς ὑπαντιάζει Πα. 2. 31. c. gen., λαγέταν γάρ τοι τύραννον δέρκεται, εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος P. 3. 86. εἰ δὲ νόῳ τις ἔχει θνατῶν ἀλαθείας ὁδόν P. 3. 103. εἴ τις ἀνδρῶν — κατέχει φρασὶν αἰανῆ κόρον I. 3. 1. εἰ γάρ τις ἀνθρώπων — πράσσει θεοδμάτους ἀρετὰς I. 6. 10. **b.** ὁπόταν τις τὺ δ' ὁπόταν τις ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ P. 8. 8. **4. a.** πᾶς τις γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται I. 1. 49. **b.** τις, *many a one* ἢ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει ἐν λυγρῷ νείκει N. 8. 24. c. gen., καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν P. 2. 51. [cf. N. 1. 64.] ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων τιμαὶ καὶ στέφανοι, τοὺς δὲ πολυχρύσοις θαλάμοις βιοτά. τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον ναῒ θοᾷ †διαστείβων (bis) fr. 221. **c.** *a man* i. e. *men* "ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται" P. 4. 92. **d.** *each* σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν ἄντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον P. 9. 116. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς ἐρευνασάτω — φάος fr. 109. 1. τὰ δ' αὐτὸς ἀντιτύχῃ, ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι (Mingarelli: ἄν τις τύχῃ codd.) N. 4. 91—2.

B. adj., a. *a, any* ὅταν τις — βροτήσιος ἀνήρ — αὐτὸν ἀνάγῃ P. 5. 2. ὦναξ, ἑκόντι δ' εὔχομαι νόῳ κατά τιν' ἁρμονίαν βλέπειν ἀμφ' ἕκαστον ὅσα νέομαι P. 8. 68. κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει P. 9. 87. ἐπαοιδαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον θῆκεν N. 8. 50. add. neg., πέποιθα δὲ ξένον μή τιν' — δαιδαλωσέμεν O. 1. 104. πεῖρας οὔ τι θανάτου O. 2. 31. τεκεῖν μή τιν' — πόλιν — ἄνδρα μᾶλλον εὐεργέταν O. 2. 93. ἀντεβόλησεν τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον O. 13. 31. ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία ⟨πλεόνων⟩ ταμίαν N. 6. 25. ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίνυεν δόμοις *fr. 104b. 4.* **b.** *some, some sort of* Μοῖρ' — ἐπί τι καὶ πῆμ' ἄγει O. 2. 37. αἰτέων λαστρόφον τιμάν τιν' ἐᾷ κεφαλᾷ O. 6. 60. δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ λιγυρᾶς ἀκόνας O. 6. 82. ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος O. 7. 45. εἰπέ τιν' αὐτὸς ὁρᾶν — γαῖαν O. 7. 62. τεθμὸς δέ τις ἀθανάτων O. 8. 25. ἔστιν δὲ καί τι θανόντεσσιν μέρος O. 8. 77. σύν τινι μοιριδίῳ παλάμᾳ O. 9. 25. στάθμας δέ τινος ἑλκόμενοι περισσᾶς (τινες coni. Sheppard) P. 2. 90. "μή τι νεώτερον ἐξ αὐτῶν ἀναστάῃ κακόν" P. 4. 155. καί τινα οἶμον ἴσαμι βραχύν P. 4. 247. οὐ θεῶν ἄτερ ἀλλὰ Μοῖρά τις ἄγεν P. 5. 76. ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν P. 11. 39. σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ (= ἀγλαΐας τι, Radt) N. 1. 13. ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι N. 9. 6. παθόντες πού τι φιλόξενον ἔργον (cf. C. b.) I. 2. 24. ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε †Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός I. 8. 10. ἀπήμονα εἰς ὄλβον τινὰ τράποιο Θήβαις, ὦ πότνια, πάγκοινον τέρας Πα. 9. 9. πολέμοιο δὲ σᾶμα φέρεις τινός; Πα. 9. 13. ἐκράνθην ὑπὸ δαιμονίῳ τινὶ (δείματι e. g. supp. Wil.) Πα. 9. 34. ἄνδρες θήν τινες

ἀκκιζόμενοι νεκρὸν ἵππον στυγέοισι fr. 203. 1. εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος O. 6. 16. ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ εὐαχέα βασιλεῦσιν ὕμνον P. 2. 13. [τις = quidam, cannot be shown to be a valid meaning in Pindar: it is a possibility in the following places, O. 6. 82, O. 7. 45, O. 9. 25, P. 2. 90, P. 4. 247, N. 9. 6, fr. 203. 1, v. supra.] c. εἴ τις εἰ δὲ δή τιν' ἄνδρα — ἐτίμασαν O. 1. 54. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται — λαθέμεν O. 1. 64. "Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα πέλει" P. 4. 145. εἰ δὲ — τί οἱ φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι ἀμέτεροι τίθεν P. 3. 63. εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου οὐ φαίνεται P. 12. 28. εἰ δέ τις ἀνθρώποισι θεόσδοτος †ατληκηκοτας† προστύχῃ fr. 42. 5. εἰ καί τι Διωνύσου ἄρουρα φέρει βιόδωρον ἀμαχανίας ἄκος Πα. 4. 25. c. gen., κεἴ μοί τιν' ἄνδρα τῶν θανόντων fr. 4, cf. C. a.

C. adv., τι a. c. εἰ, εἴπερ, *in any way* εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν O. 1. 18. "φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον, ἐς χάριν τέλλεται" O. 1. 75. εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν αἰεὶ κλύειν P. 1. 90. εἴ τι πέραν ἀερθεὶς ἀνέκραγον N. 7. 75. εἰ δὲ γεύεται ἀνδρὸς ἀνήρ τι N. 7. 87. b. c. που, *somehow or other* καί πού τι καὶ βροτῶν φάτις O. 1. 28. "οὔ τί που οὗτος Ἀπόλλων" P. 4. 87, cf. I. 2. 24.

c. qualifying vb., *somehow* ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις N. 6. 4. νέᾳ δ' εὐπραγίᾳ χαίρω τι· τὸ δ' ἄχνυμαι *to some degree* P. 7. 18. [τί οἱ (codd. contra metr.: τῷ Mingarelli.) N. 10. 15.]

D. fragg.]ει τις ἄτερθεν[Πα. 13. b. 13.]ιν τοία τις εμ[Πα. 13. c. 1. τί κέ τις εσχ[Δ. 4. b. 11.]και τι πατ[Θρ. 5. b. 5. ἦν γάρ τι παλαίφατον[fr. 140a. 69 (43).

Τῖτᾶνες] the Titans. λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας P. 4. 291.

τιτρώσκω] *wound* ἢ πολιῷ χαλκῷ μέλη τετ'ρωμένοι ἢ χερμάδι τηλεβόλῳ P. 3. 48. τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολωθεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ N. 10. 60. τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν ἑῷ δορί; I. 5. 42.

Τῖτυός] son of Zeus and Elara, killed by Artemis. "Εὐρώπα Τιτυοῦ θυγάτηρ" P. 4. 46. "καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν" P. 4. 90. Ἀλέρας υἱόν (sc. Τιτυόν: ad Πα. 13. b. 3 revocavit Turyn) fr. 294.

τίω] *treasure* καὶ γὰρ ὁ πόντιος Ὀρσ[ι-τ]ρίαινά νιν περίαλλα βροτῶν τίεν Πα. 9. 48.]νος τι' ἑστίαν [(τιεεσ Π, corr. G-H.) Παρθ. 2. 106.

τλᾶθῦμος, -ον] *persevering* ὦ Τιμόδημε, σὲ δ' ἀλκὰ παγκρατίου τλάθυμος ἀέξει N. 2. 15. κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν fr. 234. 3.

τλάμων] *enduring* τλάμονι ψυχᾷ παρέμειν' P. 1. 48.

Τλᾶπόλεμος] of Tiryns, son of Herakles and Astydameia. ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον, Ἡρακλέος εὐρυσθενεῖ γέννᾳ (τοῖς Ῥοδίοις, ἀπὸ Τληπολέμου Ἡρακλείδαις οὖσιν· ἐπεὶ ὁ Τληπόλεμος φυγὼν ἐξ Ἄργους διὰ τὸν Λικυμνίου τοῦ μήτρωος φόνον ἀπῄει μετὰ νεῶν καὶ κατὰ χρησμὸν ᾤκισε Ῥόδον Σ.) O. 7. 20. τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ ὥσπερ θεῷ, μήλων τε κνισσάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις (ἔστι δὲ αὐτοῦ ἱερὸν καὶ τάφος ἐν Ῥόδῳ· οἱ γὰρ συστρατευσάμενοι αὐτῷ διήγαγον τὰ ὀστᾶ ἀπὸ τῆς Ἰλίου εἰς τὴν Ῥόδον. τελεῖται δὲ καὶ ἀγὼν ἐπιτάφιος ἐν τῇ πόλει Τληπολέμου, κατὰ δὲ ἑτέρους ἱερὸς Ἡλίῳ Σ.) O. 7. 77.

τλάω] (fut. τλάσομαι; aor. ἔτλαν; τλᾶθι; τλάντων.) a. *endure* τλάντων δ' ἔπειτα θεοὶ συνετέλεσσαν (sc. τῶν Ἀβδηριτῶν) Πα. 2. 64. c. acc., ἔτλαν δὲ πένθος οὐ φατόν I. 7. 37. b. c. inf., *have the courage to* τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν P. 4. 276. "οὐκέτι τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι" P. 3. 41.

τόθι] a. *there* τόθι δένδρεα θάμβαινε σταθείς O. 3. 32. τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ ἵσταται O. 7. 77. τόθι γὰρ γένος Εὐφάμου — τέλλετο P. 4. 256. τὸ μὲν μέγιστον τόθι χαρμάτων ὤπασας, οἴκοι δὲ P. 8. 64. "τόθι παῖδα τέξεται" P. 9. 59. καὶ τόθι κλειναῖς ⟨τ'⟩ Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς (τ' supp. Bergk: καὶ τόθι. κλειναῖς δ' Heyne) I. 2. 19.]καὶ τόθι ν[P. Oxy. 1792, fr. 34.
b. rel., α. *where* Νεοπτόλεμος δ' ἀπείρῳ διαπρυσίᾳ (sc. κρατεῖ), βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον N. 4. 52. ἄλσος Ἀπόλλωνος, τόθι Λατοΐδαν θαμινὰ Δελφῶν κόραι — μελπόμεναι ποδὶ κροτέο[ντι Πα. 6. 15. β. *to a place where, whither* ἔνεικέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ, τόθι νιν πολυμήλου καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονός P. 9. 6.

